Δ. Εἰς ταύτην μόνην τὴν ἐλπίδα, φίλε, στηρίζομαι κ' ἐγώ. Ὄχι μόνον ἡ φιλανθρωπία, ἀλλὰ καὶ ἡ φρόνησις τοῦ προέδρου μὲ θαρρύνει νὰ ἐλπίζω τὴν ἀπολύτρωσιν τῆς Χίου. Τὸ ἴδιον αὐτοῦ συμφέρον ἀπαιτεῖ νὰ κινήσῃ πάντα λίθον, νὰ τὴν ἀποσπάσῃ ἀπὸ τὸν ἄγριον τύραννον· διὰ νὰ πληροφορήσῃ ὅλην τὴν Ἑλλάδα, ὅτι δὲν εἶναι οὔτε Γάλλος, οὔτε Ῥῶσος, οὔτ' Ἄγγλος, ἀλλὰ γνήσιος Ἕλλην, ἄλλο τι μὴ φροντίζων τὴν ἡμέραν, ἄλλο τι μὴ φανταζόμενος εἰς τὸν ὕπνον του τὴν νύκτα, παρὰ τὰ συμφέροντα εἰς τοὺς Ἕλληνας. Ἡ ἀνάκτησις τῆς Χίου ὄχι μόνον συμφέρει, ἀλλ' εἶναι καὶ ἀναγκαία εἰς τὴν ὕπαρξιν καὶ ἡσυχίαν ὅλης τῆς Ἑλλάδος....

Φ. Ὡς ἐξεναντίας εἰς τοὺς Τούρκους ἡ Χίος ἔγινε τώρα, καὶ θέλ' εἶσθαι εἰς τὸ ἑξῆς διόλου ἀνωφελής.

Δ. Καὶ δυνατὴ ἀκόμη νὰ τοὺς βλάψῃ πολύ· ἀληθὴς

Digitized by Google

πέτρα σκανδάλου, καὶ καθημερινὴ πολέμου πρόφασις μεταξὺ Τούρκων καὶ Γραικῶν, ἴσως ἀκόμη καὶ μεταξὺ Τούρκων καὶ τῶν προστατῶν μας. Ἂν ὁ τύραννος ἐλπίζῃ, ὅτι οἱ διεσπαρμένοι εἰς τὴν Εὐρώπην Χῖοι μέλλουν πάλιν νὰ τὴν κατοικήσωσι κρατουμένην ἀπ' αὐτὸν, καὶ νὰ τὴν λαμπρύνωσιν ὡς πρότερον, βόσκεται ἀπὸ ματαίας ἐλπίδας....

Φ. Ματαιοτάτας.

Δ. Ἂν ἐλπίζῃ, ὅτι ἄλλοι ἀλλαχόθεν κάτοικοι θέλουν συρρεύσειν μὲ τὸν καιρὸν εἰς αὐτὴν, αἱ ἐλπίδες του εἶν' ἀκόμη μωρότεραι.....

Φ. Μωρόταται.

Δ. Τίς ἀπὸ τοὺς Γραικοὺς, ἀφίνων τὸν τόπον τῆς γενέσεώς του, καὶ μετοικιζόμενος εἰς νέαν γῆν, μέλλει νὰ προκρίνῃ τὴν ἐρημωμένην ἀπὸ τὸν τύραννον νῆσον, ἐνῷ δύναται νὰ περάσῃ εἰς τὰς γειτονας Κυκλάδας, εἰς τὴν Σάμον, εἰς τὴν Κρήτην, ἢ τὴν Πελοπόννησον;....

Φ. Οὐδὲ κανεῖς.

Δ. Τίς προτιμᾷ νὰ πατῇ γῆν καλύπτουσαν φονευμένους ἀδελφούς του, μὲ τὸν καθημερινὸν φόβον μὴ καταχωσθῇ καὶ αὐτὸς εἰς αὐτὴν, παρὰ νὰ ζῇ ὅπου μέλλει, βλέπων τὰ ρνήματα, νὰ μακαρίζῃ τοὺς ἀγωνισθέντας ὑπὲρ ἐλευθερίας, καὶ νὰ ταλανίζῃ τοὺς πολεμήσαντας αὐτήν;

Φ. Οὐδὲ κανεῖς.

Δ. Λέγω τώρα τὰς ἐνδεχομένας βλάβας εἰς τὸν ἄγριον τύραννον, ἂν δὲν ἀποδώσῃ τὴν Χίον εἰς τοὺς Χίους. Δὲν εἶναι μόνοι οἱ Χῖοι, ἀλλὰ καὶ οἱ Ψαριανοὶ, οἱ ὁποῖοι δὲν θέλουν

Digitized by Google

ποτὲ τὸν ἀφύσειν ἥσυχον νὰ κρατῇ τὸν τόπον τῆς γενέσεως αὐ-
τῶν, τὰ Ψαρὰ, καὶ τὴν πατρίδα των τὴν Χίαν.....

Φ. Τὰ Ψαρὰ, μὰ τὴν ἀλήθειαν, δὲν εἶναι πλὴν πραάσειων
τῆς Χίου.

Δ. Οἱ Σάμιοι, ἀπὸ τἄλλο μέρος, μὴ δυνάμενοι νὰ φυλάξωσι
τὴν ἐλευθερίαν, ἐνόσῳ ἡ γειτόνισσά των Χίος κατέχεται ἀπὸ
τὸν ἐχθρὸν τῆς ἐλευθερίας, θέλουν ἐπινοήσειν παντοίους
τρόπους καὶ προφάσεις νὰ πρέξωσι τώρα φρονιμώτερα ὅ,τι
ἔπραξαν ἀνοήτως τὴν ἀρχὴν τῆς ἐπαναστάσεως, γινόμενοι αἴ-
τιοι τῆς συμφορᾶς τῶν Χίων (1).

Φ. Προφάσεις δὲν θέλουν τοὺς λείψειν νὰ ἐπιχειρήσωσι
τὴν ἀνάκτησιν τῆς Χίου.

Δ. Αὐτὸς ὁ τύραννος μέλλει νὰ τὰς δίδῃ καὶ εὐλόγους καὶ
συχνάς. Τὰ πολεμικὰ καὶ τὰ ἐμπορικά του πλοῖα, θέλει περι-
σεύειν πολὺς καιρὸς ἀκόμη ἕως νὰ βλέπωσι Σάμια, Ψαριανὰ καὶ ἄλλα
Ἑλληνικὰ πλοῖα, χωρὶς ἐπιθυμίαν νὰ τ' ἀδυνήσωσιν ὁπωσδήποτε
Ἀφίνω σε νὰ συλλογισθῇς, ἐὰν ἐλευθέρας πολιτείας ναῦτα
ὑποφέρωσι τουρκικῶν ἀνδραπόδων ἀδικίας, χωρὶς νὰ τοὺς
ποντίσωσιν εἰς τὴν θάλασσαν.

Φ. Τοῦτο βέβαια μέλλει ν' ἀκολουθήσῃ.

Δ. Ἐνθυμᾶσαι ἐκ τῆς ἱστορίας, ὁποίας συνθήκας εἰρήνης
ἔκαμαν μὲ τὸν Ἀρταξέρξην, μετὰ τῆς Κύπρου τὸν πόλεμον, οἱ
πρόγονοί μας, μὲ σκοπὸν ν' ἀποφύγωσιν εἰς τὸ ἑξῆς τὰ
ἐνδεχόμενα σκάνδαλα, ἀπὸ τὰς θαλασσίους συναπαντήσεις
Ἑλλήνων καὶ Περσῶν· τὰς ἐνθυμᾶσαι.

(1) Ἴδε τὰ εἰς τὴν δευτέρ. ἔκδ. τοῦ Βεκκαρίου Προλεγόμεν. σελ. νή.

Digitized by Google

Φ. Ὄχι τόσον λεπτομερῶς.

Δ. Ἠναγκασαν τὸν ὑπερήφανον Πέρσην, ὄχι μόνον τὰς Ἑλληνικὰς πόλεις τῆς Ἀσίας ν' ἀφήσῃ αὐτονόμους, ἀλλὰ μηδὲ νὰ ἐμβαίνῃ ὁλότελα μὲ πλοῖα πολεμικὰ εἰς τὸ Αἰγαῖον πέλαγος; βάλλοντες ὅρια ἀπὸ τὸν βορρᾶν τὰς Κυανέας, ἤγουν τὴν δυτικὴν ἄκραν τοῦ Βοσπόρου, ὅπου ἦτο τὸ Βυζάντιον, καὶ ἀπὸ τὴν νότον τὰς Χελιδονίας νήσους, ἢ τὴν Φάσηλιν τῆς Παμφυλίας (1).

Φ. Ὦ λαμπρὰ διὰ τοὺς Ἕλληνας, καὶ αἰσχρὰ διὰ τὸν βάρβαρον δεσπότην συνθήκη!

Δ. Ἦτο τότε, φίλε, ὁ καιρὸς (2), ὅτε οἱ Ἕλληνες ἔσωζαν ἀκόμη ὀλίγην Μαραθώνιον καὶ Σαλαμίνιον μεγαλοφροσύνην, ἐπειδὴ ἔκαμε τὰς συνθήκας αὐτὸς ὁ υἱὸς τοῦ Μιλτιάδου, ὁ Κίμων, ἔχων καὶ αὐτοὺς τοὺς Χίους συμμάχους· συνθήκας πολλὰ διαφόρους ἀπὸ τὰς μετὰ ἑξήκοντα ἔτη συνθήκας τῶν Σπαρτιατῶν, οἱ ὁποῖοι ἐτόλμησαν νὰ ὑποβάλωσι πάλιν εἰς τὸν ζυγὸν τοῦ Πέρσου τὰς ἐλευθερωθείσας ἀπὸ τοὺς Ἀθηναίους πόλεις (3).

---

(1) « Αὐτονόμους εἶναι τὰς κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις ἀπάσας, τοὺς δὲ τῶν Περσῶν σατράπας μὴ καταβαίνειν ἐπὶ θάλατταν κατωτέρω τριῶν ἡμερῶν ὁδὸν, μηδὲ ναῦν μακρὰν πλεῖν ἐντὸς Φασήλιδος καὶ Κυανέων. » Διοδωρ. Σικελ. XII, 4, σελ. 481. « Οὐκ ἐξῆν αὐτοῖς, οὔτε ἐντὸς Ἅλυος ποταμοῦ πεζῷ καταβαίνειν, οὔτε μακροῖς πλοίοις ἐπὶ τᾶνδου πλεῖν Φασήλιδος. » Ἰσοκράτ. Παναθην. § 20, σελ. 244.

(2) Ἔτος 449 πρὸ Χριστοῦ.

(3) Πλουτάρχ. Κίμ. § 12-14. Διόδωρ. Σικελ. XIV, 110.

Digitized by Google

Φ. Ἂς ἐλπίζωμεν ἀπὸ τοὺς προστάτας μας συνθήκας ὁμοίας τῶν Ἀττικῶν συνθηκῶν, δι' ὅλους τοὺς Ἕλληνας, καὶ ὅτι δὲν θέλουν δειχθῆν καὶ αὐτοῦ τοῦ αἱμοβόρου Σύλλα ἀσυμπαθέστεροι πρὸς ἡμᾶς τοὺς ταλαιπώρους Χίους.

3 Νοεμβρίου, 1827 (1).

---

(1) Τὰ πρόσωπα τοῦ Διαλόγου δὲν ἐγνώριζαν ἀκόμη τὸν ἀπροσδόκητον ἐξολοθρευμὸν τοῦ τυραννικοῦ στόλου. Χάρις εἰς τοὺς ναυάρχους τῶν χριστιανῶν ἡγεμόνων, τὸ ὁποῖον πρὸ πολλοῦ ἐβασάνιζε τοὺς Διπλωματικοὺς πολιτικὸν πρόβλημα ἔγινεν ἁπλούστερον. Ὅσον δύναται τὶς νὰ προμαντεύσῃ ἐκ τῶν συμβάντων τὰ μέλλοντα νὰ συμβῶσιν, ὁ ἐξοστρακισμὸς τῶν Μουσουλμάνων ἀπὸ τὴν Εὐρώπην, δυνατὸς νὰ ἀναβαλθῇ ἔτι πρὸς μικρὸν, οὔτ' ἀπὸ τοὺς Ἀουστριακοὺς οὔτ' ἀπὸ τοὺς Ἄγγλους δύναται πλέον νὰ ἐμποδισθῇ. Εἰς τὴν Ἀούστριαν μόνον νὰ μὴ φοβῆται τὴν Ῥωσίαν ἔμεινε, νὰ παραιτηθῇ τὴν ἀπόλυτον ἐξουσίαν, καὶ νὰ ἰσχυροποιηθῇ μὲ τῶν ἐλευθέρων ἐθνῶν τὴν συμμαχίαν. Ἡ Ἀγγλία δὲν ἔχει νὰ φοβῆται τὴν μέλλουσαν αὔξησιν τοῦ Ῥωσικοῦ ναυτικοῦ, ἂν προστατεύσῃ εἰλικρινῶς τὴν Αὐτονομίαν τῆς Ἑλλάδος, καὶ τὴν ἀφήσῃ ν' ἀποσπάσῃ ἀπὸ τὸν τύραννον, καὶ τὴν Χίον (ἂν δὲν ἀπεσπάσθη ἀκόμη), καὶ ὅσας ἄλλας νήσους τοῦ Αἰγαίου πελάγους δυνηθῇ, πρὶν φανῶσιν οἱ Ῥῶσοι εἰς αὐτό. Ἂν συγχωρήσῃ εἰς τοὺς ὀλιγαρχικούς της νὰ μεταχειρισθῶσι τὴν Ἑλλάδα, ὡς ἐμεταχειρίσθησαν τὴν Ἰταλίαν, τὴν Ἱσπανίαν, καὶ ὡς ἑτοιμάζονται ἴσως νὰ μεταχειρισθῶσι τὴν Λυσιτανίαν, μὴν ἀμφιβάλλῃ, ὅτι θέλει ἀναγκάσειν τοὺς Ἕλληνας νὰ προκρίνωσι τὸν Ῥωσικὸν ζυγὸν, ὡς μετριώτερον τῆς Ἀγγλικῆς πλεονεξίας. Ἀπὸ τοιαύτην ἀνάγκην μόνοι οἱ Γάλλοι δύνανται νὰ σώσωσι τὴν Ἑλλάδα. Ἂς ἐλπίζωμεν, ὅτι ἡ Γαλλία, βασιλευομένη βασιλείαν κοινοβουλευτικὴν, ἰσχυρὰ καὶ διὰ τὸ πλῆθος καὶ διὰ τὰς ἀρετὰς τῶν κατοίκων της, θέλει φιλοτιμηθῆν νὰ προσθέσῃ εἰς τὰ πολλὰ καὶ λαμπρά της κατορθώματα, καὶ τὸν ἐνδοξότατον τίτλον νὰ ἐπονομασθῇ ΠΡΟΣΤΑΤΙΣ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΑΥΤΟΝΟΜΙΑΣ. Εἰς ποῖον ἄλλο ἔθνος ἁρμόζει πλέον τοιοῦτος τίτλος παρὰ εἰς τοὺς Γάλλους, γνησίους κληρονόμους τῆς Ἀττικῆς φιλανθρωπίας καὶ φιλομουσίας;

6 Δεκεμβρίου, 1827.

Digitized by Google

ΑΡΡΙΑΝΟΥ

ΤΩΝ

ΕΠΙΚΤΗΤΟΥ ΔΙΑΤΡΙΒΩΝ

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ α'.

Περὶ Ἐλευθερίας.

Ἐλεύθερός ἐστιν, ὁ ζῶν ὡς βούλεται· ὃν οὔτ' ἀναγκάσαι 1
ἐστὶν, οὔτε κωλύσαι, οὔτε βιάσασθαι· οὗ αἱ ὁρμαὶ ἀνεμπόδιστοι,
αἱ ὀρέξεις ἐπιτευκτικαί, αἱ ἐκκλίσεις ἀπερίπτωτοι. Τίς οὖν 2
θέλει ζῆν ἁμαρτάνων; Οὐδείς. Τίς θέλει ζῆν ἐξαπατώμενος,
προπίπτων, ἄδικος ὤν, ἀκόλαστος, μεμψίμοιρος, ταπεινός;
Οὐδείς. Οὐδεὶς ἄρα τῶν φαύλων ζῇ ὡς βούλεται· οὐ τοίνυν οὐδ' 3
ἐλεύθερός ἐστι. Τίς δὲ θέλει λυπούμενος ζῆν, φοβούμενος, 4
φθονῶν, ἐλεῶν, ὀρεγόμενος καὶ ἀποτυγχάνων, ἐκκλίνων καὶ
περιπίπτων; οὐδείς. Ἔχομεν οὖν τινα τῶν φαύλων ἄλυπον, 5
ἄφοβον, ἀπερίπτωτον, ἀναπότευκτον; Οὐδένα. Οὐκ ἄρα οὐδὲ
ἐλεύθερον.

Ταῦτα ἄν τις ἀκούσῃ δισύπατος, ἂν μὲν προσθῇς, ὅτι, 6
Ἀλλὰ σύ γε σοφὸς εἶ, οὐδὲν πρὸς σὲ ταῦτα· συγγνώσεταί σοι.
Ἂν δ' αὐτῷ τὰς ἀληθείας εἴπῃς, ὅτι, Τῶν τρὶς πεπραμένων 7
οὐδὲν διαφέρεις πρὸς τὸ μὴ καὶ αὐτὸς δοῦλος εἶναι· τί ἄλλο ἢ
πληγάς σε δεῖ προσδοκᾶν; Πῶς γάρ, φησὶν, ἐγὼ δοῦλός εἰμι; 8

Digitized by Google

ὁ πατὴρ ἐλεύθερος, ἡ μήτηρ ἐλευθέρα, οὗ ὠνὴν οὐδεὶς ἔχει· ἀλλὰ καὶ συγκλητικός εἰμι, καὶ Καίσαρος φίλος, καὶ ὑπάτευκα,
9 καὶ δούλους πολλοὺς ἔχω. Πρῶτον μέν, ὦ βέλτιστε συγκλητικέ, τάχα σου καὶ ὁ πατὴρ τὴν αὐτὴν δουλείαν δοῦλος ἦν, καὶ ἡ
10 μήτηρ, καὶ ὁ πάππος, καὶ ἐφεξῆς πάντες οἱ πρόγονοι. Εἰ δὲ δὴ καὶ τὰ μάλιστα ἦσαν ἐλεύθεροι, τί τοῦτο πρὸς σέ; τί γὰρ, εἰ ἐκεῖνοι μὲν γενναῖοι ἦσαν, σὺ δ' ἀγεννής; ἐκεῖνοι μὲν ἄφοβοι, σὺ δὲ δειλός; ἐκεῖνοι μὲν ἐγκρατεῖς, σὺ δ' ἀκόλαστος;
11 Καὶ τί, φησὶ, τοῦτο πρὸς τὸ δοῦλον εἶναι; Οὐδέν σοι φαίνεται εἶναι τὸ ἄκοντά τι ποιεῖν, τὸ ἀναγκαζόμενον, τὸ
12 στένοντα, πρὸς τὸ δοῦλον εἶναι; Τοῦτο μὲν ἔστω, φησίν. Ἀλλὰ τίς με δύναται ἀναγκάσαι, εἰ μὴ ὁ πάντων κύριος Καίσαρ;
13 Οὐκοῦν ἕνα μὲν δεσπότην σαυτοῦ καὶ σὺ αὐτὸς ὡμολόγησας. Ὅτι δὲ πάντων, ὡς λέγεις, κοινός ἐστι, μηδέν σε τοῦτο παραμυθείσθω· ἀλλὰ γίνωσκε, ὅτι ἐκ μεγάλης οἰκίας δοῦλος
14 εἶ. Οὕτω καὶ Νικοπολῖται ἐπιδοᾷν εἰώθασι, Νὴ τὴν Καίσαρος Τύχην, ἐλεύθεροί ἐσμεν.
15 Ὅμως δ', ἄν σοι δοκῇ, τὸν μὲν Καίσαρα πρὸς τὸ παρὸν ἀφῶμεν. Ἐκεῖνο δέ μοι εἰπὲ, οὐδέποτ' ἠράσθης τινός; οὐ
16 παιδισκαρίου; οὐ δούλου; οὐκ ἐλευθέρου; Τί οὖν τοῦτο πρὸς
17 τὸ δοῦλον εἶναι, ἢ ἐλεύθερον; Οὐδέποθ' ὑπὸ τῆς ἐρωμένης ἐπετάγης οὐδὲν ὧν οὐκ ἤθελες; οὐδέποτέ σου τὸ δουλάριον ἐκολάκευσας; οὐδέποτ' αὐτοῦ τοὺς πόδας κατεφίλησας; καίτοι τοῦ Καίσαρος ἄν σέ τις ἀναγκάσῃ, ὕβριν αὐτὸ ἡγῇ, καὶ
18 ὑπερβολὴν τυραννίδος. Τί οὖν ἄλλο ἐστὶ δουλεία; Νυκτὸς οὐδέποτ' ἀπῆλθες ὅπου οὐκ ἤθελες; ἀνάλωσας ὅσα οὐκ ἤθελες; εἰπάς τινα οἰμώζων καὶ στένων; ἠνέσχου λοιδορούμενος, ἀπο-
19 κλειόμενος; Ἀλλ' εἰ σὺ αἰσχύνῃ τὰ σαυτοῦ ὁμολογεῖν ὅρα ἃ λέγει καὶ ποιεῖ ὁ Θρασωνίδης, ὃς τοσαῦτα στρατευσάμενος ὅσα τάχα οὐδὲ σὺ, πρῶτον μὲν ἐξελήλυθε νυκτὸς, ὅτε ὁ Γέτας

Digitized by Google

οὐ τολμᾷ ἐξελθεῖν· ἀλλ', εἰ προσηναγκάζετο ὑπ' αὐτοῦ, πολλ' ἂν ἐπικραυγάσας, καὶ τὴν πικρὰν δουλείαν ἀπολοφυράμενος, ἐξῆλθεν. Εἶτα, τί λέγει;

Παιδισκάριόν με,

φησί,

καταδεδούλωκ' εὐτελές,
Ὃν οὐδεὶς εἷς [γε] τῶν πολεμίων πώποτε.

Τάλας, ὃς γε καὶ παιδισκαρίου δοῦλος εἶ, καὶ παιδισκαρίου εὐτελοῦς. Τί οὖν ἔτι σαυτὸν ἐλεύθερον λέγεις; τί δὲ προφέρεις σου τὰς στρατείας; Εἶτα ξίφος αἰτεῖ, καὶ πρὸς τὸν ὑπ' εὐνοίας μὴ διδόντα χαλεπαίνει· καὶ δῶρα τῇ μισούσῃ πέμπει, καὶ δεῖται, καὶ κλαίει· πάλιν δὲ μικρὰ εὐημερήσας, ἐπαίρεται. Πλὴν καὶ τότε πῶς; [ὡς] μηδ' ἐπιθυμεῖν ἢ φοβεῖσθαι; [οὐχ] οὕτως ἐλευθερίας εἶχε.

Σκέψαι δ' ἐπὶ τῶν ζώων, πῶς χρώμεθα τῇ ἐννοίᾳ τῆς ἐλευθερίας. Λέοντας τρέφουσιν ἡμέρους ἐγκλείσαντες, καὶ σιτίζουσι, καὶ κομίζουσιν ἔνιοι μεθ' αὑτῶν. Καὶ τίς ἐρεῖ τοῦτον, τὸν λέοντα ἐλεύθερον; οὐχὶ δ' ὅσῳ μαλακώτερον διεξάγει, τοσούτῳ δουλικώτερον; τίς δ' ἂν αἴσθησιν καὶ λογισμὸν λαβὼν, βούλοιτο τούτων τις εἶναι τῶν λεόντων; Ἄγε, τὰ δὲ πτηνὰ ταῦτα ὅταν ληφθῇ, καὶ ἐγκεκλεισμένα τρέφηται, οἷα πάσχει, ζητοῦντα ἐκφυγεῖν; καὶ ἔνιά γε αὐτῶν λιμῷ διαφθείρεται μᾶλλον, ἢ ὑπομένει τὴν τοιαύτην διεξαγωγήν. Ὅσα δ' οὖν διασώζεται, μόγις καὶ χαλεπῶς, καὶ φθίνοντα· κἂν ὅλως εὕρῃ τι παρεφυγμένον, ἐξεπήδησεν. Οὕτως ὀρέγεται τῆς φυσικῆς ἐλευθερίας, καὶ τοῦ αὐτόνομα καὶ ἀκώλυτα εἶναι. Καὶ τί σοι κακόν ἐστιν ἐνταῦθα; Οἷα λέγεις! πέτεσθαι πέφυκα ὅπου θέλω, ὕπαιθρος διάγειν, ᾄδειν ὅταν θέλω· σύ με πάντων τούτων ἀφαιρῇ, καὶ λέγεις, τί σοι κακόν ἐστι; Διὰ τοῦτο ἐκεῖνα μόνα ἐροῦμεν ἐλεύθερα, ὅσα τὴν ἄλωσιν οὐ φέρει, ἀλλ', ἅμα τε ἑάλω, καὶ

Digitized by Google

30 ἀποθανόντα διέφυγεν. Οὕτω καὶ Διογένης που λέγει, μίαν εἶναι μηχανὴν πρὸς ἐλευθερίαν, τὸ εὐκόλως ἀποθνήσκειν· καὶ τῷ Περσῶν βασιλεῖ γράφει, ὅτι, τὴν Ἀθηναίων πόλιν καταδουλώσασθαι οὐ δύνασαι· οὐ μᾶλλον, φησὶν, ἢ τοὺς ἰχθύας.

31 Πῶς; οὐ γὰρ λήψομαι αὐτούς; Ἂν λάβῃς, φησὶν, εὐθὺς ἀπολιπόντες σε οἰχήσονται, καθάπερ οἱ ἰχθύες. Καὶ γὰρ ἐκείνων ὃν ἂν λάβῃς, ἀπέθανε· καὶ οὗτοι ληφθέντες ἐὰν ἀποθνήσκωσι,

32 τί σοι ἐς̓ι τῆς παρασκευῆς ὄφελος; Τοῦτ̓ ἔς̓ιν ἐλευθέρου ἀνδρὸς φωνὴ, σπουδῇ ἐξητακότος τὸ πρᾶγμα, καὶ ὥσπερ εἰκὸς εὑρηκότος. Ἂν δ̓ ἀλλαχοῦ ζητῇς ἢ ὅπου ἐστὶ, τί θαυμαςὸν εἰ οὐδέποτε αὐτὸ εὑρίσκεις;

33 Ὁ δοῦλος εὐθὺς εὔχεται ἀφεθῆναι ἐλεύθερος. Διὰ τί; Δοκεῖτε, ὅτι τοῖς εἰκοςώναις ἐπιθυμεῖ δοῦναι ἀργύριον; Οὔ· ἀλλ̓, ὅτι φαντάζεται, μέχρι τοῦ νῦν, διὰ τὸ μὴ τετυχηκέναι

34 τούτου, ἐμποδίζεσθαι καὶ δυσροεῖν. Ἂν ἀφεθῶ, φησὶν, εὐθὺς πᾶσα εὔροια, οὐδενὸς ἐπις̓ρέφομαι, πᾶσιν ὡς ἴσος καὶ ὅμοιος λαλῶ, πορεύομαι ὅπου θέλω, ἔρχομαι ὅθεν θέλω, καὶ ὅπου

35 θέλω. Εἶτα ἀπηλευθέρωται· καὶ εὐθὺς μὲν οὐκ ἔχων ποῖ φάγῃ, ζητεῖ τίνα κολακεύσει, παρὰ τίνι δειπνήσει· εἶτα ἢ ἐργάζεται τῷ σώματι, καὶ πάσχει τὰ δεινότατα· κἂν σχῇ τινα φάτνην,

36 ἐμπέπτωκεν εἰς δουλείαν πολὺ τῆς προτέρας χαλεπωτέραν· ἢ καὶ εὐπορήσας ἄνθρωπος ἀπειρόκαλος, πεφίληκε παιδισκάριον,

37 καὶ δυς̓υχῶν ἀνακλαίεται, καὶ τὴν δουλείαν ποθεῖ. Τί γάρ μοι κακὸν ἦν; ἄλλος μ̓ ἐνέδυεν, ἄλλος μ̓ ὑπέδει, ἄλλος ἔτρεφεν, ἄλλος ἐνοσοκόμει, ὀλίγα αὐτῷ ὑπηρέτουν. Νῦν δὲ ταλας οἷα

38 πάσχω, πλείοσι δουλεύων ἀνθ̓ ἑνός; Ὅμως δ̓ ἐὰν δακτυλίους, φησί, λάβω, τότε γ̓ εὐρούς̓ατα διάξω, καὶ εὐδαιμονές̓τατα. Πρῶτον μὲν, ἵνα λάβῃ, πάσχει ὧν ἐς̓τιν ἄξιος· εἶτα λαβὼν,

39 πάλιν ταὐτά. Εἶτά φησιν· Ἂν μὲν στρατεύσωμαι, ἀπηλλάγην πάντων τῶν κακῶν. Στρατεύεται. Πάσχει ὅσα μας̓ιγίας· καὶ

Digitized by Google

οὐδὲν ἧττον δευτέραν αἰτεῖ στρατείαν, καὶ τρίτην. Εἶθ' ὅταν 40
αὐτὸν τὸν κολοφῶνα ἐπιθῇ, καὶ γένηται συγκλητικὸς, τότε
γίνεται δοῦλος εἰς σύλλογον ἐρχόμενος, τότε τὴν καλλίω καὶ
λιπαρωτάτην δουλείαν δουλεύει.

Ἵνα μὴ μωρὸς ᾖ, ἀλλ' ἵνα μαθῇ ἃ ἔλεγεν ὁ Σωκράτης, τί 41
ἐστι τῶν ὄντων ἕκαστον, καὶ μὴ εἰκῇ τὰς προλήψεις ἐφαρμόζῃ
ταῖς ἐπὶ μέρους οὐσίαις. Τοῦτο γάρ ἐστι τὸ αἴτιον τοῖς ἀνθρώ- 42
ποις πάντων τῶν κακῶν, τὸ τὰς προλήψεις τὰς κοινὰς μὴ
δύνασθαι ἐφαρμόζειν τοῖς ἐπὶ μέρους. Ἡμεῖς δ' ἄλλοι ἄλλα
οἰόμεθα. Ὁ μὲν, ὅτι νοσεῖ. Οὐδαμῶς, ἀλλ' ὅτι τὰς προλήψεις 43
οὐκ ἐφαρμόζει. Ὁ δ', ὅτι πτωχός ἐστιν· ὁ δ', ὅτι πατέρα
χαλεπὸν ἔχει ἢ μητέρα· τῷ δ', ὅτι ὁ Καίσαρ οὐχ ἱλεώς ἐστι.
Τοῦτο δ' ἔστιν ἓν καὶ μόνον, τὸ τὰς προλήψεις ἐφαρμόζειν μὴ
εἰδέναι. Ἐπεὶ τίς οὐκ ἔχει κακοῦ πρόληψιν, ὅτι βλαβερόν ἐστιν, 44
ὅτι φευκτόν ἐστιν, ὅτι παντὶ τρόπῳ ἀποικονόμητόν ἐστι;
Πρόληψις προλήψει οὐ μάχεται, ἀλλ' ὅταν ἔλθῃ ἐπὶ τὸ ἐφαρμό-
ζειν. Τί οὖν τὸ καλόν ἐστι τοῦτο, καὶ βλαβερὸν, καὶ φευκτόν; 45
Λέγει, τὸ Καίσαρος μὴ εἶναι φίλον. Ἀπῆλθεν, ἀπέπεσε τῆς
ἐφαρμογῆς, σκίβεται, ζητεῖ τὰ μηδὲν πρὸς τὸ προκείμενον· ὅτι
τυχὼν τοῦ φίλος εἶναι Καίσαρος, οὐδὲν ἧττον τοῦ ζητουμένου οὐ
τέτευχε. Τί γάρ ἐστιν, ὃ ζητεῖ πᾶς ἄνθρωπος; Εὐσταθῆσαι, 46
εὐδαιμονῆσαι, πάντα ὡς θέλει ποιεῖν, μὴ κωλύεσθαι, μηδ'
ἀναγκάζεσθαι. Ὅταν οὖν γένηται Καίσαρος φίλος, πέπαυται
κωλυόμενος; πέπαυται ἀναγκαζόμενος; εὐσταθεῖ; εὑροεῖ; Τίνος
πυθώμεθα; Τίνα ἔχομεν ἀξιοπιστότερον, ἢ αὐτὸν τοῦτον τὸν
γεγονότα φίλον; Ἐλθὲ εἰς τὸ μέσον, καὶ εἰπὲ ἡμῖν, πότε ἀτα- 47
ραχώτερον ἐκάθευδες; νῦν, ἢ πρὶν γενέσθαι φίλος τοῦ Καίσαρος;
Εὐθὺς ἀκούεις, ὅτι, Παῦσαι, τοὺς Θεούς σοι, ἐμπαίζων μου τῇ
τύχῃ. Οὐκ οἶδας οἷα πάσχω τάλας, οὐδ' ὕπνος ἐπέρχεταί μοι·
ἀλλ' ἄλλος ἔλθὼν λέγει, ὅτι, Ἤδη ἐγρηγορεῖ, ἤδη πρόεισιν·

Digitized by Google

48 εἶτα ταραχαί, εἶτα φροντίδες. Ἄγε, ἐθείπνεις δὲ πότε εὐαρεστότερον; νῦν, ἢ πρότερον; Ἄκουσον αὐτοῦ, καὶ περὶ τούτων τί λέγει· ὅτι, ἂν μὲν μὴ κληθῇ, ὀδυνᾶται· ἂν δὲ κληθῇ, ὡς δοῦλος παρὰ κυρίῳ δειπνεῖ, μεταξὺ προσέχων μή τι μωρὸν εἴπῃ ἢ ποιήσῃ. Καὶ τί δοκεῖς φοβεῖται; μὴ μαστιγωθῇ ὡς δοῦλος; Πόθεν αὐτῷ οὕτω καλῶς; Ἀλλ', ὡς πρέπει τηλικοῦτον ἄνδρα,
49 Καίσαρος φίλον, μὴ ἀπολέσῃ τὸν τράχηλον. Ἐλούου δὲ πότ' ἀταραχώτερον; ἐγυμνάζου δὲ πότε σχολαίτερον; Τὸ σύνολον,
50 ποῖον μᾶλλον ἤθελες βίον βιοῦν; τὸν νῦν, ἢ τὸν τότε; Ὁμόσαι δύναμαι, ὅτι οὐδεὶς οὕτως ἐστὶν ἀναίσθητος, ἢ ἀναλήθης, ὡς μὴ ἀποδύρασθαι τὰς αὑτοῦ συμφορὰς, ἅσῳ ἂν ᾖ φίλτερος.
51 Ὅταν οὖν μήτε οἱ βασιλεῖς λεγόμενοι ζῶσιν ὡς θέλουσι, μήθ' οἱ φίλοι τῶν βασιλέων, τίνες ἔτι εἰσὶν ἐλεύθεροι; Ζήτει καὶ εὑρήσεις. Ἔχεις γὰρ ἀφορμὰς παρὰ τῆς φύσεως πρὸς εὕρεσιν τῆς ἀληθείας. Εἰ δ' αὐτὸς οὐχ οἷός τε εἶ, κατὰ ταύτας ψιλὰς πορευόμενος, εὑρεῖν τὸ ἑξῆς, ἄκουσον παρὰ τῶν ἐξητηκότων.
52 Τί λέγουσιν; Ἀγαθόν σοι δοκεῖ ἡ ἐλευθερία; Τὸ μέγιστον. Δύναται οὖν τις τοῦ μεγίστου ἀγαθοῦ τυγχάνων, κακοδαιμονεῖν, ἢ κακῶς πράσσειν; Οὔ. Ὅσους οὖν ἂν ἴδῃς κακοδαιμονοῦντας, λυπρουῦντας, πενθοῦντας, ἀποφαίνου θαῤῥῶν, μὴ εἶναι ἐλευ-
53 θέρους. Ἀποφαίνομαι. Οὐκοῦν ἀπὸ μὲν ὠνῆς καὶ πράσεως, καὶ τῆς τοιαύτης ἐν κτήσει κατατάξεως, ἤδη ἀπεκεχωρήκαμεν. Εἰ γὰρ ὀρθῶς ὡμολόγησας ταῦτα, ἄν τε μέγας βασιλεὺς κακοδαιμονῇ, οὐκ ἂν [εἴη] ἐλεύθερος, ἄν τε μικρὸς, ἄν θ' ὑπατικὸς, ἄν τε δισύπατος. Ἔσω.
54 Ἔτι οὖν ἀπόκριναί μοι κἀκεῖνο, δοκεῖ σοι μέγα τι εἶναι καὶ γενναῖον ἡ ἐλευθερία καὶ ἀξιόλογον; Πῶς γὰρ οὔ; Ἔστιν οὖν, τυγχάνοντά τινος οὕτω μεγάλου καὶ ἀξιολόγου καὶ γενναίου,
55 ταπεινὸν εἶναι; Οὐκ ἔστιν. Ὅταν οὖν ἴδῃς τινὰ ὑποπεπτωκότα ἑτέρῳ, ἢ κολακεύοντα παρὰ τὸ φαινόμενον αὐτῷ, λέγε καὶ

Digitized by Google

τοῦτον Θαῤῥῶν μὴ εἶναι ἐλεύθερον· καὶ μὴ μόνον, ἂν δειπναρίου ἕνεκα αὐτὸ ποιῇ, ἀλλὰ κἂν ἐπαρχίας ἕνεκα, κἂν ὑπατείας. Ἀλλ' ἐκείνους μὲν μικροδούλους λέγε, τοὺς μικρῶν τινων ἕνεκα ταῦτα ποιοῦντας· τούτους δ', ὡς εἰσὶν ἄξιοι, μεγαλοδούλους. Ἔςω καὶ ταῦτα. Δοκεῖ δέ σοι ἡ ἐλευθερία αὐτεξούσιόν 56
τι καὶ αὐτόνομον; Πῶς γὰρ οὔ; Ὄντινα οὖν ἐπ' ἄλλῳ κωλύσαι ἐςί, καὶ ἀναγκάσαι, Θαῤῥῶν λέγε μὴ εἶναι ἐλεύθερον. Καὶ μή 57
μοι πάππους αὐτοῦ καὶ προπάππους βλέπε, καὶ ὠνὴν ζήτει καὶ πρᾶσιν· ἀλλ', ἂν ἀκούσῃς λέγοντος ἔσωθεν καὶ ἐκ πάθους, Κύριε· κἂν δώδεκα ῥάβδοι προάγωσι, λέγε δοῦλον. Κἂν ἀκούσῃς λέγοντος; Ταλας ἐγὼ, οἷα πάσχω; λέγε δοῦλον. Ἂν ἁπλῶς ἀποκλαιόμενον ἴδῃς, μεμφόμενον, δυσροοῦντα, λέγε δοῦλον, περιπόρφυρον ἔχοντα. Ἂν οὖν μηδὲν τούτων *μὴ* ποιῇ, 58
μήπω εἴπῃς ἐλεύθερον· ἀλλὰ τὰ δόγματα αὐτοῦ κατάμαθε, μή τι ἀναγκαςά, μή τι κωλυτικά, μή τι δυσροητικά; Κἂν εὕρῃς τοιοῦτον, λέγε δοῦλον, ἀνοχὰς ἔχοντα ἐν Σατορναλίοις· λέγε, ὅτι ὁ κύριος αὐτοῦ ἀποδημεῖ· εἶθ' ἥξει, καὶ γνώσῃ οἷα πάσχει. Τίς ἥξει; Πᾶς ὃς ἂν ἐξουσίαν ἔχῃ τῶν ὑπ' αὐτοῦ 59
τινος θελομένων, πρὸς τὸ περιποιῆσαι ταῦτα, ἢ ἀφελέσθαι. Οὕτως οὖν πολλοὺς κυρίους ἔχομεν; Οὕτω. Τὰ γὰρ πράγματα προτέρους τούτων κυρίους ἔχομεν· ἐκεῖνα δὲ πολλά ἐςι· διὰ ταῦτα ἀνάγκη, καὶ τοὺς τούτων τινὸς ἔχοντας ἐξουσίαν, κυρίους εἶναι. Ἐπεί τοι οὐδὶς αὐτὸν τὸν Καίσαρα φοβεῖται· ἀλλὰ 60
θάνατον, φυγὴν, ἀφαίρεσιν τῶν ὄντων, φυλακὴν, ἀτιμίαν. Οὐδὲ φιλεῖ τις τὸν Καίσαρα, ἂν μή τι ἦ πολλοῦ ἄξιος· ἀλλὰ πλοῦτον φιλοῦμεν, δημαρχίαν, στρατηγίαν, ὑπατείαν. Ὅταν ταῦτα φιλῶμεν, καὶ μισῶμεν, καὶ φοβώμεθα, ἀνάγκη τοὺς ἐξουσίαν αὐτῶν ἔχοντας κυρίους ἡμῶν εἶναι. Διὰ τοῦτο καὶ ὡς Θεοὺς αὐτοὺς προσκυνοῦμεν. Ἐννοοῦμεν γὰρ, ὅτι τὸ ἔχον 61
ἐξουσίαν τῆς μεγίςης ὠφελείας, θεῖόν ἐςιν. Εἶθ' ὑποτάσσομεν

κακῶς, Οὗτος δ' ἔχει τῆς μεγίστης ὠφελείας ἐξουσίαν· Θεῖον ἄρα ἐστίν. Εἰ γὰρ ὑποτάσσομεν κακῶς, τὸ, οὗτος δ' ἔχει τῆς μεγίστης ὠφελείας ἐξουσίαν, ἀνάγκη καὶ τὸ γενόμενον ἐξ αὐτῶν ἐπενεχθῆναι κακῶς.

62 Τί οὖν ἐστι τὸ ποιοῦν ἀκώλυτον τὸν ἄνθρωπον, καὶ αὐτεξούσιον; πλοῦτος γὰρ οὐ ποιεῖ, οὐδ' ὑπατεία, οὐδ' ἐπαρχία, οὐδὲ
63 βασιλεία· ἀλλὰ δεῖ τι ἄλλο εὑρεθῆναι. Τί οὖν ἐστι τὸ ἐν τῷ γράφειν ἀκώλυτον ποιοῦν καὶ ἀπαραπόδιστον; Ἡ ἐπιστήμη τοῦ γράφειν. Τί δ' ἐν τῷ κιθαρίζειν; Ἡ ἐπιστήμη τοῦ κιθαρίζειν.
64 Οὐκοῦν καὶ ἐν τῷ βιοῦν, ἡ ἐπιστήμη τοῦ βιοῦν. Ὡς μὲν οὖν ἁπλῶς, ἀκήκοας· σκέψαι δ' αὐτὸ καὶ ἐκ τῶν ἐπὶ μέρους. Τὸν ἐφιέμενόν τινος τῶν ἐπ' ἄλλοις ὄντων, ἐνδέχεται ἀκώλυτον εἶναι; Οὔ. Ἐνδέχεται ἀπαραπόδιστον; Οὔ. Οὐκοῦν οὐδ' ἐλεύθερον.
65 Ὅρα οὖν· πότερον οὐδὲν ἔχομεν ὃ ἐφ' ἡμῖν μόνοις ἐστίν; ἢ
66 πάντα; ἢ τὰ μὲν ἐφ' ἡμῖν ἐστι, τὰ δ' ἐπ' ἄλλοις; Πῶς λέγεις; Τὸ σῶμα ὅταν θέλῃς ὁλόκληρον εἶναι, ἐπὶ σοί ἐστιν ἢ οὔ; Οὐκ ἐπ' ἐμοί. Ὅταν δ' ὑγιαίνειν; οὐδὲ τοῦτο. Ὅταν δὲ καλὸν εἶναι; Οὐδὲ τοῦτο. Ζῆν δὲ, ἢ ἀποθανεῖν; Οὐδὲ τοῦτο. Οὐκοῦν τὸ μὲν σῶμα ἀλλότριον, ὑπεύθυνον παντὸς τοῦ ἰσχυροτέρου.
67 Ἔσω. Τὸν ἀγρὸν δ' ἐπὶ σοί ἐστιν ἔχειν ὅταν θέλῃς, καὶ ἐφ' ὅσον θέλεις, καὶ οἷον θέλεις; Οὔ. Τὰ δὲ δουλάρια; Οὔ. Τὰ δ' ἱμάτια; Οὔ. Τὸ δ' οἰκίδιον; Οὔ. Τοὺς δ' ἵππους; Τούτων μὲν οὐδέν. Ἂν δὲ τὰ τέκνα σου ζῆν θέλῃς ἐξ ἅπαντος, ἢ τὴν γυναῖκα, ἢ τὸν ἀδελφὸν, ἢ τοὺς φίλους, ἐπὶ σοί ἐστίν; Οὐδὲ ταῦτα.
68 Πότερον οὖν οὐδὲν ἔχεις αὐτεξούσιον, ὃ ἐπὶ μόνῳ ἐστὶ σοί, καὶ ἀναφαίρετον; ἢ ἔχεις τι τοιοῦτον; Οὐκ οἶδα. Ὅρα οὖν
69 οὕτω, καὶ σκέψαι αὐτό. Μή τις δύναταί σε ποιῆσαι συγκατατίθεσθαι τῷ ψεύδει; Οὐδείς. Οὐκοῦν ἐν μὲν τῷ συγκαταθετικῷ
70 τόπῳ ἀκώλυτος εἶ καὶ ἀνεμπόδιστος. Ἔστω. Ἄγε, ὁρμῆσαι δέ σε

Digitized by Google

ἐφ' ὃ μὴ θέλεις, τίς δύναται ἀναγκάσαι; Δύναται. Ὅταν γάρ μοι θάνατον ἡ δεσμὰ ἀπειλῇ, ἀναγκάζει με ὁρμῆσαι. Ἂν οὖν καταφρονῇς τοῦ ἀποθανεῖν καὶ τοῦ δεδέσθαι, ἔτι αὐτοῦ ἐπισρέφῃ; Οὔ. Σὸν οὖν ἐσιν ἔργον, τὸ καταφρονεῖν θανάτου, ἢ οὐ σόν; 71
Ἐμόν. Σὸν ἄρα ἐσὶ καὶ τὸ ὁρμῆσαι. Ἢ οὔ; Ἔσω ἐμόν. Τὸ δ' ἀφορμῆσαι, τίνος; σὸν καὶ τοῦτο. Τί οὖν, ἂν, ἐμοῦ ὁρμή- 72
σαντος περιπατῆσαι, ἐκεῖνός με κωλύσῃ; Τί σου κωλύει; μή τι τὴν συγκατάθεσιν; Οὔ· ἀλλὰ τὸ σωμάτιον. Ναί, ὡς λίθον. Ἔσω· ἀλλ' οὐκέτι ἐγὼ περιπατῶ. Τίς δέ σοι εἶπε, Τὸ περιπατῆσαι 73
σὸν ἔργον ἐσὶ [καὶ] ἀκώλυτον; ἐγὼ γὰρ ἐκεῖνο ἔλεγον ἀκώλυτον μόνον, τὸ ὁρμῆσαι· ὅπου δὲ σώματος χρεία καὶ τῆς ἐκ τούτου συνεργείας, πάλαι ἀκήκοας ὅτι οὐδέν ἐσι σόν. Ἔσω καὶ ταῦτα. Ὁρέγεσθαι δέ σε οὖ μὴ θέλεις, τίς ἀναγκάσαι δύναται; Οὐδείς. 74
Προθέσθαι δ' ἢ ἐπιβαλέσθαι τις, ἢ ἁπλῶς χρῆσθαι ταῖς προσ-πιπτούσαις φαντασίαις; Οὐδὲ τοῦτο. Ἀλλὰ ὀρεγόμενόν με 75
κωλύσει τυχεῖν οὗ ὀρέγομαι. Ἂν τῶν σῶν τινος ὀρέγῃ, καὶ τῶν ἀκωλύτων, πῶς σε κωλύσει; Οὐδαμῶς. Τίς οὖν σοι λέγει, ὅτι ὁ τῶν ἀλλοτρίων ὀρεγόμενος ἀκώλυτός ἐσιν;

Ὑγείας οὖν μὴ ὀρέγωμαι; Μηδαμῶς, μηδ' ἄλλου ἀλλοτρίου 76
μηδενός. Ὃ γὰρ οὐκ ἔσιν ἐπί σοι παρασκευάσαι ἢ τηρῆσαι 77
ὅτε θέλεις, τοῦτο ἀλλότριόν ἐσι. Μακρὰν ἀπ' αὐτοῦ οὐ μόνον τὰς χεῖρας, ἀλλὰ πολὺ πρότερον τὴν ὄρεξιν. Εἰ δὲ μὴ, παρέδωκας σαυτὸν δοῦλον· ὑπέθηκας τὸν τράχηλον, ἄν τι θαυμάσῃς τῶν μὴ σῶν, ᾧ τινι ἂν τῶν ὑπευθύνων καὶ θνητῶν προσπαθῇς. Ἡ χεὶρ οὐκ ἔσιν ἐμή; Μέρος ἐστὶ σόν· 78
φύσει δὲ πηλὸς, κωλυτὸν, ἀναγκαῖον, δοῦλον παντὸς τοῦ ἰσχυροτέρου. Καὶ τί σοι λέγω χεῖρα; ὅλον τὸ σῶμα οὕτως 79
ἔχειν σε δεῖ ὡς ὀνάριον ἐπισεσαγμένον· ἐφ' ὅσον ἂν οἷόν τε ᾖ, ἐφ' ὅσον ἂν διδῶται. Ἂν δ' ἀγγαρεία ᾖ, καὶ γρατιώτης ἐπιλά-βηται, ἄφες, μὴ ἀντίτεινε, μηδὲ γόγγυζε. Εἰ δὲ μὴ, πληγὰς

Digitized by Google

80 λαβὼν, οὐδὲν ἧττον ἀπολεῖς καὶ τὸ ὀνάριον. Ὅταν δὲ πρὸς τὸ σῶμα οὕτως ἔχειν σε δέῃ, ὅρα τί ἀπολείπεται περὶ τὰ ἄλλα, ὅσα τοῦ σώματος ἕνεκα παρασκευάζεται. Ὅταν ἐκεῖνο ὀνάριον ᾖ, τἆλλα γίνεται χαλινάρια τοῦ ὀναρίου, σαγμάτια, ὑποδημάτια, κριθαὶ, χόρτος. Ἄφες κἀκεῖνα· ἀπόλυε θᾶττον καὶ εὐκολώτερον ἢ τὸ ὀνάριον.

81 Καὶ ταύτην τὴν παρασκευὴν παρασκευασάμενος, καὶ τὴν ἄσκησιν ἀσκήσας, τὰ ἀλλότρια ἀπὸ τῶν ἰδίων διακρίνειν, τὰ κωλυτὰ ἀπὸ τῶν ἀκωλύτων, ταῦτα πρὸς ἑαυτὸν ἡγεῖσθαι, ἐκεῖνα μὴ πρὸς ἑαυτὸν, ἐνταῦθα ἐπιστρόφως ἔχειν τῆς ὀρέξεως, ἐν-

82 ταῦθα κατὰ τὴν ἔκκλισιν· μή τι ἔτι φοβῇ τινα; Οὐδένα. Περὶ τίνος γὰρ φοβήσῃ; περὶ τῶν σεαυτοῦ, ὅπου ἡ οὐσία τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ; καὶ τίς τούτων ἐξουσίαν ἔχει; τίς ἀφελέσθαι

83 αὐτὰ δύναται; τίς ἐμποδίσαι; οὐ μᾶλλον ἢ τὸν Θεόν. Ἀλλ' ὑπὲρ τοῦ σώματος, καὶ τῆς κτήσεως; ὑπὲρ τῶν ἀλλοτρίων; ὑπὲρ τῶν οὐδὲν πρὸς σέ; Καὶ τί ἄλλο ἐξαρχῆς ἐμελέτας, ἢ διακρίνειν τὰ σὰ καὶ οὐ σὰ, τὰ ἐπὶ σοὶ καὶ οὐκ ἐπὶ σοὶ, τὰ κωλυτὰ καὶ ἀκώλυτα; Τίνος δὲ ἕνεκα προσῆλθες τοῖς φιλοσό-

84 φοις; ἵνα μηδὲν ἧττον ἀτυχῇς καὶ δυστυχῇς; Οὐκοῦν ἄφοβος μὲν οὕτως ἔσῃ καὶ ἀτάραχος. Λύπη δὲ τί πρὸς σέ; ὧν γὰρ προσδοκωμένων φόβος γίνεται, καὶ λύπη παρόντων. Ἐπιθυμήσεις δὲ τίνος ἔτι; Τῶν μὲν γὰρ προαιρετικῶν, ὅτε καλῶν ὄντων καὶ παρόντων, σύμμετρον ἔχεις καὶ καθεσταμένην τὴν ὄρεξιν· τῶν δ' ἀπροαιρέτων οὐδενὸς ὀρέγῃ, ἵνα καὶ τόπον σχῇ τὸ ἄλογον ἐκεῖνο, καὶ ὠστικὸν, καὶ παρὰ τὰ μέτρα ἠπειγμένον.

85 Ὅταν οὖν πρὸς τὰ πράγματα οὕτως ἔχῃς, τίς ἔτι ἄνθρωπος δύναται φοβερὸς εἶναι; Τί γὰρ ἔχει ἄνθρωπος ἀνθρώπῳ φοβερὸν, ἢ ὀφθείς, ἢ λαλήσας, ἢ ὅλως συναναστραφείς; οὐ μᾶλλον ἢ ἵππος ἵππῳ, ἢ κύων κυνὶ, ἢ μέλισσα μελίσσῃ. Ἀλλὰ τὰ πράγματα ἑκάστῳ φοβερά ἐστι· ταῦτα δ' ὅταν περιποιεῖν τις

Digitized by Google

δύνηταί τινι ἢ ἀφελέσθαι, τότε καὶ αὐτὸς φοβερὸς γίνεται. Πῶς 86
οὖν ἀκρόπολις καταλύεται; Οὐ σιδήρῳ, οὐδὲ πυρί, ἀλλὰ
δόγμασιν. Ἂν γὰρ τὴν οὖσαν ἐν τῇ πόλει καθέλωμεν, μή τι καὶ
τὴν τοῦ πυρετοῦ; μή τι καὶ τὴν τῶν καλῶν γυναικαρίων; μή τι
ἁπλῶς τὴν ἐν ἡμῖν ἀκρόπολιν, καὶ τοὺς ἐν ἡμῖν τυράννους
ἀποβεβλήκαμεν; οὓς ἐφ' ἑκάστοις καθ' ἡμέραν ἔχομεν, ποτὲ
μὲν τοὺς αὐτούς, ποτὲ δ' ἄλλους. Ἀλλ' ἔνθεν ἄρξασθαι δεῖ, καὶ 87
ἔνθεν καθελεῖν τὴν ἀκρόπολιν, ἐκβαλεῖν τοὺς τυράννους· τὸ
σωμάτιον ἀφεῖναι, τὰ μέρη αὐτοῦ, τὰς δυνάμεις, τὴν κτῆσιν,
τὴν φήμην, ἀρχάς, τιμάς, τέκνα, ἀδελφούς, φίλους, ταῦτα
πάντα ἡγήσασθαι ἀλλότρια. Κἂν ἔνθεν ἐκβληθῶσιν οἱ τύραννοι, 88
τί ἔτι ἀποτειχίζω τὴν ἀκρόπολιν, ἐμοῦ γε ἕνεκα; ἐσῶσα γάρ,
τί μοι ποιεῖ; Τί ἔτι ἐκβάλλω τοὺς δορυφόρους; Ποῦ γὰρ αὐτῶν
αἰσθάνομαι; Ἐπ' ἄλλους ἔχουσι τὰς ῥάβδους, καὶ τοὺς κοντοὺς,
καὶ τὰς μαχαίρας. Ἐγὼ δ' οὐ πώποτε θέλων ἐκωλύθην, οὔτ' 89
ἠναγκάσθην μὴ θέλων. Καὶ πῶς τοῦτο δυνατόν; Προσκατα-
τέταχά μου τὴν ὁρμὴν τῷ Θεῷ. Θέλει μ' ἐκεῖνος πυρέσσειν;
κἀγὼ θέλω. Θέλει ὁρμᾶν ἐπί τι; κἀγὼ θέλω. Θέλει ὀρέγεσθαι;
κἀγὼ θέλω. Θέλει με τυχεῖν τινος; κἀγὼ βούλομαι. Οὐ θέλει; 90
οὐ βούλομαι. [Ἀποθανεῖν με θέλει; στρεβλωθῆναί με θέλει;]
ἀποθανεῖν οὖν θέλω· στρεβλωθῆναι οὖν θέλω. Τίς ἔτι με
κωλύσαι δύναται παρὰ τὸ ἐμοὶ φαινόμενον, ἢ ἀναγκάσαι; Οὐ
μᾶλλον ἢ τὸν Δία.

Οὕτω ποιοῦσι καὶ τῶν ὁδοιπόρων οἱ ἀσφαλέστεροι. Ἀκήκοεν 91
ὅτι λῃστεύεται ἡ ὁδὸς, μόνος οὐ τολμᾷ καθεῖναι· ἀλλὰ περιέμεινε
συνοδίαν ἢ πρεσβευτοῦ, ἢ ταμίου, ἢ ἀνθυπάτου· καὶ προσκατα-
τάξας ἑαυτὸν, παρέρχεται ἀσφαλῶς. Οὕτω καὶ ἐν τῷ κόσμῳ 92
ποιεῖ ὁ φρόνιμος. Πολλὰ λῃστήρια, τύραννοι, χειμῶνες, ἀπορίαι,
ἀποβολαὶ τῶν φιλτάτων. Ποῦ τις καταφύγῃ; πῶς ἀλῃστευτος 93
παρέλθῃ; ποίαν συνοδίαν περιμείνας, ἀσφαλῶς διέλθῃ; τίνι

Digitized by Google

94 προσκατατάξας ἑαυτόν; Τῷ δεῖνι, τῷ πλουσίῳ; τῷ ὑπατικῷ; Καὶ τί μοι ὄφελος; αὐτὸς ἐκδύεται, οἰμώζει, πενθεῖ. Τί δ' ἂν ὁ συνοδοιπόρος αὐτὸς ἐπ' ἐμὲ γραφεὶς, λῃστής μου γένηται; τί
95 ποιήσω; Φίλος ἔσομαι Καίσαρος· ἐκείνου με ὄντα ἑταῖρον οὐδεὶς ἀδικήσει. Πρῶτον μὲν, ἵνα γένωμαι λαμπρὸς, ἃ με δεῖ τλῆναι καὶ παθεῖν; ποσάκις καὶ ὑπὸ πόσων λῃστευθῆναι; εἶτα, ἐὰν
96 γένωμαι, καὶ οὗτος ἀνητός ἐστιν. Ἂν δ' αὐτὸς ἔκ τινος περιγάσεως ἐχθρός μου γένηται, ἀναχωρῆσαι ποῦ ποτε κρεῖσσον; εἰς
97 ἐρημίαν; ἄγε, ἐκεῖ πυρετὸς οὐκ ἔρχεται; Τί οὖν γένηται; οὐκ ἔστιν εὑρεῖν ἀσφαλῆ σύνοδον, πιστὸν, ἰσχυρὸν, ἀνεπιβούλευτον;
98 Οὕτως ἐφίστησι καὶ ἐννοεῖ, ὅτι, ἐὰν τῷ Θεῷ προσκατατάξῃ ἑαυτὸν, διελεύσεται ἀσφαλῶς.

99 Πῶς λέγεις προσκατατάξαι; Ἵν', ὃ ἂν ἐκεῖνος θέλῃ, καὶ αὐτὸς
100 θέλῃ· καὶ, ὃ ἂν ἐκεῖνος μὴ θέλῃ, τοῦτο μηδ' αὐτὸς θέλῃ. Πῶς οὖν τοῦτο γένηται; Πῶς γὰρ ἄλλως, ἢ ἐπισκεψαμένῳ τὰς ὁρμὰς τοῦ Θεοῦ, καὶ τὴν διοίκησιν; Τί μοι δέδωκεν ἐμὸν καὶ αὐτεξούσιον; τί αὐτῷ κατέλιπε; τὰ προαιρετικά μοι δέδωκεν· ἐπ' ἐμοὶ πεποίηκεν, ἀνεμπόδιστα, ἀκώλυτα. Τὸ σῶμα τὸ πήλινον πῶς ἐδύνατο ἀκώλυτον ποιῆσαι; ὑπέταξεν οὖν τῇ τῶν Ὅλων περιόδῳ τὴν κτῆσιν, τὰ σκεύη, τὴν οἰκίαν, τὰ τέκνα, τὴν
101 γυναῖκα. Τί οὖν θεομαχῶ; τί θέλω τὰ μὴ θεληθέντα; τὰ μὴ δοθέντα μοι ἐξ ἅπαντος ἔχειν; Ἀλλὰ πῶς; Ὡς δέδοται, καὶ ἐφ' ὅσον δέδοται. Ἀλλ' ὁ δοὺς ἀφαιρεῖται. Τί οὖν ἀντιτείνω; οὐ λέγω, ὅτι ἠλίθιος ἔσομαι, τὸν ἰσχυρότερον βιαζόμενος, ἀλλ'
102 ἔτι πρότερον ἄδικος. Πόθεν γὰρ ἔχων αὐτὰ ἦλθον; Ὁ πατήρ μοι αὐτὰ ἔδωκεν. Ἐκείνῳ δὲ τίς; Τὸν ἥλιον δὲ τίς πεποίηκε; τοὺς καρποὺς δὲ τίς; τὰς δ' ὥρας τίς; τὴν δὲ πρὸς ἀλλήλους συμπλοκὴν καὶ κοινωνίαν τίς;

103 Εἶτα σὺ, πάντα εἰληφὼς παρ' ἄλλου, καὶ αὐτὸν σεαυτὸν, ἀγανακτεῖς καὶ μέμφῃ τὸν δόντα, ἂν σού τι ἀφέληται; Τίς ὢν;

Digitized by Google

καὶ ἐπὶ τί ἐληλυθώς; Οὐχὶ ἐκεῖνός σε εἰσήγαγεν; οὐχὶ τὸ φῶς 104
ἐκεῖνός σοι ἔδειξεν; οὐ συνεργοὺς ἔδωκεν; οὐκ αἰσθήσεις; οὐ
λόγον; ὡς τίνα δὲ εἰσήγαγεν; οὐχ ὡς θνητόν; οὐχ ὡς μετ'
ὀλίγου σαρκιδίου ζήσοντα ἐπὶ τῆς γῆς; καὶ θεασόμενον τὴν
διοίκησιν αὐτοῦ, καὶ συμπομπεύσοντα αὐτῷ, καὶ συνεορτά-
σοντα πρὸς ὀλίγον; Οὐ θέλεις οὖν, ἕως δέδοταί σοι, θεασά- 105
μενος τὴν πομπὴν καὶ τὴν πανήγυριν, εἶτα, ὅταν σ' ἐξάγῃ,
πορεύεσθαι προσκυνήσας καὶ εὐχαριστήσας ὑπὲρ ὧν ἤκουσας
καὶ εἶδες; Οὔ· ἀλλ' ἔτι ἑορτάζειν ἤθελον. Καὶ γὰρ οἱ μύσται, 106
μυεῖσθαι· τάχα δὲ καὶ οἱ ἐν Ὀλυμπίᾳ, ἄλλους ἀθλητὰς βλέπειν.
Ἀλλὰ ἡ πανήγυρις πέρας ἔχει. Ἔξελθε· ἀπαλλάγηθι ὡς εὐχά-
ριστος, ὡς αἰδήμων· δὸς ἄλλοις τόπον· δεῖ γενέσθαι καὶ
ἄλλους, καθάπερ καὶ σὺ ἐγένου, καὶ γενομένους ἔχειν χώραν,
καὶ οἰκήσεις καὶ τὰ ἐπιτήδεια. Ἂν δ' οἱ πρῶτοι μὴ ὑπεξάγωσι,
τί ὑπολείπεται; τί ἄπληστος εἶ; τί ἀνίκανος; τί ξενοχωρεῖς τὸν
κόσμον; Ναί· ἀλλὰ καὶ τὰ τεκνία μετ' ἐμαυτοῦ εἶναι θέλω, 107
καὶ τὴν γυναῖκα. Σὰ γάρ ἐστιν; οὐχὶ τοῦ δόντος; οὐχὶ καὶ τοῦ
σὲ πεποιηκότος; εἶτα οὐκ ἐκχήσῃ τῶν ἀλλοτρίων; οὐ παραχω-
ρήσεις τῷ Κρείσσονι; Τί οὖν μ' εἰσῆγεν ἐπὶ τούτοις; *Καί* εἰ 108
μὴ ποιεῖ σοι, ἔξελθε· οὐκ ἔχει χρείαν θεατοῦ μεμψιμοίρου.
Τῶν συνεορταζόντων δεῖται, τῶν συγχορευόντων, ἵν' ἐπικρο-
τῶσι μᾶλλον, ἐπιθειάζωσιν, ὑμνῶσί τε τὴν πανήγυριν. Ταῦς 109
ἀταλαιπώρους δὲ καὶ δειλοὺς, οὐκ ἀηδῶς ὄψεται ἀπολελειμμέ-
νους τῆς πανηγύρεως· οὐδὲ γὰρ παρόντες, ὡς ἐν ἑορτῇ δεῖ γον,
οὐδ' ἐξεπλήρουν τὴν χώραν τὴν πρέπουσαν, ἀλλ' ὠδυνῶντο,
ἐμέμφοντο τὸν δαίμονα, τὴν τύχην, τοὺς συνόντας· ἀναίσθητοι
καὶ ὧν ἔτυχον, καὶ τῶν ἑαυτῶν δυνάμεων, ἃς εἰλήφασι πρὸς τὰ
ἐναντία, μεγαλοψυχίας, γενναιότητος, ἀνδρείας, αὐτῆς τῆς νῦν
ζητουμένης ἐλευθερίας. Ἐπὶ τί οὖν εἴληφα ταῦτα; Χρησόμενος· 110
Μέχρι τίνος; Μέχρις ἂν ὁ χρήσας θέλῃ. Ἂν οὖν ἀναγκαῖά μοι

Digitized by Google

ἢ; Μὴ πρόσπασχε αὐτοῖς, καὶ οὐκ ἔσαι. Σὺ αὐτὰ αὐτῷ μὴ εἴπῃς ἀναγκαῖα, καὶ οὐκ ἔσαι.

111 Ταύτην τὴν μελέτην ἔωθεν εἰς ἑσπέραν μελετᾶν ἔδει, ἀπὸ τῶν μικροτάτων, ἀπὸ τῶν εὐεπηρεαστοτάτων ἀρξάμενος, ἀπὸ χύτρας, ἀπὸ ποτηρίου. Εἶθ' οὕτως ἐπὶ χιτωνάριον πρόελθε, ἐπὶ κυνάριον, ἐπὶ ἱππάριον, ἐπὶ ἀγρίδιον· ἔνθεν ἐπὶ σαυτόν, τὸ σῶμα, τὰ μέρη τοῦ σώματος, τὰ τέκνα, τὴν γυναῖκα, τοὺς
112 ἀδελφούς. Πανταχοῦ περιβλέψας, ἀπόρριψον ἀπὸ σεαυτοῦ· κάθηρον τὰ δόγματα, μή τι προσήρτηταί σοι τῶν οὐ σῶν, μή τι
113 συμπέφυκε, μή τι ὀδυνήσῃ σε ἀποσπώμενον. Καὶ λέγε γυμναζόμενος καθ' ἡμέραν, ὡς ἐκεῖ, μὴ ὅτι φιλοσοφεῖς (ἔσω φορτικὸν τὸ ὄνομα), ἀλλ' ὅτι καρπιστὴν δίδως. Τοῦτο γάρ ἐσω ἡ
114 ταῖς ἀληθείαις ἐλευθερία. Ταύτην ἠλευθερώθη Διογένης παρ' Ἀντισθένους, καὶ οὐκέτι ἔφη καταδουλωθῆναι δύνασθαι ὑπ'
115 οὐδενός. Διὰ τοῦτο, ὅτε ἑάλω, πῶς τοῖς πειραταῖς ἐχρῆτο; μή τι κύριον εἶπέ τινα αὐτῶν; καὶ οὐ λέγω τὸ ὄνομα· οὐ γὰρ τὴν φωνὴν φοβοῦμαι· ἀλλὰ τὸ πάθος, ἀφ' οὗ ἡ φωνὴ ἐκπέμπεται. Πῶς ἐπιτιμᾷ αὐτοῖς, ὅτι κακῶς ἔτρεφον τοὺς ἑαλωκότας;
116 Πῶς ἐπράθη; μή τι κύριον ἐζήτει; ἀλλὰ δοῦλον. Πῶς δὲ πραθεὶς ἀνεστρέφετο πρὸς τὸν δεσπότην; εὐθὺς διελέγετο πρὸς αὐτὸν, ὅτι οὐχ οὕτως ἐσολίσθαι δεῖ αὐτὸν, οὐχ οὕτω κεκάρθαι·
117 περὶ τῶν υἱῶν, πῶς δεῖ αὐτοὺς διάγειν. Καὶ τί θαυμαστόν; εἰ γὰρ παιδοτρίβην ἐώνητο, ἐν τοῖς παλαιστρικοῖς ὑπηρέτῃ ἂν ἐχρῆτο αὐτῷ, ἢ κυρίῳ; εἰ δ' ἰατρὸν, ὡσαύτως· εἰ δ' ἀρχιτέκτονα. Καὶ οὕτως ἐφ' ἑκάστης ὕλης, τὸν ἔμπειρον τοῦ ἀπείρου
118 κρατεῖν πᾶσα ἀνάγκη. Ὅστις οὖν καθόλου τὴν περὶ βίον ἐπιστήμην κέκτηται, τί ἄλλο ἢ τοῦτον εἶναι δεῖ τὸν δεσπότην; Τίς γάρ ἐστιν ἐν νηΐ κύριος; Ὁ κυβερνήτης. Διὰ τί; Ὅτι ὁ ἀπειθῶν αὐτῷ ζημιοῦται.
119 Ἀλλὰ δῆραι [ἢ δῆσαί] με δύναται. Μή τι οὖν ἀζημίως; Οὕτω μὲν κἀγὼ ἔκρινον. Ἀλλ' ὅτι οὐκ ἀζημίως, διὰ τοῦτο οὐκ ἔξεστιν.

Digitized by Google

Οὐδενὶ δ' ἀζήμιόν ἐστι, τὸ ποιεῖν τὰ ἄδικα. Καὶ τίς ἡ ζημία τῷ 120
δήσαντι τὸν αὐτοῦ δοῦλον; Ἦν δικεῖς; τὸ δῆσαι τοῦτο· ὃ καὶ σὺ
ὁμολογήσεις, ἂν θέλῃς σώζειν, ὅτι ἄνθρωπος οὐκ ἔστι θηρίον,
ἀλλ' ἥμερον ζῶον. Ἐπεί, πότε ἄμπελος πράσσει κακῶς; Ὅταν 121
παρὰ τὴν ἑαυτῆς φύσιν πράσσῃ. Πότ' ἀλεκτρυών; Ὡσαύτως.
Οὐκοῦν καὶ ἄνθρωπος. Τίς οὖν αὐτοῦ ἡ φύσις; δάκνειν, καὶ 122
λακτίζειν, καὶ εἰς φυλακὴν βάλλειν, καὶ ἀποκεφαλίζειν; Οὔ·
ἀλλ' εὖ ποιεῖν, συνεργεῖν, ἐπεύχεσθαι. Τότ' οὖν κακῶς πράσσει,
ἄν τε θέλῃς, ἄν τε μή, ὅταν ἀγνωμονῇ.

Ὥςε Σωκράτης οὐκ ἔπραξε κακῶς; Οὔ, ἀλλ' οἱ δικασταί, 123
καὶ οἱ κατήγοροι. Οὐδ' ἐν Ῥώμῃ Ἐλουίδιος; Οὔ, ἀλλ' ὁ ἀπο-
κτείνας αὐτόν. Πῶς λέγεις; Ὡς καὶ σὺ ἀλεκτρυόνα οὐ λέγεις 124
κακῶς πρᾶξαι τὸν νικήσαντα καὶ κατακοπέντα, ἀλλὰ τὸν
ἀπλῆγα ἡττηθέντα· οὐδὲ κύνα εὐδαιμονίζεις, τὸν μήτε διώ-
κοντα, μήτε πονοῦντα, ἀλλ' ὅταν ἰδροῦντα ἴδῃς, ὅταν ὀδυνώ-
μενον, ὅταν ῥηγνύμενον ὑπὸ τοῦ δρόμου. Τί παραδοξολογοῦμεν, 125
εἰ λέγομεν παντὸς κακὸν εἶναι τὸ παρὰ τὴν ἐκείνου φύσιν;
τοῦτο παράδοξόν ἐστι; σὺ γὰρ αὐτὸ ἐπὶ πάντων τῶν ἄλλων οὐ
λέγεις; διὰ τί οὖν ἐπὶ μόνου τοῦ ἀνθρώπου ἄλλως φέρῃ; ἀλλ', 126
ὅτι λέγομεν ἥμερον εἶναι τοῦ ἀνθρώπου τὴν φύσιν, καὶ φιλάλ-
ληλον, καὶ πιστὴν, τοῦτο παράδοξον οὐκ ἔστιν; Οὐδὲ τοῦτο. Πῶς 127
οὖν, ὅτι οὐ δαιρόμενος βλάπτεται, ἢ δεσμευόμενος, ἢ ἀπο-
κεφαλιζόμενος; οὐχὶ οὗτος, εἰ μὲν γενναίως πάσχει, καὶ προσ-
κερδαίνων καὶ προσωφελούμενος ἀπέρχεται; ἐκεῖνος δὲ βλα-
πτόμενός ἐστιν, ὁ τὰ οἰκτρότατα πάσχων, καὶ αἴσχιστα, ὁ ἀντὶ
ἀνθρώπου λύκος γενόμενος, ἢ ἔχις, ἢ σφήξ;

Ἄγε οὖν, ἐπέλθωμεν τὰ ὡμολογημένα. Ὁ ἀκώλυτος ἄνθρω- 128
πος, ἐλεύθερος· ᾧ πρόχειρα τὰ πράγματα ὡς βούλεται. Ὃν δ'
ἔστιν ἢ κωλύσαι, ἢ ἀναγκάσαι, ἢ ἐμποδίσαι, ἢ ἄκοντα εἴς τι
ἐμβαλεῖν, δοῦλος ἐστί. Τίς δ' ἀκώλυτος; Ὁ μηδενὸς τῶν ἀλλο- 129

Digitized by Google

τρίων ἐφιέμενος. Τίνα δ' ἀλλότρια; Ἃ οὐκ ἔστιν ἐφ' ἡμῖν, οὔτ'
130 ἔχειν, οὔτε μὴ ἔχειν, οὔτε ποιὰ ἔχειν, ἢ πῶς ἔχοντα. Οὐκοῦν
το σῶμα ἀλλότριον, τὰ μέρη αὐτοῦ ἀλλότρια, ἡ κτῆσις ἀλλοτρία.
Ἂν οὖν τινι τούτων ὡς ἰδίῳ προσπαθῇς, δώσεις δίκας ἃς ἄξιον
131 τὸν τῶν ἀλλοτρίων ἐφιέμενον. Αὕτη ἡ ὁδὸς ἐπ' ἐλευθερίαν
ἄγει, αὕτη μόνη ἀπαλλαγὴ δουλείας, τὸ δυνηθῆναί ποτ' εἰπεῖν
ἐξ ὅλης ψυχῆς, τὸ,

Ἄγου δέ μ', ὦ Ζεῦ, καὶ σύ γ' ἡ Πεπρωμένη,
Ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος.

132 Ἀλλὰ τί λέγεις, φιλόσοφε; καλεῖ σε ὁ τύραννος, ἐροῦντά τι
ὧν οὐ πρέπει σοι. Λέγεις, ἢ οὐ λέγεις; εἰπέ μοι. Ἄφες σκέψωμαι.
Νῦν σκέψῃ; ὅτε δ' ἐν τῇ σχολῇ ἦς, τί ἐσκέπτου; οὐκ ἐμελέτας,
τίνα ἐστὶ τὰ ἀγαθὰ καὶ τὰ κακά, καὶ τίνα οὐδέτερα; Ἐσκεπτόμην.
133 Τίνα οὖν ἤρεσκεν ἡμῖν; Τὰ δίκαια καὶ καλά, ἀγαθὰ εἶναι· τὰ
ἄδικα καὶ αἰσχρά, κακά. Μή τι τὸ ζῆν, ἀγαθόν; Οὔ. Μή τι τὸ
ἀποθανεῖν, κακόν; Οὔ. Μή τι φυλακή; Οὔ. Λόγος δ' ἀγεννὴς
καὶ ἄπιστος, καὶ φίλου προδοσία, καὶ κολακεία τυράννου, τί
134 ἡμῖν ἐφαίνετο; Κακά. Τί οὖν; οὐχὶ σκέπτῃ, οὐδ' ἔσκεψαι καὶ
βεβούλευσαι. Ποία γὰρ σκέψις, εἰ καθήκει μοι, δυναμένῳ, τὰ
μέγιστα ἀγαθὰ ἐμαυτῷ περιποιῆσαι, τὰ μέγιστα κακὰ μὴ περι-
ποιῆσαι; Καλὴ σκέψις, καὶ ἀναγκαία, πολλῆς βουλῆς δεομένη.
Τί ἡμῖν ἐμπαίζεις; ἄνθρωπε· οὐδέποτε τοιαύτη σκέψις γίνεται.
135 Οὐθ', εἰ ταῖς ἀληθείαις κακὰ μὲν ἐφανταζου τὰ αἰσχρά, ἀγαθὰ
δὲ τὰ καλά, τὰ δ' ἄλλα οὐδέτερα, ἦλθες ἂν ἐπὶ ταύτην τὴν
ἐπίσασιν, οὐδ' ἐγγύς· ἀλλ' αὐτόθεν διακρίνειν εἶχες, ὥσπερ
136 ὄψει, τῇ διανοίᾳ. Πότε γὰρ σκέπτῃ, εἰ τὰ μέλανα λευκά
ἐστιν; εἰ τὰ βαρέα κοῦφα; οὐχὶ δὲ τοῖς ἐναργῶς φαινομένοις
παρακολουθεῖς; Πῶς οὖν νῦν σκέπτεσθαι λέγεις, εἰ τὰ οὐδέτερα

Digitized by Google

τῶν κακῶν φευκτότερα; Ἀλλ' οὐκ ἔχεις τὰ δόγματα ταῦτα· 137
ἀλλὰ φαίνεταί σοι οὔτε ταῦτα οὐδέτερα, ἀλλὰ τὰ μέγιστα κακά·
οὔτ' ἐκεῖνα κακά, ἀλλ' οὐδὲν πρὸς ἡμᾶς. Οὕτω γὰρ ἐξ ἀρχῆς 138
εἴθισας σεαυτόν. Ποῦ εἰμι; Ἐν σχολῇ. Καὶ ἀκούουσί μου τίνες;
Λέγω μετὰ τῶν φιλοσόφων. Ἀλλ' ἐξελήλυθα τῆς σχολῆς. Ἆρον
ἐκεῖνα τὰ τῶν σχολαστικῶν καὶ τῶν μωρῶν. Οὕτως καταμαρ- 139
τυρεῖται φίλος ὑπὸ φιλοσόφου· οὕτως παρασιτεῖ φιλόσοφος·
οὕτως ἐπ' ἀργυρίῳ ἐκμισθοῖ ἑαυτόν· οὕτως ἐν συγκλήτῳ τις οὐ
λέγει τὰ φαινόμενα· ἔνδοθεν τὰ δόγματα αὐτοῦ βοᾷ, Σὺ ψυχρὸν 140
καὶ ταλαίπωρον ὑποληψείδιον, ἐκ λόγων εἰκαίων ὡς ἐκ τριχὸς
ἠρτημένον. Ἀλλὰ ἰσχυρὸν καὶ χρηστικόν, καὶ ὑπὸ ταῦ διὰ τῶν
ἔργων γεγυμνάσθαι μεμνημένον. Παραφύλαξον σαυτόν, πῶς 141
ἀκούεις, οὐ λέγω, ὅτι τὸ παιδίον σου ἀπέθανεν· πόθεν σοι;
ἀλλ', ὅτι σου τὸ ἔλαιον ἐξεχύθη, ὁ οἶνος ἐξεπόθη; Ἵνα τις 142
ἐπιστὰς διατεινομένῳ σοι, τοῦτ' αὐτὸ μόνον εἴπῃ, Φιλόσοφε,
ἄλλα λέγεις ἐν τῇ σχολῇ· τί ἡμᾶς ἐξαπατᾷς; τί, σκώληξ ὤν,
λέγεις ὅτι ἄνθρωπος εἶ; Ἤθελον ἐπιστῆναί τινι αὐτῶν συνουσιά- 143
ζοντι, ἵνα ἴδω πῶς τείνεται, καὶ ποίας φωνὰς ἀφίησιν, εἰ
μέμνηται τοῦ ὀνόματος αὐτοῦ, τῶν λόγων οὓς ἀκούει, ἢ λέγει,
ἢ ἀναγινώσκει.

Καὶ τί ταῦτα πρὸς ἐλευθερίαν; Οὐκ ἄλλα μὲν οὖν ἢ ταῦτα, 144
ἄν τε θέλητε ὑμεῖς οἱ πλούσιοι, ἄν τε μή. Καὶ τίς σοι μαρτυρεῖ 145
ταῦτα; Τίς γὰρ ἄλλος, ἢ αὐτοὶ ὑμεῖς; οἱ τὸν κύριον τὸν μέγαν
ἔχοντες, καὶ πρὸς τὸ ἐκείνου νεῦμα καὶ κίνημα ζῶντες, κἄν
τινα ὑμῶν ἴδῃ μόνον συνεστραμμένῳ βλέμματι, ἀποψυχόμενοι·
οἱ τὰς γραίας θεραπεύοντες καὶ τοὺς γέροντας, καὶ λέγοντες,
ὅτι, Οὐ δύναμαι τοῦτο ποιῆσαι· οὐκ ἔξεστί μοι. Διὰ τί οὐκ ἔξεστί 146
σοι; οὐκ ἄρτι ἐμάχου μοι, λέγων ἐλεύθερος εἶναι; Ἀλλὰ
Ἀπρυλλά με κεκώλυκε. Λέγε οὖν τὰς ἀληθείας, δοῦλε, καὶ μὴ
δραπέτευέ σου τοὺς κυρίους, μηδ' ἀπαρνοῦ, μηδὲ τόλμα

Digitized by Google

καρπιζὴν διδόναι, τοσούτους ἔχων τῆς δουλείας ἐλέγχους.
147 Καίτοι τὸν μὲν ὑπ' ἔρωτος ἀναγκαζόμενόν τι ποιεῖν παρὰ τὸ φαινόμενον, καὶ ἅμα μὲν ὁρῶντα τὸ ἄμεινον, ἅμα δ' οὐκ ἐξευτονοῦντα ἀκολουθῆσαι αὐτῷ, ἔτι μᾶλλον ἄν τις συγγνώμης ἄξιον ὑπολάβοι, ἅθ' ὑπό τινος βιαίου καὶ τρόπον τινὰ θείου
148 κατεσχημένον. Σοῦ δὲ τίς ἀνάσχοιτο, τῶν γραῶν ἐρῶντος καὶ τῶν γερόντων, καὶ ἐκείνας ἀπομύσσοντος, καὶ ἀποπλύνοντος, καὶ ὠροδοκοῦντος, καὶ ἅμα μὲν νοσούσας θεραπεύοντος ὡς δούλου, ἅμα δ' ἀποθνεῖν εὐχομένου, καὶ τοὺς ἰατροὺς διακρίνοντος, εἰ ἤδη θανασίμως ἔχουσιν; ἢ πάλιν, ὅταν ὑπὲρ τῶν μεγάλων τούτων καὶ σεμνῶν ἀρχῶν καὶ τιμῶν, τὰς χεῖρας τῶν ἀλλοτρίων
149 δούλων καταφιλῇς, ἵνα μηδ' ἐλευθέρων δοῦλος ᾖς; Εἶτά μοι σεμνὸς περιπατεῖς, στρατηγῶν, ὑπατεύων. Οὐκ οἶδα πῶς ἐστρατήγησας, πόθεν τὴν ὑπατείαν ἔλαβες, τίς σοι αὐτὴν ἔδωκεν;
150 Ἐγὼ μὲν οὐδὲ ζῆν ἤθελον, εἰ διὰ Φηλικίωνα ἔδει ζῆσαι, τῆς ὀφρύος αὐτοῦ καὶ τοῦ δουλικοῦ φρυάγματος ἀνασχόμενον. Οἶδα γάρ, τί ἐστι δοῦλος εὐτυχῶν, ὡς δοκεῖ, καὶ τετυφωμένος.
151 Σὺ οὖν, φησίν, ἐλεύθερος εἶ; Θέλω, νὴ τοὺς Θεούς, καὶ εὔχομαι· ἀλλ' οὔπω δύναμαι ἀντιβλέψαι τοῖς κυρίοις, ἔτι τιμῶ τὸ σωμάτιον, ὁλόκληρον αὐτὸ ἔχειν ἀντὶ πολλοῦ ποιοῦμαι,
152 καίτοι μηδ' ὁλόκληρον ἔχων. Ἀλλὰ δύναμαί σοι δεῖξαι ἐλεύθερον, ἵνα μηκέτι ζητῇς τὸ παράδειγμα. Διογένης ἦν ἐλεύθερος. Πόθεν τοῦτο; Οὐχ ὅτι ἐξ ἐλευθέρων ἦν *οὐ γὰρ ἦν*, ἀλλ' ὅτι αὐτὸς ἦν· ὅτι ἀποβεβλήκει πάσας τὰς τῆς δουλείας λαβάς, οὐδ' ἦν ὅπως τις προσέλθῃ πρὸς αὐτὸν, οὐδ' ὅθεν λάβηται πρὸς τὸ
153 καταδουλώσασθαι. Πάντα εὔλυτα εἶχε, πάντα μόνον προσηρτημένα. Εἰ τῆς κτήσεως ἐπελάθου, αὐτὴν ἀφῆκεν ἄν σοι μᾶλλον ἢ ἠκολούθησε δι' αὐτήν· εἰ τοῦ σκέλους, τὸ σκέλος· εἰ ὅλου τοῦ σωματίου, ὅλον τὸ σωμάτιον· οἰκείους, φίλους, πατρίδα, ὡσαύτως. Ἤδει γάρ, πόθεν ἔχει, καὶ παρὰ τίνος, καὶ ἐπὶ τίσι

Digitized by Google

λαβών. Τοὺς μέν γ' ἀληθινοὺς προγόνους, τοὺς Θεούς, καὶ 154
τὴν τῷ ὄντι πατρίδα, οὐδέποτ' ἂν ἐγκατέλιπεν, οὐδὲ παρ-
εχώρησεν ἄλλῳ μᾶλλον πείθεσθαι αὐτοῖς καὶ ὑπακούειν, οὐδ'
ὑπεραπέθανεν ἂν εὐκολώτερον τῆς πατρίδος ἄλλος. Οὐ γὰρ 155
ἐζήτει ποτὲ δόξαι τι ποιεῖν ὑπὲρ τῶν ἄλλων· ἀλλ' ἐμέμνητο
ὅτι πᾶν τὸ γινόμενον ἐκεῖθέν ἐστι, καὶ ὑπὲρ ἐκείνης πράττεται,
καὶ ὑπὸ τοῦ διοικοῦντος αὐτὴν παρεγγυᾶται. Τοιγαροῦν ὅρα, 156
τί λέγει αὐτὸς, καὶ γράφει· Διὰ τοῦτό σοι, φησὶν, ἔξεστιν, ὦ
Διόγενες, καὶ τῷ Περσῶν βασιλεῖ καὶ Ἀρχιδάμῳ τῷ Λακεδαι- 157
μονίων, ὡς βούλει διαλέγεσθαι. Ἆρά γ', ὅτι ἐξ ἐλευθέρων ἦν;
Πάντες γὰρ Ἀθηναῖοι, καὶ πάντες Λακεδαιμόνιοι, καὶ
Κορίνθιοι, διὰ τὸ ἐκ δούλων εἶναι, οὐκ ἠδύναντο αὐτοῖς ὡς
ἠβούλοντο διαλέγεσθαι, ἀλλ' ἐδεδοίκεσαν καὶ ἐθεράπευον; Διὰ 158
τί οὖν, φησὶν, ἔξεστιν; Ὅτι τὸ σωμάτιον, ἐμὸν οὐχ ἡγοῦμαι·
ὅτι οὐδενὸς δέομαι· ὅτι ὁ νόμος μοι πάντα ἐστὶ, καὶ ἄλλο οὐδέν.
Ταῦτα ἦν τὰ ἐλεύθερον ἐκεῖνον ἐάσαντα.

Καὶ ἵνα μὴ δόξῃς, ὅτι παράδειγμα δείκνυμι ἀνδρὸς ἀπερι- 159
σάτου, μήτε γυναῖκα ἔχοντος, μήτε τέκνα, μήτε πατρίδα,
ἢ φίλους, ἢ συγγενεῖς, ὑφ' ὧν κάμπτεσθαι καὶ περισπᾶσθαι
ἠδύνατο· λάβε Σωκράτην, καὶ θέασαι γυναῖκα καὶ παιδία
ἔχοντα, ἀλλ' ὡς ἀλλότρια· πατρίδα, ἐφ' ὅσον ἔδει, καὶ ὡς
ἔδει· φίλους, συγγενεῖς, πάντα ταῦτα ὑποτεταχότα τῷ νόμῳ,
καὶ τῇ πρὸς ἐκεῖνον εὐπειθείᾳ. Διὰ τοῦτο στρατεύεσθαι μὲν ἀπότ' 160
ἔδει, πρῶτος ἀπῄει, κἀκεῖ ἐκινδύνευεν ἀφειδέστατα· ἐπὶ
Λέοντα δ' ὑπὸ τῶν τυράννων πεμφθεὶς, ὅτι αἰσχρὸν ἡγεῖτο,
οὐδ' ἐπεβουλεύσατο· εἰδὼς ὅτι ἀποθανεῖν δεήσει, ἂν οὕτω τύχῃ
Καὶ τί αὐτῷ διέφερεν; ἄλλο γάρ τι σώζειν ἤθελεν· οὐ τὸ 161
σαρκίδιον, ἀλλὰ τὸν πιστὸν, τὸν αἰδήμονα. Ταῦτα ἀπαρεγ-
χείρητα, ἀνυπότακτα. Εἶθ', ὅτ' ἀπολογεῖσθαι ἔδει ὑπὲρ τοῦ 162
ζῆν, μή τι ὡς τέκνα ἔχων ἀναστρέφεται; μή τι ὡς γυναῖκα;

Digitized by Google

ἀλλ' ὡς μόνος. Τί δ', ὅτε πιεῖν ἔδει τὸ φάρμακον, πῶς ἀνα-
163 στρέφεται; δυνάμενος διασωθῆναι, καὶ τοῦ Κρίτωνος αὐτῷ λέγοντος, ὅτι, Ἔξελθε διὰ τὰ παιδία· τί λέγει; ἔρμαιον ἡγεῖτο αὐτό; πόθεν; ἀλλὰ τὸ εὐσχημον σκοπεῖ, τὰ δ' ἄλλα οὐδ' ὁρᾷ, οὐδ' ἐπιλογίζεται. Οὐ γὰρ ἤθελε, φησί, σῶσαι τὸ σωμάτιον· ἀλλ' ἐκεῖνο, ὃ τῷ δικαίῳ μὲν αὔξεται καὶ σώζεται, τῷ δ' ἀδίκῳ
164 μειοῦται καὶ ἀπόλλυται. Σωκράτης δ' αἰσχρῶς οὐ σώζεται· ὁ μὴ ἐπιψηφίσας, Ἀθηναίων κελευόντων, ὁ τοὺς τυράννους ὑπερ-ιδὼν, ὁ τοιαῦτα περὶ ἀρετῆς καὶ καλοκαγαθίας διαλεγόμενος.
165 Τοῦτον οὐκ ἔξι σῶσαι αἰσχρῶς· ἀλλ' ἀποθνήσκων σώζεται, οὐ φεύγων. Καὶ γὰρ ὁ ἀγαθὸς ὑποκριτὴς, παυόμενος ὅτε δεῖ,
166 σώζεται μᾶλλον, ἢ ὑποκρινόμενος παρὰ καιρόν. Τί οὖν ποιήσει τὰ παιδία; « Εἰ μὲν εἰς Θετταλίαν ἀπῄειν, ἐπεμελήθητε [ἂν] αὐτῶν· εἰς » ᾍδου δέ μου ἀποδημήσαντος, οὐδεὶς ἔσαι ὁ ἐπιμελησόμενος; »
167 Ὁρα πῶς ὑποκορίζεται καὶ σκώπτει τὸν θάνατον. Εἰ δ' ἐγὼ καὶ σὺ ἦμεν, εὐθὺς ἂν κατεφιλοσοφήσαμεν, ὅτι τοὺς ἀδι-κοῦντας δεῖ τοῖς ἴσοις ἀμύνεσθαι· καὶ προσθέντες, ὅτι, ὄφελος ἔσομαι πολλοῖς ἀνθρώποις σωθείς, ἀποθανὼν δ' οὐδενί. Εἰ γὰρ
168 ἔδει διὰ τρώγλης ἐκθύντας, ἐξήλθομεν ἄν. Καὶ πῶς ἂν ὠφελή-σαμέν τινα; ποῦ γὰρ ἂν ἔτι ἔμενον ἐκεῖνοι; ἢ εἰ ὄντες ἦμεν ὠφέλιμοι, οὐχὶ πολὺ μᾶλλον ἀποθανόντες ἂν, ὅτε ἔδει καὶ ὡς
169 ἔδει, ὠφελήσαμεν ἀνθρώπους; Καὶ νῦν, Σωκράτους ἀπο-θανόντος, οὐδὲν ἧττον, ἢ καὶ πλεῖον, ὠφέλιμός ἐστιν ἀνθρώποις ἡ μνήμη ὢν ἔτι ζῶν ἔπραξεν ἢ εἶπε.
170 Ταῦτα μελέτα, ταῦτα τὰ δόγματα, τούτους τοὺς λόγους· εἰς ταῦτα ἀφόρα τὰ παραδείγματα, εἰ θέλεις ἐλεύθερος εἶναι,
171 εἰ ἐπιθυμεῖς κατ' ἀξίαν τοῦ πράγματος. Καὶ τί θαυμαστὸν, εἰ τηλικοῦτον πρᾶγμα τοσούτων καὶ τηλικούτων ὠνῇ; Ὑπὲρ τῆς νομιζομένης ἐλευθερίας ταύτης, οἱ μὲν ἀπάγχονται, οἱ δὲ κατακρημνίζουσιν ἑαυτούς· ἔστι δ' ὅτε καὶ πόλεις ὅλαι ἀπώ-

Digitized by Google

λοντο. Ὑπὲρ τῆς ἀληθινῆς καὶ ἀνεπιβουλεύτου καὶ ἀσφαλοῦς 172
ἐλευθερίας, ἀπαιτοῦντι τῷ Θεῷ ἃ δέδωκεν οὐκ ἀποδώσεις;
οὐχ, ὡς Πλάτων λέγει, μελετήσεις, οὐχὶ ἀποθνήσκειν μόνον,
ἀλλὰ καὶ σφεδλοῦσθαι, καὶ φεύγειν, καὶ δαίρεσθαι, καὶ πάνθ'
ἁπλῶς ἀποδιδόναι τἀλλότρια; Ἔσῃ τοίνυν δοῦλος ἐν δούλοις, 173
κἂν μυριάκις ὑπατεύσῃς· κἂν εἰς τὸ παλάτιον ἀναβῇς, οὐδὲν
ἧττον. Καὶ αἰσθήσῃ, ὅτι παράδοξα μὲν ἴσως φασὶν οἱ φιλό-
σοφοι, καθάπερ καὶ ὁ Κλεάνθης ἔλεγεν, οὐ μὴν παράλογα. Ἔργῳ 174
γὰρ εἴσῃ, ὅτι ἀληθῆ ἐστι, καὶ τούτων τῶν θαυμαζομένων καὶ
σπουδαζομένων ὄφελος οὐδὲν ἐστι τοῖς τυχοῦσι· τοῖς δὲ μηδέπω
τετευχόσι φαντασία γίνεται, ὅτι παραγενομένων αὐτῶν, ἅπαντα
παρέσται αὐτοῖς τὰ ἀγαθά· εἶθ, ὅταν παραγένηται, τὸ καῦμα
ἴσον, ὁ ῥιπτασμὸς ὁ αὐτὸς, ἡ ἄσῃ, ἡ τῶν οὐ παρόντων
ἐπιθυμία. Οὐ γὰρ ἐκπληρώσει τῶν ἐπιθυμουμένων ἐλευθερία 175
παρασκευάζεται, ἀλλὰ ἀνασκευὴ τῆς ἐπιθυμίας. Καὶ, ἵν' εἰδῇς 176
ὅτι ἀληθῆ ταῦτά ἐστιν, ὡς ἐκείνων ἕνεκα πεπόνηκας, οὕτω καὶ
ἐπὶ ταῦτα μετάθες τὸν πόνον· ἀγρύπνησον ἕνεκα τοῦ δόγμα
περιποιήσασθαι ἐλευθεροποιόν· θεράπευσον, ἀντὶ γέροντος 177
πλουσίου, φιλόσοφον· περὶ θύρας ὄφθητι τὰς τούτου· οὐκ
ἀσχημονήσεις ὀφθείς· οὐκ ἀπελεύσῃ κενὸς, οὐδ' ἀκερδὴς, ἂν
ὡς δεῖ προσέλθῃς. Εἰ δὲ μὴ, πείρασόν γε· οὐκ ἔστιν αἰσχρὰ ἡ
πεῖρα.

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ 6'.

Περὶ Συμπεριφορᾶς.

Τοὐτῳ τῷ τόπῳ πρὸ πάντων σε δεῖ προσέχειν, μή ποτε ἄρα τῶν προτέρων συνήθων ἢ φίλων ἀνακραθῇς τινι οὕτως, ὥστ' εἰς τὰ αὐτὰ συγκαταβῆναι αὐτῷ. Εἰ δὲ μή, ἀπολεῖς σεαυτόν. 2 Ἂν δέ σ' ὑποτρέχῃ, ὅτι ἀδέξιος αὐτῷ φανοῦμαι, καὶ οὐχ ὁμοίως ἕξει ὡς πρότερον· μέμνησο, ὅτι προῖκα οὐδὲν γίνεται· οὐδ' ἔξι δυνατὸν, μὴ τὰ αὐτὰ ποιοῦντα, τὸν αὐτὸν εἶναι τῷ 3 ποτέ. Ἐλοῦ οὖν πότερον θέλεις, ὁμοίως φιλεῖσθαι ὑφ' ὧν πρότερον, ὅμοιος ὢν τῷ πρότερον σεαυτῷ· ἢ, κρείσσων ὢν, 4 μὴ τυγχάνειν τῶν ἴσων. Εἰ γὰρ τοῦτο κρεῖσσον, αὐτόθεν ἀπόνευσον ἐπὶ τοῦτο, μηδέ σε περισπάτωσαν οἱ ἕτεροι διαλογισμοί. Οὐδεὶς γὰρ ἐπαμφοτερίζων δύναται προκόψαι· ἀλλ' εἰ τοῦτο πάντων προκέκρικας, εἰ πρὸς τούτῳ μόνῳ θέλεις εἶναι, εἰ 5 τοῦτο ἐκπονῆσαι, ἄφες ἅπαντα τἆλλα· εἰ δὲ μή, οὗτος ὁ ἐπαμφοτερισμὸς ἑκάτερόν σοι ποιήσει, οὔτε προκόψεις κατ' ἀξίαν, 6 οὔτ' ἐκείνων τεύξῃ ὧν πρότερον ἐτύγχανες. Πρότερον γὰρ εἰλικρινῶς ἐφιέμενος τῶν οὐδενὸς ἀξίων, ἡδὺς ἦς τοῖς συνοῦσιν. Οὐ δύνασαι δ' ἐν ἀμφοτέρῳ τῷ εἴδει διενεγκεῖν· ἀλλ' ἀνάγκη, καθόσον ἂν τοῦ ἑτέρου κοινωνῇς, ἀπολείπεσθαί σ' ἐν θατέρῳ. 7 Οὐ δύνασαι, μὴ πίνων μεθ' ὧν ἔπινες, ὁμοίως ἡδὺς αὐτοῖς φαίνεσθαι· ἑλοῦ οὖν, πότερον μεθυστὴς εἶναι θέλεις, καὶ ἡδὺς ἐκείνοις, ἢ νήφων ἀηδής. Οὐ δύνασαι, μὴ ᾄδων μεθ' ὧν ᾖδες, ὁμοίως φιλεῖσθαι ὑπ' αὐτῶν· ἑλοῦ οὖν καὶ ἐνταῦθα, 8 πότερον θέλεις. Εἰ γὰρ κρεῖσσον, τὸ αἰδήμονα εἶναι καὶ κόσμιον, τοῦ εἰπεῖν τινα, Ἡδὺς ἄνθρωπος! ἄφες τὰ ἕτερα, 9 ἀπόγνωθι, ἀποστράφηθι, μηδέν σοι καὶ αὐτοῖς. Εἰ δὲ μὴ

Digitized by Google

ἀρέσει ταῦτα, ὅλος ἀπόκλινον ἐπὶ τἀναντία· γενοῦ εἷς τῶν κιναίδων, εἷς τῶν μοιχῶν, καὶ ποίει τὰ ἐξῆς, καὶ τεύξῃ ὧν θέλεις. Καὶ ἀναπηδῶν ἐπικραύγαζε τῷ ὀρχηστῇ. Διάφορα δ' 10
οὕτω πρόσωπα οὐ μίγνυται· οὐ δύνασαι καὶ Θερσίτην ὑποκρίνασθαι, καὶ Ἀγαμέμνονα. Ἂν Θερσίτης εἶναι θέλῃς, κυρτόν σε εἶναι δεῖ καὶ φαλακρόν· ἂν Ἀγαμέμνων, μέγαν καὶ καλόν, καὶ τοὺς ὑποτεταγμένους φιλοῦντα.

ΚΕΦΑΛΑΙΟΝ γ'.

Τίνα τίνων Ἀντικαταλλακτέον.

Ἐκεῖνο πρόχειρον ἔχε, ὅταν τινὸς ἀπολείπῃ τῶν ἐκτὸς, τί ἀντ' αὐτοῦ περιποιῇ. Κἂν ᾖ πλείονος ἄξιον, μηθέποτ' εἴπῃς ὅτι ἐζημίωμαι. Οὐδ' [ἂν] ἀντὶ ὄνου ἵππον, οὐδ' ἀντὶ προβάτου βοῦν, 2
οὐδ' ἀντὶ κέρματος πρᾶξιν καλὴν, οὐδ' ἀντὶ ψυχρολογίας ἡσυχίαν οἵαν δεῖ, οὐδ' ἀντὶ αἰσχρολογίας αἰδῶ. Τούτων μεμνημέ- 3
νος, πανταχοῦ διασώσεις τὸ σεαυτοῦ πρόσωπον οἷον ἔχειν σε δεῖ. Εἰ δὲ μὴ, σκόπει, ὅτι ἀπόλλυνται οἱ χρόνοι εἰκῇ, καὶ, ὅσα νῦν προσέχεις σεαυτῷ, μέλλεις ἐκχεῖν ἅπαντα ταῦτα, καὶ ἀνατρέπειν. Ὀλίγων δὲ χρεία ἐστὶ πρὸς τὴν ἀπώλειαν τὴν πάν- 4
των καὶ ἀνατροπήν· μικρᾶς ἀποστροφῆς τοῦ λόγου. Ἵν' ὁ κυ- 5
βερνήτης ἀνατρέψῃ τὸ πλοῖον, οὐ χρείαν ἔχει τῆς αὐτῆς παρασκευῆς, ὅσης εἰς τὸ σῶσαι· ἀλλὰ μικρὸν πρὸς τὸν ἄνεμον ἂν ἐπιστρέψῃ, ἀπώλετο· κἂν μὴ αὐτὸς ἑκὼν, ὑποπαρενθυμηθῇ δὲ, ἀπώλετο. Τοιοῦτόν ἐστί τι καὶ ἐνθάδε· μικρὸν ἂν ἀπο- 6
νυστάξῃς, ἀπῆλθε πάντα τὰ μέχρι νῦν συνειλεγμένα. Πρόσεχε 7
οὖν ταῖς φαντασίαις, ἐπαγρύπνει. Οὐ γὰρ μικρὸν τὸ τηρούμενον· ἀλλ' αἰδὼς, καὶ πίστις, καὶ εὐστάθεια, ἀπάθεια, ἀλυπία, ἀφοβία, ἀταραξία, ἁπλῶς ἐλευθερία. Τίνων μέλλεις 8

Digitized by Google

ταῦτα πωλεῖν; βλέπε πόσου ἀξίων. Ἀλλ' οὐ τεύξομαι τοιούτου τινὸς ἀντ' αὐτοῦ. Βλέπε καὶ τυγχάνων πάλιν ἐκείνου, τί ἀντ' 9 αὐτοῦ λαμβάνεις. Ἐγὼ εὐκοσμίαν, ἐκεῖνος δημαρχίαν· ἐκεῖνος στρατηγίαν, ἐγὼ αἰδῶ. Ἀλλ' οὐ κραυγάζω, ὅπου ἀπρεπές· ἀλλ' οὐκ ἀναστήσομαι, ὅπου μὴ δεῖ. Ἐλεύθερος γάρ εἰμι, καὶ φί- 10 λος τοῦ Θεοῦ, ἵν' ἑκὼν πείθωμαι αὐτῷ. Τῶν δ' ἄλλων οὐδενὸς ἀντιποιεῖσθαί με δεῖ, οὐ σώματος, οὐ κτήσεως, οὐκ ἀρχῆς, οὐ φήμης, ἁπλῶς οὐδενός. Οὐδὲ γὰρ ἐκεῖνος βούλεταί μ' ἀντιποιεῖσθαι αὐτῶν. Εἰ γὰρ ἤθελεν, ἀγαθὰ πεποιήκει αὐτὰ ἂν ἐμοί. Νῦν δ' οὐ πεποίηκε· διὰ τοῦτο οὐδὲν δύναμαι παραβῆναι 11 τῶν ἐντολῶν. Τήρει τὸ ἀγαθὸν τὸ ἑαυτοῦ ἐν παντί· τῶν δ' ἄλλων τι, κατὰ τὸ διδόμενον, μέχρι τοῦ εὐλογιστεῖν ἐν αὐτοῖς· τούτῳ μόνῳ ἀρκούμενος. Εἰ δὲ μή, δυστυχήσεις, ἀτυχήσεις, 12 κωλυθήσῃ, ἐμποδισθήσῃ. Οὗτοί εἰσιν οἱ ἐκεῖθεν ἀπεσταλμένοι νόμοι, ταῦτα τὰ διατάγματα· τούτων ἐξηγητὴν δεῖ γενέσθαι, τούτοις ὑποτεταγμένον, οὐ τοῖς Μασουρίου καὶ Κασσίου.

ΚΕΦΑΛΑΙΟΝ δ'.

Πρὸς τοὺς περὶ τὸ ἐν Ἡσυχίᾳ διάγειν ἐσπουδακότας.

Μέμνησο, ὅτι οὐ μόνον ἐπιθυμία ἀρχῆς καὶ πλούτου ταπεινοὺς ποιεῖ, καὶ ἄλλοις ὑποτεταγμένους, ἀλλὰ καὶ ἡσυχίας, καὶ σχολῆς, καὶ ἀποδημίας, καὶ φιλολογίας. Ἁπλῶς γὰρ, οἷον 2 ἂν ᾖ τὸ ἐκτὸς, ἡ τιμὴ αὐτοῦ ὑποτάσσει ἄλλῳ. Τί οὖν διαφέρει, συγκλήτου ἐπιθυμεῖν, ἢ τοῦ μὴ εἶναι συγκλητικόν; τί διαφέρει, ἀρχῆς ἐπιθυμεῖν, ἢ ἀναρχίας; τί διαφέρει, λέγειν, ὅτι, Κακῶς μοί ἐστιν, οὐδὲν ἔχω τί πράξω, ἀλλὰ τοῖς βιβλίοις προσδέδεμαι ὡς νεκρός· ἢ λέγειν, Κακῶς μοί ἐστιν, οὐκ εὐσχολῶ ἀναγνῶναι; 3 Ὡς γὰρ ἀσπασμοὶ καὶ ἀρχὴ τῶν ἐκτός ἐστι καὶ ἀπροαιρέτων,

Digitized by Google

οὕτω καὶ βιβλίον. Ἢ τίνος ἕνεκα θέλεις ἀναγνῶναι; εἰπέ μοι. 4
Εἰ μὲν γὰρ ἐπ' αὐτὸ καταστρέφεις τὸ ψυχαγωγηθῆναι ἢ μαθεῖν τι, ψυχρὸς εἶ, καὶ ἀτάλαιπωρος. Εἰ δ' ἐφ' ὃ δεῖ ἀναφέρεις, τί τοῦτ' ἔστιν ἄλλο ἢ εὕροια; εἰ δέ σοι τὸ ἀναγινώσκειν εὕροιαν μὴ περιποιεῖ, τί ὄφελος αὐτοῦ; Ἀλλὰ περιποιεῖ, φησί· καὶ διὰ 5
τοῦτο ἀγανακτῶ, ὡς ἀπολειπόμενος αὐτοῦ. Καὶ τίς αὕτη ἡ εὕροια, ἣν ὁ τυχὼν ἐμποδίσαι δύναται, οὐ λέγω Καίσαρ, ἢ Καίσαρος φίλος, ἀλλὰ κάραξ, αὐλητὴς, πυρετὸς, ἄλλα τρισμύρια; ἡ δ' εὕροια οὐδὲν οὕτως ἔχει, ὡς τὸ διηνεκὲς καὶ ἀνεμπόδιστον. Νῦν καλοῦμαι, πράξων τι· ἄπειμι νῦν, προσ- 6
έξων τοῖς μέτροις ἃ δεῖ τηρεῖν, ὅτι αἰδημόνως, ὅτι ἀσφαλῶς, ὅτι δίχα ὀρέξεως καὶ ἐκκλίσεως τῆς πρὸς τὰ ἐκτός· καὶ λοιπὸν 7
προσέχω τοῖς ἀνθρώποις, τίνα φασὶ, πῶς κινοῦνται· καὶ τοῦτο οὐ κακοήθως, οὐδ' ἵνα ἔχω ψέγειν ἢ καταγελᾶν· ἀλλ' ἐπ' ἐμαυτὸν ἐπιστρέφων, εἰ ταὐτὰ κἀγὼ ἁμαρτάνω, ὁπωσοῦν παύσωμαι. Τότε καὶ ἐγὼ ἡμάρτανον· νῦν δ' οὐκέτι, χάρις τῷ Θεῷ.

Ἄγε, ταῦτα ποιήσας, καὶ πρὸς τούτοις γενόμενος, χεῖρον 8
ἔργον πεποίηκας ἢ χιλίους στίχους ἀναγνούς, ἢ γράψας ἄλλους τοσούτους; ὅταν γὰρ ἐσθίῃς, ἄχθῃ ὅτι μὴ ἀναγινώσκεις; οὐκ ἀρκῇ τῷ καθ' ἃ ἀνέγνωκας ἐσθίειν; ὅταν λούῃ; ὅταν γυμνάζῃ; Διὰ τί οὖν ἐπὶ πάντων οὐχ ὁμαλίζεις, καὶ ὅταν Καίσαρι προσ- 9
ίῃς, καὶ ὅταν τῷ δεῖνι; Εἰ τὸν ἀπαθῆ τηρεῖς, εἰ τὸν ἀκατά- 10
πληκτον, εἰ τὸν κατεσταλμένον· εἰ βλέπεις μᾶλλον τὰ γινόμενα, ἢ βλέπῃ· εἰ μὴ φθονεῖς τοῖς προτιμωμένοις· εἰ μὴ ἐκπλήσσουσί σε αἱ ὕλαι· τί σοι λείπει; Βιβλία; Πῶς, ἢ ἐπὶ 11
τί; οὐχὶ γὰρ ἐπὶ τὸ βιοῦν παρασκευή τίς ἐστιν αὕτη; τὸ βιοῦν δ' ἐξ ἄλλων τινῶν ἢ τούτων συμπληροῦται. Οἷον ἂν εἰ ὁ ἀθλητὴς κλαίῃ εἰς τὸ στάδιον εἰσιὼν, ὅτι μὴ ἔξω γυμνάζεται. Τούτου ἕνεκα ἐγυμνάζου· ἐπὶ τούτῳ οἱ ἁλτῆρες, ἡ ἀφὴ, οἱ νε- 12
ανίσκοι. Καὶ νῦν ἐκεῖνα ζητεῖς, ὅτε τοῦ ἔργου καιρός ἐστιν;

Digitized by Google

13 Οἷον εἰ ἐπὶ τοῦ συγκαταθετικοῦ τόπου, παρισταμένων φαντασιῶν, τῶν μὲν καταληπτῶν, τῶν δ' ἀκαταλήπτων, μὴ ταύτας διακρίνειν θέλοιμεν, ἀλλ' ἀναγινώσκειν τὰ περὶ καταλήψεως.

14 Τί οὖν τὸ αἴτιον; Ὅτι οὐδέποτε τούτου ἕνεκα ἀνέγνωμεν, οὐδέποτε τούτου ἕνεκα ἐγράψαμεν, ἵν' ἐπὶ τῶν ἔργων κατὰ φύσιν χρώμεθα ταῖς προσπιπτούσαις φαντασίαις· ἀλλ' αὐτοῦ καταλήγομεν, μαθεῖν τί λέγεται, καὶ ἄλλῳ δύνασθαι ἐξηγήσασθαι, τὸν συλλογισμὸν ἀναλῦσαι, καὶ τὸν ὑποθετικὸν ἐφο-
15 δεῦσαι. Διὰ τοῦτο, ὅπου ἡ σπουδὴ, ἐκεῖ καὶ ὁ ἐμποδισμός. Θέλεις τὰ μὴ ἐπὶ σοὶ ἐξάπαντος; κωλύου τοίνυν, ἐμποδίζου,
16 ἀποτύγχανε. Εἰ δὲ τὰ περὶ ὁρμῆς τούτου ἕνεκα ἀναγινώσκοιμεν, οὐχ ἵνα ἴδωμεν τί λέγεται περὶ ὁρμῆς, ἀλλ' ἵνα εὖ ὁρμῶμεν· τὰ περὶ ὀρέξεως, καὶ ἐκκλίσεως, ἵνα μήποτ' ὀρεγόμενοι ἀποτυγχάνωμεν, μήτ' ἐκκλίνοντες περιπίπτωμεν· τὰ περὶ καθήκοντος δ', ἵνα μεμνημένοι τῶν σχέσεων, μηδὲν ἀλογίστως,
17 μηδὲ παρ' αὐτὰ ποιῶμεν· οὐκ ἂν ἠγανακτοῦμεν πρὸς τὰ ἀναγνώσματα ἐμποδιζόμενοι, ἀλλὰ τῷ τὰ ἔργα ἀποδίδοναι τὰ κατάλληλα ἠρκούμεθα, καὶ ἠριθμοῦμεν ἂν οὐ ταῦτα ἃ μέχρι νῦν ἀριθμεῖν εἰθίσμεθα, Σήμερον ἀνέγνων στίχους τοσούσδε,
18 ἔγραψα τοσούσδε· ἀλλὰ, Σήμερον ὁρμὴ ἐχρησάμην ὡς παραγγέλλεται ὑπὸ τῶν φιλοσόφων, ὀρέξει οὐκ ἐχρησάμην, ἐκκλίσει πρὸς μόνα τὰ προαιρετικὰ, οὐ κατεπλάγην τὸν δεῖνα, οὐκ ἐδυσωπήθην ὑπὸ τοῦ δεῖνος, τὸ ἀνεκτικὸν ἐγύμνασα, τὸ ἀφεκτικὸν, τὸ συνεργητικόν· καὶ οὕτως ἂν ηὐχαριστοῦμεν τῷ Θεῷ, ἐφ' οἷς δεῖ εὐχαριστεῖν.

19 Νῦν δ' ἡμεῖς οὐκ ἴσμεν, ὅτι καὶ αὐτοὶ ἄλλον τρόπον ὅμοιοι τοῖς πολλοῖς γινόμεθα. Ἄλλος φοβεῖται μὴ οὐκ ἄρξῃ· σὺ, μὴ
20 ἄρξῃς. Μηδαμῶς, ἄνθρωπε. Ἀλλ', ὡς καταγελᾷς τοῦ φοβουμένου μὴ ἄρξαι, οὕτω καὶ σαυτοῦ καταγέλα. Οὐθὲν γὰρ

Digitized by Google

διαφέρει, ἢ διψῶν πυρέσσοντα, ἢ ὡς λυσσώδη ὑδροφόβον εἶναι.
Ἢ πῶς ἔτι δυνήσῃ εἰπεῖν τὸ τοῦ Σωκράτους, Εἰ ταύτῃ φίλον 21
τῷ Θεῷ, ταύτῃ γενέσθω; Δοκεῖς, Σωκράτης εἰ ἐπεθύμει ἐν
Λυκείῳ ἢ ἐν Ἀκαδημίᾳ σχολάζειν, καὶ διαλέγεσθαι καθ' ἡμέ-
ραν τοῖς νέοις, εὐκόλως ἂν ἐστρατεύσατο ὁσάκις ἐστρατεύσατο;
οὐχὶ δ' ὠδύρετ' ἂν καὶ ἔστενε, Τάλας ἐγὼ, νῦν δ' ἐνθάδ' ἀτυχῶ
ἅθλιος, δυνάμενος ἐν Λυκείῳ ἡλιάζεσθαι; Τοῦτο γάρ σου τὸ 22
ἔργον ἦν, ἡλιάζεσθαι; οὐχὶ δὲ τὸ εὑροεῖν; τὸ ἀκώλυτον εἶναι;
τὸ ἀπαραπόδιστον; Καὶ πῶς ἂν ἔτι ἦν Σωκράτης, εἰ ταῦτα
ὠδύρετο; πῶς ἂν ἔτι ἐν τῇ φυλακῇ παιᾶνας ἔγραφεν;

Ἁπλῶς οὖν ἐκείνου μέμνησο, ὅτι πᾶν ὃ ἔξω τῆς προαιρέσεως 23
τῆς σαυτοῦ τιμήσεις, ἀπώλεσας τὴν προαίρεσιν. Ἔξω δ' ἔστιν
οὐ μόνον ἀρχὴ, ἀλλὰ καὶ ἀναρχία· οὐ μόνον ἀσχολία, ἀλλὰ
καὶ σχολή. Νῦν οὖν ἐμὲ ἐν τῷ Θορύβῳ τούτῳ διεξάγειν; Τί 24
λέγεις, Θορύβῳ; Ἐν πολλοῖς ἀνθρώποις; Καὶ τί χαλεπόν;
δόξον ἐν Ὀλυμπίᾳ εἶναι, πανήγυριν αὐτὸν ἡγησαι. Κἀκεῖ ἄλλος
ἄλλο τι κέκραγεν, ἄλλος ἄλλο τε πράσσει, ἄλλος τῷ ἄλλῳ
ἐνσείεται. Ἐν τοῖς βαλανείοις ὄχλος· καὶ τίς ἡμῶν οὐ χαίρει
τῇ πανηγύρει ταύτῃ, καὶ ὀδυκώμενος αὐτῆς ἀπαλλάσσεται;
Μὴ γίνου δυσάρεστος, μηδὲ κακοσατόραχος πρὸς τὰ γινόμενα. 25
Τὸ ὄξος σαπρὸν, ἁλμὴ γάρ· τὸ μέλι σαπρὸν, ἀνατρέπει γάρ
μου τὴν ἕξιν· λάχανα οὐ θέλω. Οὕτω καὶ, σχολὴν οὐ θέλω,
ἐρημία ἐστὶν· ὄχλον οὐ θέλω, θόρυβός ἐστιν. Ἀλλ' ἂν μὲν 26
οὕτω φέρῃ τὰ πράγματα, ὥστε μόνον ἢ μετ' ὀλίγων διεξαγα-
γεῖν, ἡσυχίαν αὐτὸ καλεῖ, καὶ χρῶ τῷ πράγματι, εἰς ὃ δεῖ·
λαλεῖ σεαυτῷ, γύμναζε τὰς φαντασίας, ἐξεργάζου τὰς προ-
λήψεις. Ἂν δ' εἰς ὄχλον ἐμπέσῃς, ἀγῶνα αὐτὸ λέγε, πανήγυριν, 27
ἑορτήν· συνεορτάζειν πειρῶ τοῖς ἀνθρώποις. Τί γάρ ἐστιν
ἥδιον θέαμα τῷ φιλανθρώπῳ, ἢ ἄνθρωποι πολλοί; ἵππων
ἀγέλας ἢ βοῶν ἡδέως ὁρῶμεν· πλοῖα πολλὰ ὅταν ἔδωμεν,

Digitized by Google

28 διαχεόμεθα· ἀνθρώπους πολλοὺς βλέπων τίς ἀνιᾶται; Ἀλλὰ καταχραυγάζουσί μου. Οὐκοῦν ἡ ἀκοή σου ἐμποδίζεται. Τί οὖν πρὸς σέ; μή τι καὶ δύναμις ἡ ταῖς φαντασίαις χρηστική; καὶ τίς σε κωλύει ὀρέξει καὶ ἐκκλίσει χρῆσθαι κατὰ φύσιν; ὁρμῇ καὶ ἀφορμῇ; ποῖος θόρυβος πρὸς τοῦτο ἱκανός;

29 Σὺ μόνον μέμνησο τῶν καθολικῶν· τί ἐμόν; τί οὐκ ἐμόν; τί μοι δίδοται; τί θέλει με ποιεῖν ὁ Θεὸς νῦν; τί οὐ θέλει;

30 Πρὸ ὀλίγου χρόνου ἤθελέ σε σχολάζειν, σαυτῷ λαλεῖν, γράφειν περὶ τούτων, ἀναγινώσκειν, ἀκούειν, παρασκευάζεσθαι· ἔσχες εἰς τοῦτο ἱκανὸν χρόνον. Νῦν σοι λέγει, Ἐλθὲ ἤδη ἐπὶ τὸν ἀγῶνα, δεῖξον ἡμῖν τί ἔμαθες, πῶς ἤθλησας. Μέχρι τίνος γυμνασθήσῃ μόνος; ἤδη καιρὸς, γνῶναί σε, πότερον τῶν ἀξιονίκων εἴ τις ἀθλητῶν, ἢ ἐκείνων, οἳ τὴν οἰκουμένην περι-

31 έρχονται νικώμενοι. Τί οὖν ἀγανακτεῖς; οὐδεὶς ἀγὼν δίχα θορύβου γίνεται. Πολλοὺς δεῖ προγυμναστὰς εἶναι, πολλοὺς τοὺς ἐπικραυγάζοντας, πολλοὺς ἐπιστάτας, πολλοὺς θεατάς. Ἀλλ'

32 ἐγὼ ἤθελον ἐφ' ἡσυχίας διάγειν. Οἴμωζε τοίνυν, καὶ στένε, ὥσπερ ἄξιος εἶ. Τίς γὰρ ἄλλη μείζων ταύτης ζημία τῷ ἀπαιδεύτῳ, καὶ ἀπειθοῦντι τοῖς θείοις διατάγμασιν, ἢ τὸ λυπεῖσθαι, τὸ πενθεῖν, τὸ φθονεῖν, ἁπλῶς τὸ ἀτυχεῖν καὶ δυστυχεῖν; τούτων οὐ θέλεις ἀπαλλάξαι σεαυτόν;

33 Καὶ πῶς ἀπαλλάξω; Οὐ πολλάκις ἤκουσας, ὅτι ὄρεξιν ἆραί σε δεῖ παντελῶς, τὴν ἔκκλισιν ἐπὶ μόνα τρέψαι τὰ προαιρετικὰ, ἀφεῖναί σε δεῖ πάντα, τὸ σῶμα, τὴν κτῆσιν, τὴν φήμην, τὰ βιβλία, θόρυβον, ἀρχὰς, ἀναρχίαν; ὅπου γὰρ ἂν κλίνῃς, ἐδούλευσας, ὑπετάγης, κωλυτὸς ἐγένου, ἀναγκαστὸς,

34 ὅλως ἐπ' ἄλλοις. Ἀλλὰ τὸ Κλεάνθους πρόχειρον,

Ἄγου δέ μ', ὦ Ζεῦ, καὶ σύ γ' ἡ Πεπρωμένη.

Θέλετ' εἰς Ῥώμην; Εἰς Ῥώμην. Εἰς Γύαρα; Εἰς Γύαρα. Εἰς

Digitized by Google

Ἀθήνας; Εἰς Ἀθήνας. Εἰς φυλακήν; Εἰς φυλακήν. Ἂν ἁπαξ 35
εἴπῃς, πότε τις εἰς Ἀθήνας ἀπέλθῃ; ἀπώλου. Ἀνάγκη γε, ταύ-
την τὴν ὄρεξιν, ἀτελῆ μὲν μένουσαν, ἀτυχῆ σε ποιεῖν· τελειω-
θεῖσαν δὲ, κενὰν, ἐφ' οἷς οὐ δεῖ ἐπαιρόμενον· πάλιν, ἂν ἐμ-
πρησθῇς, δυστυχῆ, περιπίπτοντα οἷς οὐ θέλεις. Ἄφες οὖν 36
ταῦτα πάντα. Καλαὶ αἱ Ἀθῆναι. Ἀλλὰ τὸ εὐδαιμονεῖν κάλλιον
πολύ· τὸ ἀπαθῆ εἶναι, τὸ ἀτάραχον, τὸ ἐπὶ μηδενὶ κεῖσθαι τὰ
αὰ πράγματα. Θόρυβος ἐν Ῥώμῃ, καὶ ἀσπασμοί. Ἀλλὰ τὸ 37
εὐροεῖν, ἀντὶ πάντων τῶν δυσκόλων. Εἰ οὖν τούτων καιρός
ἐστι, διὰ τί οὐκ αἴρεις αὐτῶν τὴν ἔκκλισιν; τίς ἀνάγκη, ὡς
ὄνον ξυλοκοπούμενον ἀχθοφορεῖν; εἰ δὲ μή, ὅρα ὅτι δεῖ σε 38
δουλεύειν ἀεὶ τῷ δυναμένῳ σοι διαπράξασθαι τὴν ἔξοδον, τῷ
παρεμποδίσαι δυναμένῳ· κἀκεῖνον θεραπεύειν, ὡς Κακο-
δαίμονα.

Μία ὁδὸς ἐπὶ εὐροιαν (τοῦτο καὶ ὄρθρου καὶ μεθ' ἡμέραν 39
καὶ νύκτωρ ἔστω πρόχειρον), ἀπόστασις τῶν ἀπροαιρέτων,
τὸ μηδὲν ἴδιον ἡγεῖσθαι, τὸ παραδοῦναι πάντα τῷ Δαιμονίῳ,
τῇ Τύχῃ· ἐκείνους ἐπιτρόπους αὐτῶν ποιήσασθαι, οὓς καὶ ὁ
Ζεὺς πεποίηκεν· αὐτὸν δὲ πρὸς ἑνὶ εἶναι μόνῳ, τῷ ἰδίῳ, τῷ 40
ἀκωλύτῳ· καὶ ἀναγινώσκειν, ἐπὶ τοῦτο ἀναφέροντα τὴν ἀναγνω-
σιν, καὶ γράφειν, καὶ ἀκούειν. Διὰ τοῦτο οὐ δύναμαι εἰπεῖν 41
φιλόπονον, ἂν ἀκούσω τοῦτο μόνον, ὅτι ἀναγινώσκει ἢ γράφει·
κἂν προσθῇ τις, ὅλας τὰς νύκτας, οὕπω λέγω, ἂν μὴ γνῶ τὴν
ἀναφοράν. Οὐδὲ γὰρ σὺ λέγεις φιλόπονον, τὸν διὰ παιδεσκά-
ριον ἀγρυπνοῦντα. Οὐ τοίνυν οὐδ' ἐγώ. Ἀλλ' ἐὰν μὲν ἕνεκα 42
δόξης αὐτὸ ποιῇ, λέγω φιλόδοξον· ἂν δ' ἕνεκα ἀργυρίου, φι-
λάργυρον, οὐ φιλόπονον· ἂν δὲ δι' ἐπιθυμίαν λόγου, φιλό-
λογον. Ἂν δ' ἐπὶ τὸ ἴδιον ἡγεμονικὸν ἀναφέρῃ τὸν πόνον, ἵν 43
ἐκεῖνο κατὰ φύσιν ἔχῃ καὶ διεξάγῃ, τότε λέγω μόνον φιλόπονον.
Μηδέποτε γὰρ ἀπὸ τῶν κοινῶν μήτ' ἐπαινεῖτε, μήτε ψέγετε, 44

Digitized by Google

ἀλλὰ ἀπὸ δογμάτων. Ταῦτα γάρ ἐστι τὰ ἴδια ἑκάστου, τὰ καὶ
45 τὰς πράξεις αἰσχρὰς ἢ καλὰς ποιοῦντα. Τούτων μεμνημένος,
46 χαῖρε τοῖς παροῦσι, καὶ ἀγάπα ταῦτα ὧν καιρός ἐστιν. Εἴ τινα
ὁρᾷς, ὧν ἔμαθες καὶ διεσκέψω, ἀπαντῶντά σοι εἰς τὰ ἔργα,
εὐφραίνου ἐπ' αὐτοῖς. Εἰ τὸ κακόηθες καὶ λοίδορον ἀπο-
τέθεισαι ἢ μεμείωκας· εἰ τὸ προπετὲς, εἰ τὸ αἰσχρολόγον, εἰ τὸ
εἰκαῖον, εἰ τὸ ἐπισεσυρμένον· εἰ οὐ κινῇ ἐφ' οἷς πρότερον, ἢ
οὐχ ὁμοίως γ' ὡς πρότερον· ἑορτὴν ἄγειν δύνασαι καθ' ἡμέραν,
σήμερον, ὅτι καλῶς ἀνεστράφης ἐν τῷδε τῷ ἔργῳ, αὔριον,
47 ὅτι ἐν ἑτέρῳ. Πόσῳ μείζων αἰτία θυσίας, ἢ ὑπατεία, ἢ ἐπαρ-
χία; Ταῦτα ἐκ σοῦ αὐτοῦ γίνεταί σοι, καὶ ἀπὸ τῶν Θεῶν.
48 Ἐκεῖνο μέμνησο τίς ὁ διδούς ἐστι, καὶ τίσι, καὶ διὰ τίνα. Τού-
τοις τοῖς διαλογισμοῖς ἐντρεφόμενος, ἔτι διαφέρῃ, ποῦ ὢν
εὐδαιμονήσεις; ποῦ ὢν ἀρέσεις τῷ Θεῷ; Οὐ πανταχόθεν τὸ
ἴσον ἀπέχουσιν; οὐ πανταχόθεν ὁμοίως ὁρῶσι τὰ γινόμενα.

ΚΕΦΑΛΑΙΟΝ ε'.

Πρὸς τοὺς μαχίμους καὶ Θηριώδεις.

Ὁ καλὸς καὶ ἀγαθὸς οὔτ' αὐτὸς μάχεταί τινι, οὔτ' ἄλλον ἐᾷ
2 κατὰ δύναμιν. Παράδειγμα δὲ καὶ τούτου, καθάπερ καὶ τῶν
ἄλλων, ἔκκειται ἡμῖν ὁ βίος ὁ Σωκράτους· ὃς οὐ μόναν αὐτὸς
3 πανταχοῦ ἐξέφυγε μάχην, ἀλλ' οὐδ' ἄλλους μάχεσθαι εἴα. Ὅρα
παρὰ Ξενοφῶντι ἐν τῷ Συμποσίῳ, πόσας μάχας λέλυκε· πῶς
πάλιν ἠνέσχετο Θρασυμάχου, πῶς Πώλου, πῶς Καλλικλέους·
πῶς τῆς γυναικὸς ἠνείχετο, πῶς τοῦ υἱοῦ, ἐξελεγχόμενος ὑπ'
4 αὐτοῦ, σοφιζόμενος. Λίαν γὰρ ἀσφαλῶς ἐμέμνητο, ὅτι οὐδεὶς
ἀλλοτρίου ἡγεμονικοῦ κυριεύει. Οὐδὲν οὖν ἄλλο ἤθελεν, ἢ τὸ
5 ἴδιον. Τί δ' ἔστι τοῦτο; Οὐχ ἵνα κινῇ τούτους κατὰ φύσιν·

Digitized by Google

ταῦτα γὰρ ἀλλότριον· ἀλλ' ὅπως ἐκείνων τὰ ἴδια ποιούντων, ὡς αὐτοῖς δοκεῖ, αὐτὸς μηδὲν ἧττον κατὰ φύσιν ἕξει καὶ διεξάξει, μόνον τὰ αὐτοῦ παιῶν πρὸς τὸ κἀκείνους ἔχειν κατὰ φύσιν. Ταῦτα γὰρ ἐστιν ὃ ἀεὶ πρόκειται τῷ καλῷ καὶ ἀγαθῷ. Στρατηγῆσαι; Οὔ· ἀλλ', ἂν διδῶται, ἐπὶ ταύτης τῆς ὕλης τὸ ἴδιον ἡγεμονικὸν τηρῆσαι. Γῆμαι; Οὔ· ἀλλ', ἂν δεδῶται γάμος, ἐν ταύτῃ τῇ ὕλῃ κατὰ φύσιν ἔχοντα αὐτὸν τηρῆσαι. Ἂν δὲ θέλῃ τὸν υἱὸν μὴ ἁμαρτάνειν ἢ τὴν γυναῖκα, θέλει τὰ ἀλλότρια μὴ εἶναι ἀλλότρια. Καὶ τὸ παιδεύεσθαι τοῦτ' ἔστι, μανθάνειν τὰ ἴδια καὶ τὰ ἀλλότρια. 6 7

Ποῦ οὖν ἔτι μάχης τόπος τῷ οὕτως ἔχοντι; μὴ γὰρ θαυμάζει τι τῶν γινομένων; μὴ γὰρ καινόν αὐτῷ φαίνεται; μὴ γὰρ οὐ χείρονα καὶ χαλεπώτερα προσδέχεται τὰ παρὰ τῶν φαύλων, ἢ ἀποδαίνει αὐτῷ; μὴ γὰρ οὐ κέρδος λογίζεται πᾶν ὅ τι ἂν ἐπιλείπωσι τοῦ ἐσχάτου; Ἐλοιδόρησέ σε ὁ δεῖνα. Πολλὴ χάρις αὐτῷ, ὅτι μὴ ἔπληξεν. Ἀλλὰ καὶ ἔπληξε. Πολλὴ χάρις, ὅτι μὴ ἔτρωσεν. Ἀλλὰ καὶ ἔτρωσε. Πολλὴ χάρις, ὅτι μὴ ἀπέκτεινε. Πόθεν γὰρ ἔμαθεν, ἢ παρά τινι, ὅτι ἥμερόν ἐστι ζῷον, ὅτι φιλάλληλον, ὅτι μεγάλη βλάβη τῷ ἀδικοῦντι αὐτὴ ἡ ἀδικία; ταῦτα οὖν μὴ μεμαθηκὼς, μηδὲ πεπεισμένος, διὰ τί μὴ ἀκολουθήσει τῷ φαινομένῳ συμφέροντι; Βέβληκεν ὁ γείτων λίθους. Μή τι οὖν σὺ ἡμάρτηκας; Ἀλλὰ τὰ ἐν οἴκῳ κατεάγη. Σὺ οὖν σκευάριον εἶ; Οὔ, ἀλλὰ προαίρεσις. Τί οὖν σοι δίδοται πρὸς τοῦτο; ὡς μὲν λύκῳ, ἀντιβάκτειν, καὶ ἄλλους πλείονας λίθους βάλλειν· ἀνθρώπῳ δ' ἐὰν ζητῇς, ἐπίσκεψαί σου τὸ ταμιεῖον, ἴδε τίνας δυνάμεις ἔχων ἐλήλυθας· μή τι τὸν θηριώδη; μή τι τὴν μιμητικὴν; Ἵππος οὖν πότ' ἄθλιός ἐστιν; Ὅταν τῶν φυσικῶν δυνάμεων στέρηται· οὐχ ὅταν μὴ δύνηται κεκμύζειν, ἀλλ' ὅταν μὴ τρέχειν. Ὁ δὲ κύων; Οὐχ ὅταν πέτεσθαι μὴ δύνηται, ἀλλ' ὅταν μὴ ἰχνεύειν. Μή πετ' οὖν οὕτω καὶ ἄνθρω- 8 9 10 11 12 13 14

Digitized by Google

πος δυστυχής ἐστιν, οὐχ ὁ μὴ δυνάμενος λέοντας πνίγειν, ἢ ἀνδριάντας περιλαμβάνειν· οὐ γὰρ πρὸς τοῦτο δυνάμεις τινὰς ἔχων ἐλήλυθε παρὰ τῆς φύσεως· ἀλλ' ὁ ἀπολωλεκὼς τὸ εὐγνω-
15 μον, ὁ τὸ πιστόν. Τοῦτον ἔδει συνελθόντας θρηνεῖν, εἰς ὅσα κακὰ ἐλήλυθεν· οὐχί, μὰ Δία, τὸν φύντα, ἢ τὸν ἀποθανόντα, ἀλλ' ᾧ ζῶντι συμβέβηκε ἀπολέσαι τὰ ἴδια· οὐ τὰ πατρῷα, τὸ ἀγρίδιον, καὶ τὸ οἰκίδιον, καὶ τὸ πανδοκεῖον, καὶ τὰ δουλάρια (τούτων γὰρ οὐδὲν ἴδιον τῷ ἀνθρώπῳ ἐστίν, ἀλλὰ πάντα ἀλ-
16 λότρια, δοῦλα, ὑπεύθυνα, ἄλλοτε ἄλλοις διδόμενα ὑπὸ τῶν κυρίων), ἀλλὰ τὰ ἀνθρωπικά, τοὺς χαρακτῆρας οὓς ἔχων ἐν τῇ διανοίᾳ ἐλήλυθεν· οἵους καὶ ἐπὶ τῶν νομισμάτων ζητοῦντες, ἂν μὲν εὕρωμεν, δοκιμάζομεν· ἂν δὲ μὴ εὕρωμεν, ῥιπτοῦμεν.
17 Τίνα ἔχει τὸν χαρακτῆρα τοῦτο τὸ τετράσσαρον; Τραϊανοῦ. Φέρε. Νέρωνος. Ῥίψον ἔξω, ἀδόκιμόν ἐστι, σαπρόν. Οὕτω καὶ ἐνθάδε. Τίνα ἔχει χαρακτῆρα τὰ δόγματα αὐτοῦ; Ἥμερον, κοινωνικόν, ἀνεκτικόν, φιλάλληλον. Φέρε, παραδέχομαι· ποιῶ
18 πολίτην τοῦτον, παραδέχομαι γείτονα, σύμπλουν. Ὅρα μόνον, μὴ Νερωνιανὸν ἔχῃ χαρακτῆρα. Μή τι ὀργίλος ἐστί; μή τι μνησιτής; μήτι μεμψίμοιρος; [μή τι], ἂν αὐτῷ φανῇ, πατάσσει τὰς
19 κεφαλὰς τῶν ἁπάντων; Τί οὖν ἔλεγες, ὅτι ἄνθρωπός ἐστι; μὴ γὰρ ἐκ ψιλῆς μορφῆς κρίνεται τῶν ὄντων ἕκαστον; ἐπεὶ οὕτω λέγε, καὶ τὸ κήρινον, μῆλον εἶναι· ὀδμὴν ἔχειν αὐτὸ δεῖ καὶ
20 γεῦσιν· οὐκ ἀρκεῖ ἡ ἐκτὸς περιγραφή. Οὐκοῦν οὐδὲ πρὸς τὸν ἄνθρωπον ἡ ῥὶς ἐξαρκεῖ, καὶ οἱ ὀφθαλμοί· ἀλλ' ἂν τὰ δόγ-
21 ματα ἔχῃ ἀνθρωπικά. Οὗτος οὐκ ἀκούει λόγου, οὐ παρακολουθεῖ ἐλεγχόμενος· ἄνος ἐστί. Τούτου τὸ αἰδῆμον ἀπονενέκρωται· ἄχρηστός ἐστι, πάντα μᾶλλον ἢ ἄνθρωπος. Οὗτος ζητεῖ, τίνα ἀπαντήσας λακτίσῃ, ἢ δάκῃ· ὥστε οὐδὲ πρόβατον ἢ ὄνος, ἀλλὰ τί ποτε ἄγριον θηρίον.

22 Τί οὖν; θέλεις με καταφρονεῖσθαι; Ὑπὸ τίνων; ὑπὸ εἰδότων;

Digitized by Google

καὶ πῶς καταφρονήσουσιν οἱ εἰδότες τοῦ πράου, τοῦ αἰδήμονος; ἀλλ' ὑπὸ τῶν ἀγνοούντων; Σοὶ μέλει; οὔ τοι γὰρ ἄλλῳ τεχνίτῃ τῶν ἀτέχνων. Ἀλλὰ πολὺ μᾶλλον ἐπιφυήσονταί μοι. 23
Τί λέγεις τὸ ἐμοί; δύναταί τις τὴν προαίρεσιν τὴν σὴν βλάψαι, ἢ κωλύσαι ταῖς προσπιπτούσαις φαντασίαις χρῆσθαι ὡς πέφυκεν; Οὐδαμῶς. Τί οὖν ἔτι ταράσσῃ, καὶ φοβερὸν σαυτὸν 24
θέλεις ἐπιδεικνύειν; οὐχὶ δὲ παρελθὼν εἰς μέσον κηρύσσεις, ὅτι εἰρήνην ἄγεις πρὸς πάντας ἀνθρώπους, ὅ τι ἂν ἐκεῖνος ποιῶσι· καὶ μάλιστ' ἐκείνων καταγελᾷς, ὅσοι σε βλάπτειν δοκοῦσιν; Ἀνδράποδα ταῦτα οὐκ οἶδεν, οὐδὲ τίς εἰμὶ, οὐδὲ ποῦ μου τὸ ἀγαθὸν καὶ τὸ κακὸν, ὅτι οὐ πρόσοδος αὐτοῖς πρὸς τὰ ἐμά.

Οὕτω καὶ οἱ ἐχυρὰν πόλιν οἰκοῦντες καταγελῶσι τῶν πολε- 25
ορκούντων· Νῦν δ' οὗτοι τί πρᾶγμα ἔχουσιν ἐπὶ τῷ μηδενί; ἀσφαλὲς ἐστιν ἡμῶν τὸ τεῖχος, τροφὰς ἔχομεν ἐπὶ πάμπολυν χρόνον, τὴν ἄλλην ἅπασαν παρασκευήν. Ταῦτά ἐστι τὰ πόλιν 26
ἐχυρὰν καὶ ἀναλωτον ποιοῦντα· ἀνθρώπου δὲ ψυχὴν οὐδὲν ἄλλο, ἢ δόγματα. Ποῖον γὰρ τεῖχος οὕτως ἰσχυρὸν, ἢ ποῖον σῶμα οὕτως ἀδαμάντινον, ἢ ποία κτῆσις ἀναφαίρετος, ἢ ποῖον ἀξίωμα οὕτως ἀνεπιβούλευτον; Ταῦτα πανταχοῦ θνητὰ, εὐά- 27
λωτα. οἷς τισι τὸν ὀπωσοῦν προσέχοντα πᾶσα ἀνάγκη ταράσσεσθαι, κακελπιστεῖν, φοβεῖσθαι, πενθεῖν, ἀτελεῖς ἔχειν τὰς ὀρέξεις, περιπτωτικὰς ἔχειν τὰς ἐκκλίσεις. Εἶτα οὐ θέλομεν 28
τὴν μόνην δεδομένην ἡμῖν ἀσφάλειαν ἐχυρὰν ποιεῖν; οὐδ', ἀποστάντες τῶν θνητῶν καὶ δούλων, τὰ ἀθάνατα καὶ φύσει ἐλεύθερα ἐκπονεῖν; οὐδὲ μεμνήμεθα, ὅτι οὔτε βλάπτει ἄλλος ἄλλον, οὔτε ὠφελεῖ, ἀλλὰ τὸ περὶ ἑκάστου τούτων δόγμα, τοῦτό ἐστι τὸ βλάπτον, τοῦτό ἐστι τὸ ἀνατρέπον, τοῦτο μάχη, τοῦτο στάσις, τοῦτο πόλεμος. [Πολεμίους] Ἐτεοκλέα καὶ Πολυνείκην τὸ 29
πεποιηκὸς οὐκ ἄλλο, ἢ τοῦτο τὸ δόγμα, τὸ περὶ τυραννίδος,

Digitized by Google

τὸ δόγμα τὸ περὶ φυγῆς· ὅτι τὰ μὲν, ἔσχατον τῶν κακῶν· τὸ
30 δὲ, μέγιστον τῶν ἀγαθῶν. Φύσις δ' αὕτη παντὸς, τὸ διώκειν τὸ
ἀγαθὸν, φεύγειν τὸ κακόν· τὸν ἀφαιρούμενον θατέρου, καὶ
περιβάλλοντα τῷ ἐναντίῳ, τοῦτον ἡγεῖσθαι πολέμιον καὶ ἐπί-
31 βουλον, κἂν ἀδελφὸς ᾖ, κἂν υἱὸς, κἂν πατήρ. Τοῦ γὰρ ἀγαθοῦ
συγγενέστερον οὐδὲν λοιπόν, εἰ ταῦτα ἀγαθὰ καὶ κακὰ, οὔτε
πατὴρ υἱῷ φίλος, οὔτ' ἀδελφὸς ἀδελφῷ, ἀλλὰ πάντα δὲ παντὸς
32 μεστὰ πολεμίων, ἐπιβούλων, συκοφαντῶν. Εἰ δ', οἷα δεῖ
προαίρεσις, ταῦτο μόνον ἀγαθόν ἐστι, καὶ, οἷα μὴ δεῖ, τοῦτο
μόνον κακόν· ποῦ ἔτι μάχη; ποῦ λοιδορία; περὶ τίνων; περὶ
τῶν οὐδὲν πρὸς ἡμᾶς; πρὸς τίνας; πρὸς τοὺς ἀγνοοῦντας,
πρὸς τοὺς δυστυχοῦντας, πρὸς τοὺς ἠπατημένους περὶ τῶν
μεγίστων;

33 Ταύτων Σωκράτης μεμνημένος, τὴν οἰκίαν τὴν αὐτοῦ ᾤκει,
γυναικὸς ἀνεχόμενος τραχυτάτης, υἱοῦ ἀγνώμονος. Τραχεῖα
γὰρ πρὸς τί ἦν; Ἵν' ὕδωρ καταχέῃ τῆς κεφαλῆς ὅσον καὶ θέλει,
ἵνα καταπατήσῃ τὸν πλακοῦντα· καὶ τί πρὸς ἐμὲ, ἂν ὑπολάβῳ
34 ὅτι ταῦτα οὐδὲν πρὸς ἐμέ; Τοῦτο δ' ἐμὸν ἔργον ἐστὶ καὶ οὔτε
τύραννος κωλύσει με θέλοντα, οὔτε δεσπότης, οὔτε οἱ πολλοὶ
τὸν ἕνα, οὔθ' ὁ ἰσχυρότερος τὸν ἀσθενέστερον. Τοῦτο γὰρ
35 ἀκώλυτον δέδοται ὑπὸ τοῦ Θεοῦ ἑκάστῳ. Ταῦτα τὰ δόγματα
ἐν οἰκίᾳ φιλίαν ποιεῖ, ἐν πόλει ὁμόνοιαν, ἐν ἔθνεσιν εἰρήνην,
πρὸς Θεὸν εὐχάριστον, πανταχοῦ θαρρεῦντα, ὡς περὶ τῶν
36 ἀλλοτρίων, ὡς περὶ οὐδενὸς ἀξίων. Ἀλλ' ἡμεῖς γράψαι μὲν
καὶ ἀναγνῶναι ταῦτα, καὶ ἀναγινωσκόμενα ἐπαινέσαι ἱκανοὶ,
37 πεισθῆναι δ' αὐδ' ἐγγύς. Τοιγαροῦν τὸ περὶ τῶν Λακεδαιμο-
νίων λεγόμενον,

Οἷκοι λέοντες, ἐν Ἐφέσῳ δ' ἀλώπεκες,

καὶ ἐφ' ἡμῶν ἁρμόσει· ἐν σχολῇ λέοντες, ἔξω δ' ἀλώπεκες.

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ ς'.

Πρὸς τοὺς ἐπὶ τῷ Ἐλεεῖσθαι ὀδυνωμένους.

Ἀνιῶμαι, φησίν, ἐλεούμενος. Πότερον οὖν σὸν ἔργον ἐστὶ τὸ ἐλεεῖσθαί σε, ἢ τῶν ἐλεούντων; τί δέ; ἐπί σοί ἐστι τὸ παῦσαι αὐτό; Ἐπ' ἐμοί, ἂν δεικνύω αὐτοῖς μὴ ἄξιον ἐλέου ὄντα ἐμαυτόν. Πότερον δ' ἤδη σοι ὑπάρχει τοῦτο, τὸ μὴ εἶναι 2
ἐλέου ἄξιον, ἢ οὐχ ὑπάρχει; Δοκῶ ἔγωγε, ὅτι οὐχ ὑπάρχει. Ἀλλ' οὗτοί γε οὐκ ἐπὶ τούτοις ἐλεοῦσιν, ἐφ' οἷς (εἴπερ ἄρα) ἦν ἄξιον, ἐπὶ τοῖς ἁμαρτανομένοις· ἀλλ' ἐπὶ πενίᾳ, καὶ ἀναρχίᾳ, καὶ νόσοις, καὶ θανάτοις, καὶ ἄλλοις τοιούτοις. Πότερον οὖν 3
πεῖθειν παρεσκεύασαι τοὺς πολλούς, ὡς ἄρα οὐδὲν τούτων κακόν ἐστιν, ἀλλ' οἷόν τε καὶ πένητι καὶ ἀνάρχῳ ὄντι καὶ ἀτίμῳ εὐδαιμονεῖν· ἢ σαυτὸν ἐπιδεικνύειν αὐτοῖς πλουτοῦντα καὶ ἄρχοντα; Τούτων γὰρ τὰ μὲν δεύτερα, ἀλαζόνος καὶ ψυχροῦ, 4
καὶ οὐδενὸς ἀξίου. Καὶ ἡ προσποίησις ὅρα δι' οἵων ἂν γένοιτο. Δουλάριά σε κτήσασθαι δεήσει, καὶ ἀργυρωμάτια ὀλίγα κεκτῆσθαι, καὶ ταῦτα ἐν φανερῷ δεικνύειν, εἰ οἷόν τε, ταὐτὰ πολλάκις, καὶ λανθάνειν πειρᾶσθαι ὅτι ταὐτά ἐστι, καὶ ἱματίδια στιλπνά, καὶ τὴν ἄλλην πομπήν, καὶ τὸν τιμώμενον ἐπιφαίνειν ὑπὸ τῶν ἐπιφανῶν τούτων· καὶ δειπνεῖν πειρᾶσθαι παρ' αὐτοῖς, ἢ δοκεῖν γε ὅτι δειπνεῖς· καὶ περὶ τὸ σῶμα δέ τινα κακοτεχνεῖν, ὡς εὐμορφότερον φαίνεσθαι καὶ γενναιότερον τοῦ ὄντος.

Ταῦτά σε δεῖ μηχανᾶσθαι, εἰ τὴν δευτέραν ὁδὸν ἀπιέναι 5
θέλεις ὥστε μὴ ἐλεεῖσθαι. Ἡ πρώτη δὲ καὶ ἀνήνυτος καὶ μακρά· ὃ ὁ Ζεὺς οὐκ ἠδυνήθη πρᾶξαι, τοῦτο αὐτὸ ἐπιχειρεῖν, πάντας ἀνθρώπους πεῖσαι, τίνα ἐστὶν ἀγαθὰ καὶ κακά. Μὴ γὰρ δέδοταί σοι τοῦτο; ἐκεῖνο μόνον σοι δέδοται, σαυτὸν πεῖσαι. Καὶ 6

Digitized by Google

7 οὔπω πέπεικας· εἶτα μοι νῦν ἐπιχειρεῖς πείθειν τοὺς ἄλλους; καὶ τίς σοι τοσούτῳ χρόνῳ σύνεστιν, ὡς σὺ σαυτῷ; τίς δὲ οὕτω πιθανός ἐστί σοι πρὸς τὸ πεῖσαι, ὡς σὺ σαυτῷ; τίς δ'
8 εὐνούστερον καὶ οἰκειότερον ἔχων, ἢ σὺ σαυτῷ; πῶς οὖν οὔπω πέπεικας σαυτὸν μαθεῖν; νῦν οὐχὶ ἄνω κάτω; τοῦτ' ἔστι περὶ ὃ ἐσπούδακας, *καὶ* μανθάνειν ὥστε ἄλυπος εἶναι, καὶ ἀτά-
9 ραχος, καὶ ἀταπείνωτος, καὶ ἐλεύθερος; Πρὸς ταῦτα οὖν οὐκ ἀκήκοας ὅτι μία ἐστὶν ἡ ὁδὸς ἡ φέρουσα, ἀφεῖναι τὰ ἀπροαίρετα, καὶ ἐκστῆναι αὐτῶν, καὶ ὁμολογῆσαι αὐτὰ ἀλλότρια;
10 Τὸ οὖν ἄλλον τι ὑπολαβεῖν περὶ σοῦ, ποίου εἴδους ἐστί; Τοῦ ἀπροαιρέτου. Οὐκοῦν οὐδὲν πρὸς σέ; Οὐδέν. Ἔτι οὖν θακνόμενος ἐπὶ τούτῳ καὶ ταρασσόμενος, οἴει πεπεῖσθαι περὶ ἀγαθῶν καὶ κακῶν;

11 Οὐ θέλεις οὖν, ἀφεὶς τοὺς ἄλλους, αὐτὸς σαυτῷ γενέσθαι καὶ μαθητὴς καὶ διδάσκαλος; Ὄψονται οἱ ἄλλοι, εἰ λυσιτελεῖ αὐτοῖς παρὰ φύσιν ἔχειν καὶ διεξάγειν· ἐμοὶ δ' οὐδείς ἐστιν ἐγ-
12 γίων ἐμοῦ. Τί οὖν τοῦτό ἐστιν, ὅτι τοὺς μὲν λόγους ἀκήκοα τοὺς τῶν φιλοσόφων, καὶ συγκατατίθεμαι αὐτοῖς, ἔργῳ δ' οὐδὲν γέγονα κουφότερος; μή τι οὕτως ἀφυὴς εἰμι; καὶ μὴν περὶ τὰ ἄλλα, ὅσα ἠβουλήθην, οὐ λίαν ἀφυὴς εὑρέθην· ἀλλὰ καὶ γράμματα ταχέως ἔμαθον, καὶ παλαίειν, καὶ γεωμετρεῖν,
13 καὶ συλλογισμοὺς ἀναλύειν. Μή τι οὖν οὐ πέπεικέ με ὁ λόγος; καὶ μὴν οὐκ ἄλλα τινὰ οὕτως ἐξ ἀρχῆς ἐδοκίμασα ἢ εἱλόμην· καὶ νῦν περὶ τούτων ἀναγινώσκω, ταῦτα ἀκούω, ταῦτα γράφω·
14 ἄλλον οὐχ εὑρήκαμεν μέχρι νῦν ἰσχυρότερον τούτου λόγον. Τί οὖν τὸ λεῖπόν μοι ἐστί; μὴ οὐκ ἐξῄρηται τὰ ἐναντία δόγματα; μὴ αὐταί αἱ ὑπολήψεις ἀγύμναστοί εἰσιν, οὐδ' εἰθισμέναι ἁπανταχοῦ ἐπὶ τὰ ἔργα, ἀλλ', ὡς ὁπλάρια ἀποκείμενα, κατίωται,
15 καὶ οὐδὲ περιαρμόσαι μοι δύναται; Καίτοι οὔτ' ἐπὶ τοῦ παλαίειν, οὔτ' ἐπὶ τοῦ γράφειν ἢ ἀναγινώσκειν, ἀρκοῦμαι τῷ

Digitized by Google

μαθεῖν· ἀλλ' ἄνω κάτω στρέφω τοὺς προτεινομένους, καὶ ἄλλους πλέκω, καὶ μεταπίπτοντας ὡσαύτως. Τὰ δ' ἀναγκαῖα 16
θεωρήματα, ἀφ' ὧν ἐστιν ὁρμώμενον ἄλυπον γενέσθαι, ἄφοβον, ἀπαθῆ, ἀκώλυτον, ἐλεύθερον, ταῦτα δ' οὐ γυμνάζω, οὐδὲ μελετῶ κατὰ ταῦτα τὴν προσήκουσαν μελέτην. Εἶτά μοι 17
μέλει ὅ τι οἱ ἄλλοι περὶ ἐμοῦ ἐροῦσιν, εἰ φανοῦμαι αὐτοῖς ἀξιόλογος, εἰ φανοῦμαι εὐδαίμων;

Ταλαίπωρε, οὐ θέλεις βλέπειν τί σὺ λέγεις περὶ σαυτοῦ; 18
τίς φαίνῃ σαυτῷ· τίς ἐν τῷ ὑπολαμβάνειν; τίς ἐν τῷ ὀρέγεσθαι· τίς ἐν τῷ ἐκκλίνειν· τίς ἐν ὁρμῇ, παρασκευῇ, ἐπιβολῇ, τοῖς ἄλλοις τοῖς ἀνθρωπικοῖς ἔργοις. Ἀλλὰ μέλει σοι, εἴ σε ἐλεοῦσιν· οἱ ἄλλοι; Ναί· ἀλλὰ παρὰ τὴν ἀξίαν ἐλεοῦμαι. Οὐκοῦν ἐπὶ τούτῳ 19
ὀδυνᾷ; ὁ δέ γ' ὀδυνώμενος, ἐλεεινός ἐστι; Ναί. Πῶς οὖν ἔτι παρ' ἀξίαν ἐλεῇ; αὐτοῖς γὰρ οἷς περὶ τὸν ἔλεον πάσχεις, κατασκευάζεις σεαυτὸν ἄξιον τοῦ ἐλεεῖσθαι. Τί οὖν λέγει Ἀντι- 20
σθένης; οὐδέποτ' ἤκουσας; «Βασιλικόν, ὦ Κῦρε, πράττειν » μὲν εὖ, κακῶς δ' ἀκούειν ». Τὴν κεφαλὴν ὑγιᾶ ἔχω, καὶ πάντες 21
οἴονται ὅτι κεφαλαλγῶ. Τί μοι μέλει; Ἀπύρεκτός εἰμι, καὶ ὡς πυρέσσοντί μοι συνάχθονται· Τάλας, ἐκ τοσούτου χρόνου οὐ διέλιπες πυρέσσων. Λέγω καὶ ἐγὼ σκυθρωπάσας, ὅτι ναί· ταῖς ἀληθείαις πολὺς ἤδη χρόνος, ἐξ οὗ μοι κακῶς ἐστι. Τί οὖν γένηται; Ὡς ἂν ὁ Θεὸς θέλῃ. Καὶ ἅμα ὑποκαταγελώντων 22
οἰκτειρόντων με. Τί οὖν κωλύει καὶ ἐνταῦθα ὁμοίως; Πένης εἰμί, ἀλλὰ ὀρθὸν δόγμα ἔχω περὶ πενίας. Τί οὖν μοι μέλει, εἴ μ' ἐπὶ τῇ πενίᾳ ἐλεοῦσιν; Οὐκ ἄρχω, ἄλλοι δ' ἄρχουσιν. Ἀλλ', ὃ δεῖ ὑπειληφέναι, ὑπείληφα περὶ τοῦ ἄρχειν καὶ μὴ ἄρχειν. Ὄψονται οἱ ἐλεοῦντές με. Ἐγὼ δ' οὔτε πεινῶ, οὔτε διψῶ, 23
οὔτε ῥιγῶ· ἀλλ' ἀφ' ὧν αὐτοὶ πεινῶσιν ἢ διψῶσιν οἴονται κἀμέ. Τί οὖν αὐτοῖς ποιήσω; Περιερχόμενος κηρύσσω καὶ λέγω; Μὴ πλανᾶσθε, ἄνδρες, ἐμοὶ καλῶς ἐστιν, οὔτε πενίας ἐπιστρέ-

Digitized by Google

φομαι, οὔτε ἀναρχίας, οὔτε ἁπλῶς ἄλλου οὐδενὸς, ἢ δογμά-
24 των ὀρθῶν· ταῦτα ἔχω ἀκώλυτα, οὐδενὸς πεφρόντικα ἔτι. Καὶ
τίς αὕτη φλυαρία; πῶς ἔτι ὀρθὰ δόγματα ἔχω, μὴ ἀρκούμενος
τῷ εἶναι ὅς εἰμι, ἀλλ' ἐπτοημένος ὑπὲρ τοῦ δοκεῖν;
25 Ἀλλ' ἄλλοι μου πλειόνων τεύξονται, καὶ προτιμηθήσονται.
Τί οὖν εὐλογώτερον, ἢ τοὺς περί τι ἐσπουδακότας, ἐν ἐκείνῳ πλέον
ἔχειν ἐν ᾧ ἐσπουδάκασι; περὶ ἀρχὰς ἐσπουδάκασι, σὺ περὶ δόγματα·
26 καὶ περὶ πλοῦτον, σὺ περὶ τὴν χρῆσιν τῶν φαντασιῶν. Ὅρα, εἰ ἐν
τούτῳ σου πλέον ἔχουσι, περὶ ὃ σὺ μὲν ἐσπούδακας, ἐκεῖνοι δ'
ἀμελοῦσιν· εἰ συγκατατίθενται μᾶλλον περὶ τὰ φυσικὰ μέτρα·
εἰ ὀρέγονταί σου ἀναποτευκτότερον· εἰ ἐκκλίκουσιν ἀπεριπτω-
τότερον· εἰ ἐν ἐπιβολῇ, εἰ ἐν προθέσει, εἰ ἐν ὁρμῇ μᾶλλον
εὐστοχοῦσιν· εἰ τὸ πρέπον σώζουσιν ὡς ἄνδρες, ὡς υἱοί, ὡς
27 γονεῖς, εἶθ' ἑξῆς κατὰ τὰ ἄλλα τῶν σχέσεων ὀνόματα. Εἰ δ'
ἄρχουσιν ἐκεῖνοι, σὺ δ' οὔ· οὐ θέλεις σαυτῷ τὰς ἀληθείας
εἰπεῖν, ὅτι σὺ μὲν οὐδὲν τούτου ἕνεκα ποιεῖς, ἐκεῖνοι δὲ πάντα;
ἀλογώτατον δὲ, τὸν ἐπιμελούμενόν τινος, ἔλαττον φέρεσθαι, ἢ
τὸν ἀμελοῦντα.
28 Οὔ· ἀλλ' ἐπειδὴ φροντίζω ἐγὼ δογμάτων ὀρθῶν, εὐλογώτε-
ρόν με ἐστὶν ἄρχειν. Ἐν ᾧ φροντίζεις, ἐν δόγμασιν. Ἐν ᾧ δ'
ἄλλοι μᾶλλον σοῦ πεφροντίκασιν, ἐκείνοις παραχώρει. Οἷον εἰ
διὰ τὸ δόγματα ἔχειν ὀρθὰ, ἠξίους τοξεύων μᾶλλον ἐπιτυγ-
29 χάνειν τῶν τοξοτῶν, ἢ χαλκεύων μᾶλλον τῶν χαλκέων. Ἄφες
οὖν τὴν περὶ τὰ δόγματα σπουδὴν, καὶ περὶ ἐκεῖνα ἀναστρέφου
ἃ κτήσασθαι θέλεις· καὶ τότε κλαῖε, ἐάν σοι μὴ προχωρῇ·
30 κλαίειν γὰρ ἄξιος εἶ. Νῦν δὲ πρὸς ἄλλοις γίνεσθαι θέλεις,
ἄλλων ἐπιμελεῖσθαι· καὶ οἱ πολλοὶ δὲ τοῦτο καλῶς λέγουσιν,
31 ὅτι ἔργον ἔργῳ οὐ κοινωνεῖ. Ὁ μὲν ἐξ ὄρθρου ἀναστὰς, ζητεῖ
τίν' ἂν ἐξ οἴκου ἀσπάσηται, τίνι κεχαρισμένον λόγον εἴπῃ,
τίνι δῶρον πέμψῃ, πῶς τῷ ὀρχηστῇ ἀρέσῃ, πῶς κακοηθι-

Digitized by Google

σάμενος ἄλλον ἄλλῳ χαρίσηται. Ὅταν εὔχηται, περὶ τούτων 32
εὔχεται· ὅταν θύῃ, ἐπὶ τούτοις θύει· τὸ τοῦ Πυθαγόρου,

Μὴ δ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,

ἐνταῦθα παρατέθεικε. Πῇ παρέβην τῶν πρὸς κολακείαν; Τί 33
ἔρεξα; μή τι ὡς ἐλεύθερος, μή τι ὡς γενναῖος; Κἂν εὕρῃ τι
τοιοῦτον, ἐπιτιμᾷ ἑαυτῷ καὶ ἐγκαλεῖ. Τί γάρ σοι καὶ τοῦτο
εἰπεῖν; οὐ γὰρ ἐνῆν ψεύσασθαι; Λέγουσι καὶ οἱ φιλόσοφοι,
ὅτι οὐδὲν κωλύει ψεῦδος εἰπεῖν. Σὺ δ', εἴπερ ταῖς ἀληθείαις 34
οὐδενὸς ἄλλου πεφρόντικας ἢ χρήσεως οἵας δεῖ φαντασιῶν,
εὐθὺς ἀναστὰς ἔωθεν ἐνθυμοῦ, Τίνα μοι λείπει πρὸς ἀπά-
θειαν; τίνα πρὸς ἀταραξίαν; τίς εἰμί; μή τι σωμάτιον; μή τι
κτῆσις; μή τι φήμη; οὐδὲν τούτων. Ἀλλὰ τί; λογικόν εἰμι
ζῷον. Τίνα οὖν τὰ ἀπαιτήματα; ἀναπόλει τὰ πεπραγμένα. 35
Πῇ παρέβην τῶν πρὸς εὔροιαν; τί ἔρεξα ἢ ἄφιλον ἢ ἀκοινώ-
νητον; τί μοι δέον οὐκ ἐτελέσθη πρὸς ταῦτα;

Τοσαύτης οὖν τῆς διαφορᾶς οὔσης τῶν ἐπιθυμουμένων, 36
τῶν ἔργων, τῶν εὐχῶν, ἔτι θέλεις τὸ ἴσον ἔχειν ἐν ἐκείνοις,
περὶ ἃ σὺ μὲν οὐκ ἐσπούδακας, ἐκεῖνοι δ' ἐσπουδάκασιν; Εἶτα 37
θαυμάζεις εἰ σ' ἐλεοῦσι, καὶ ἀγανακτεῖς; Ἐκεῖνοι δ' οὐκ ἀγα-
νακτοῦσιν, εἰ σὺ αὐτοὺς ἐλεεῖς. Διὰ τί; Ὅτι ἐκεῖνοι μὲν πε- 38
πεισμένοι εἰσίν, ὅτι ἀγαθῶν τυγχάνουσι, σὺ δ' οὐ πέπεισαι.
Διὰ τοῦτο σὺ μὲν οὐκ ἀρκῇ τοῖς σοῖς, ἀλλ' ἐφίεσαι τῶν ἐκείνων·
ἐκεῖνοι δ' ἀρκοῦνται τοῖς ἑαυτῶν, καὶ οὐκ ἐφίενται τῶν σῶν.
Ἐπεί τοι εἰ ταῖς ἀληθείαις ἐπέπεισο, ὅτι περὶ τὰ ἀγαθὰ σὺ ὁ
ἐπιτυγχάνων εἶ, ἐκεῖνοι δ' ἀποπεπλάνηνται, οὐδ' ἂν ἐνεθυμοῦ
τί λέγουσι περὶ σοῦ.

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ ζ'.

Περὶ Ἀφοβίας.

Τί ποιεῖ φοβερὸν τὸν τύραννον; Οἱ δορυφόροι, φησί, καὶ
αἱ μάχαιραι αὐτῶν, καὶ οἱ ἐπὶ τοῦ κοιτῶνος, καὶ οἱ ἀπο-
2 κλείοντες τοὺς εἰσιόντας. Διὰ τί οὖν, ἂν παιδίον αὐτῷ προσαγάγῃς
μετὰ τῶν δορυφόρων ὄντι, οὐ φοβεῖται, ἢ ὅτι οὐκ αἰσθάνεται
3 τούτων τὸ παιδίον; Ἂν οὖν τῶν δορυφόρων τις αἰσθάνηται,
καὶ ὅτι μαχαίρας ἔχουσιν, ἐπ' αὐτῷ δὲ τούτῳ προσέρχηται
αὐτῷ, θέλων ἀποθανεῖν διά τινα περίστασιν, καὶ ζητῶν ὑπ'
ἄλλου παθεῖν αὐτὸ εὐκόλως, μή τι φοβεῖται τοὺς δορυφόρους;
4 Θέλει γὰρ τοῦτο, δι' ὃ φοβεροί εἰσιν. Ἂν οὖν τις, μήτ' ἀπο-
θανεῖν μήτε ζῆν θέλων ἐξ ἅπαντος, ἀλλ' ὡς ἂν διδῶται,
προσέρχηται αὐτῷ, τί κωλύει μὴ δεδοικότα προσέρχεσθαι αὐ-
5 τόν; Οὐδέν. Ἂν τις οὖν καὶ πρὸς τὴν κτῆσιν ὡσαύτως ἔχῃ
καθάπερ οὗτος πρὸς τὸ σῶμα, καὶ πρὸς τὰ τέκνα καὶ τὴν
γυναῖκα, καὶ ἁπλῶς ὑπό τινος μανίας καὶ ἀπονοίας οὕτως ᾖ
διακείμενος, ὥστ' ἐν μηδενὶ ποιεῖσθαι τὸ ἔχειν ταῦτα ἢ μὴ
ἔχειν, ἀλλ', ὡς ὀστρακίοις τὰ παιδία παίζοντα περὶ μὲν τῆς
παιδιᾶς διαφέρεται, τῶν δ' ὀστρακίων οὐ πεφρόντικεν, οὕτω
δὲ καὶ οὗτος τὰς μὲν ὕλας παρ' οὐδὲν ἡ πεποιημένος, τὴν παι-
διὰν δὲ τὴν περὶ αὐτὰς καὶ ἀναστροφὴν ἀσπάζηται· ποῖος ἔτι
τούτῳ τύραννος φοβερός; ἢ ποῖοι δορυφόροι; ἢ ποῖαι μάχαιραι
αὐτῶν;
6 Εἶτα ὑπὸ μανίας μὲν δύναταί τις οὕτω διατεθῆναι πρὸς
ταῦτα, καὶ ὑπὸ ἔθους οἱ Γαλιλαῖοι· ὑπὸ λόγου δὲ καὶ ἀπο-
δείξεως οὐδεὶς δύναται μαθεῖν, ὅτι ὁ Θεὸς πάντα πεποίηκε
τὰ ἐν τῷ κόσμῳ, καὶ αὐτὸν τὸν κόσμον ὅλον μὲν ἀκώλυτον

Digitized by Google

καὶ αὐτοτελῆ, τὰ ἐν μέρει δ' αὐτοῦ πρὸς χρείαν τῶν ὅλων; Τὰ 7
μὲν οὖν ἄλλα πάντα ἀπήλλακται τοῦ δύνασθαι παρακολουθεῖν
τῇ διοικήσει αὐτοῦ· τὸ δὲ λογικὸν ζῶον ἀφορμὰς ἔχει πρὸς
ἀναλογισμὸν τούτων ἁπάντων, ὅτι τε μέρος ἐστί, καὶ ποῖόν
τι μέρος, καὶ ὅτι τὰ μέρη τοῖς ὅλοις εἴκειν ἔχει καλῶς. Πρὸς 8
τούτοις δὲ, φύσει γενναῖον καὶ μεγαλόψυχον καὶ ἐλεύθερον
γενόμενον, ὁρᾷ, διότι τῶν περὶ αὐτὸ τὰ μὲν ἀκώλυτα ἔχει καὶ
ἐπ' αὐτῷ, τὰ δὲ κωλυτὰ καὶ ἐπ' ἄλλοις· ἀκώλυτα μὲν, τὰ
προαιρετικά· κωλυτὰ δὲ, τὰ ἀπροαίρετα. Καὶ διὰ τοῦτο, ἐὰν 9
μὲν ἐν τούτοις μόνοις ἡγήσηται τὸ ἀγαθὸν τὸ αὐτοῦ καὶ τὸ
συμφέρον, τοῖς ἀκωλύτοις καὶ ἐφ' ἑαυτῷ· ἐλεύθερον ἔσται,
εὔρουν, εὔδαιμον, ἀβλαβὲς, μεγαλόφρον, εὐσεβὲς, χάριν ἔχον
ὑπὲρ πάντων τῷ Θεῷ, μηδαμοῦ μεμφόμενον μηδενὶ τῶν οὐκ
ἐφ' ἑαυτῷ γενομένων, μηδενὶ ἐγκαλοῦν. Ἂν δ' ἐν τοῖς ἐκτὸς καὶ 10
ἀπροαιρέτοις· ἀνάγκη κωλύεσθαι αὐτὸ, ἐμποδίζεσθαι, δου-
λεύειν τοῖς ἐκείνων ἔχουσιν ἐξουσίαν ἃ τεθαύμακε καὶ φοβεῖται·
ἀνάγκη δ' ἀσεβὲς εἶναι, ἅτε βλάπτεσθαι οἰόμενον ὑπὸ τοῦ 11
Θεοῦ· καὶ ἄνισον, ὡς ἀεὶ αὐτῷ τοῦ πλείονος περιποιητικόν·
ἀνάγκη δὲ καὶ ταπεινὸν εἶναι καὶ μικροπρεπές.

Ταῦτα τί κωλύει διαλαβόντα ζῆν κούφως καὶ εὐηνίως, 12
πάντα τὰ συμβαίνειν δυνάμενα πράως ἐκδεχόμενον, τὰ δ' ἤδη
συμβεβηκότα φέροντα; Θέλεις πενίαν; φέρε, καὶ γνώσῃ τί 13
ἐστι πενία τυχοῦσα καλοῦ ὑποκριτοῦ. Θέλεις ἀρχάς; φέρε,
καὶ πόνους. Ἀλλ' ἐξορισμόν; Ὅπου ἂν ἀπέλθω, ἐκεῖ μοι καλῶς 14
ἔσται. Καὶ γὰρ ἐνθάδε, οὐ διὰ τὸν τόπον ἦν μοι καλῶς, ἀλλὰ
διὰ τὰ δόγματα, ἃ μέλλω μετ' ἐμαυτοῦ ἀποφέρειν. Οὐδὲ γὰρ
δύναταί τις ἀφελέσθαι αὐτά· ἀλλὰ ταῦτα μόνα ἐμά ἐστι καὶ
ἀναφαίρετα, καὶ ἀρκεῖ μοι παρόντα, ὅπου ἂν ὦ, καὶ ὅ τι ἂν
ποιῶ. Ἀλλ' ἤδη καιρὸς ἀποθανεῖν. Τί λέγεις, ἀποθανεῖν; Μὴ 15
τραγῴδει τὸ πρᾶγμα, ἀλλ' εἰπὲ ὡς ἔχει· ἤδη καιρὸς τὴν ὕλην,

Digitized by Google

ἐξ ὧν συνῆλθεν, εἰς ἐκεῖνα πάλιν ἀναλυθῆναι. Καὶ τί δεινόν; τί μέλλει ἀπόλλυσθαι τῶν ἐν τῷ κόσμῳ; τί γενέσθαι καινὸν, 16 παράλογον; Τούτων ἕνεκα ὁ τύραννος φοβερός ἐστι; διὰ ταῦτα οἱ δορυφόροι μεγάλας δοκοῦσιν ἔχειν τὰς μαχαίρας καὶ ὀξείας; ἄλλοις ταῦτα· ἐμοὶ δ' ἔσκεπται περὶ πάντων· εἰς ἐμὲ οὐδεὶς 17 ἐξουσίαν ἔχει. Ἠλευθέρωμαι ὑπὸ τοῦ Θεοῦ, ἔγνωκα αὐτοῦ τὰς ἐντολὰς, οὐκέτι οὐδεὶς δουλαγωγῆσαί με δύναται· καρπιστὴν 18 ἔχω οἷον δεῖ, δικαστὰς οἵους δεῖ. Οὐχὶ τοῦ σώματός μου κύριος εἶ; τί οὖν πρὸς ἐμέ; Οὐχὶ τοῦ κτησειδίου: τί οὖν πρὸς ἐμέ; Οὐχὶ φυγῆς, ἢ δεσμῶν; Πάλιν τούτων πάντων καὶ τοῦ σωματίου ὅλου σοι αὐτοῦ ἐξίσταμαι, ὅταν θέλῃς. Πείρασαί σου τῆς ἀρχῆς, καὶ γνώσῃ μέχρι τίνος αὐτὴν ἔχεις.

19 Τίνα οὖν ἔτι φοβηθῆναι δύναμαι; Τοὺς ἐπὶ τοῦ κοιτῶνος; Μὴ τί ποιήσωσιν; Ἀποκλείσωσί με; Ἂν με εὕρωσι θέλοντα εἰσελθεῖν, ἀποκλεισάτωσαν. Τί οὖν ἔρχῃ ἐπὶ θύρας; Ὅτι καθήκειν ἐμαυτῷ δοκῶ, μενούσης τῆς παιδιᾶς, συμπαίζειν. Πῶς 20 οὖν οὐκ ἀποκλείῃ; Ὅτι, ἂν μή τίς με δέχηται, οὐ θέλω εἰσελθεῖν· ἀλλ' ἀεὶ μᾶλλον ἐκεῖνο θέλω, τὸ γινόμενον. Κρεῖττον γὰρ ἡγοῦμαι ὃ ὁ Θεὸς θέλει, ἢ [ὃ] ἐγώ. Προσκείσομαι· διάκονος καὶ ἀκόλουθος ἐκείνῳ, συνορμῶ, συνορέγομαι, ἁπλῶς συνθέλω. 21 Ἀποκλεισμὸς ἐμοὶ οὐ γίνεται, ἀλλὰ τοῖς βιαζομένοις. Διὰ τί οὖν οὐ βιάζομαι; Οἶδα γὰρ, ὅτι ἔσω ἀγαθὸν οὐδὲν διαδίδοται τοῖς εἰσελθοῦσιν. Ἀλλ' ὅταν ἀκούσω τινὰ μακαριζόμενον, ὅτι τιμᾶται ὑπὸ τοῦ Καίσαρος, λέγω, Τί αὐτῷ συμβαίνει; Ἐπαρχία. Μή τι οὖν καὶ δόγμα οἷον δεῖ; Ἐπιτροπή. Μή τι οὖν 22 καὶ τὸ χρῆσθαι ἐπιτροπῇ; Τί ἔτι διωθοῦμαι; Ἰσχαδοκάρυά τις διαῤῥίπτει· τὰ παιδία ἁρπάζει, καὶ ἀλλήλοις διαμάχεται· οἱ ἄνδρες οὐχί, μικρὸν γὰρ αὐτὸ ἡγοῦνται. Ἂν δ' ὀστράκια διαρ- 23 ῥίπτῃ τις, οὐδὲ τὰ παιδία ἁρπάζει. Ἐπαρχίαι διαδίδονται· ὄψεται τὰ παιδία. Ἀργύριον· ὄψεται τὰ παιδία. Στρατηγία,

Digitized by Google

ὑπατεία· διαρπαζέτω τὰ παιδία· ἐκκλειέσθω, τυπτέσθω, καταφιλείτω τὰς χεῖρας τοῦ διδόντος, τῶν δούλων· ἐμοὶ δ' ἰσχαδοκάρυόν ἐστιν. Τί οὖν; Ἂν ἀποτύχῃς ῥιπτοῦντος αὐτοῦ, μὴ 24
φρόντιζε. Ἂν σου ἔλθῃ εἰς τὸν κόλπον ἰσχάς, ἆρας κατάφαγε· μέχρι τοσούτου γάρ ἐστι καὶ ἰσχάδα τιμῆσαι. Εἰ δὲ κύψω, καὶ ἄλλον ἀνατρέψω, ἢ ὑπ' ἄλλου ἀνατραπῶ, καὶ κολακεύσω τοὺς εἰσιόντας· οὐκ ἀξία οὔτ' ἰσχάς, οὔτ' ἄλλο τι τῶν οὐκ ἀγαθῶν, ἃ με ἀναπεπείκασιν οἱ φιλόσοφοι μὴ δοκεῖν ἀγαθὰ εἶναι.

Δείκνυέ μοι τὰς μαχαίρας τῶν δορυφόρων. Ἰδοὺ ἡλίκαι εἰσί, 25
καὶ πῶς ὀξεῖαι. Τί οὖν ποιοῦσιν αἱ μεγάλαι αὗται μάχαιραι καὶ ὀξεῖαι; Ἀποκτιννύουσι. Πυρετὸς δὲ τί ποιεῖ; Ἄλλο οὐδέν. Κε- 26
ραμὶς δὲ τί ποιεῖ; Ἄλλο οὐδέν. Θέλεις οὖν πάντα ταῦτα θαυμάζω καὶ προσκυνῶ, καὶ δοῦλος πάντων περιέρχωμαι; Μὴ 27
γένοιτο· ἀλλ' ἅπαξ μαθὼν, ὅτι τὸ γενόμενον καὶ φθαρῆναι δεῖ, ἵνα ὁ κόσμος μὴ ἵστηται μηδ' ἐμποδίζηται, οὐκέτι διαφέρομαι πότερον πυρετὸς αὐτὸ ποιήσει, ἢ κεραμὶς, ἢ στρατιώτης. Ἀλλ' εἰ δεῖ συγκρῖναι, οἶδ' ὅτι ἀπονώτερον αὐτὸ καὶ ταχύτερον ὁ στρατιώτης ποιήσει. Ὅταν οὖν μήτε φοβῶμαί τι ὧν διαθεῖναί 28
με δύναται, μήτ' ἐπιθυμῶ τινος ὧν παρασχεῖν, τί ἔτι θαυμάζω αὐτόν; τί ἔτι τέθηπα; τί φοβοῦμαι τοὺς δορυφόρους; τί χαίρω, ἂν μοι φιλανθρώπως λαλήσῃ, καὶ ἀποδέξηταί με, καὶ ἄλλοις διηγοῦμαι πῶς μοι ἐλάλησε; μὴ γὰρ Σωκράτης ἐστί; μὴ γὰρ 29
Διογένης; ἵν' ὁ ἔπαινος αὐτοῦ ἀπόδειξις ᾖ περὶ ἐμοῦ; μὴ γὰρ τὸ ἦθος ἐζήλωκα αὐτοῦ; ἀλλὰ τὴν παιδιὰν σώζων, ἔρχομαι 30
πρὸς αὐτὸν, καὶ ὑπηρετῶ, μέχρις ἂν ὅτου μηδὲν ἀβέλτερον κελεύῃ, μηδ' ἄῤῥυθμον. Ἂν δέ μοι λέγῃ, ἄπελθε ἐπὶ Λέοντα τὸν Σαλαμίνιον· λέγω αὐτῷ, Ζήτει ἄλλον· ἐγὼ γὰρ οὐκέτι παίζω. Ἄπαγε αὐτόν. Ἀκολουθῶ ἐν παιδιᾷ. Ἀλλ' ἀφαιρεῖταί 31
σου ὁ τράχηλος. Ἐκείνου δ' αὐτοῦ ἀεὶ ἐπιμενεῖ; ὑμῶν δὲ τῶν πειθομένων; Ἀλλ' ἄταφος ῥιφήσῃ. Εἰ ἐγώ εἰμι ὁ νεκρὸς, ῥι-

Digitized by Google

φήσομαι· εἰ δ' ἄλλος εἰμι τοῦ νεκροῦ, κομψότερον λέγε, ὡς
32 ἔχει τὸ πρᾶγμα, καὶ μὴ ἐκφόβει με. Τοῖς παιδίοις ταῦτα φο-
βερά ἐστι καὶ τοῖς ἀνοήτοις. Εἰ δέ τις, εἰς φιλοσόφου σχολὴν
ἅπαξ εἰσελθὼν, οὐκ οἶδε τί ἐστιν αὐτὸς, ἄξιός ἐστι φοβεῖσθαι
καὶ κολακεύειν οὓς ὕστερον ἐκολάκευεν· εἰ μήπω μεμάθηκεν,
ὅτι οὐκ ἔστι σὰρξ, οὐδ' ὀστᾶ, οὐδὲ νεῦρα, ἀλλὰ τὸ τούτοις
χρώμενον, καὶ διοικοῦν καὶ παρακολουθοῦν ταῖς φαντασίαις.
33 Ναί. Ἀλλ' οἱ λόγοι οὗτοι καταφρονητὰς ποιοῦσι τῶν νόμων.
Καὶ ποῖοι μᾶλλον λόγοι πειθομένους παρέχουσι τοῖς νόμοις
34 τοὺς χρωμένους; Νόμος δ' οὐκ ἔστι τὰ ἐπὶ μωρῷ. Καὶ ὅμως
ὅρα, πῶς καὶ πρὸς τούτους ὡς δεῖ ἔχοντας παρασκευάζουσιν·
οἵ γε διδάσκουσι μηδενὸς ἀντιποιεῖσθαι πρὸς αὐτοὺς ἐν οἷς ἂν
35 ἡμᾶς νικῆσαι δύνανται. Περὶ τὸ σωμάτιον διδάσκουσιν ἐξίστα-
σθαι, περὶ τὴν κτῆσιν ἐξίστασθαι, περὶ τὰ τέκνα, γονεῖς, ἀδελ-
φοὺς, πάντων παραχωρεῖν, πάντα ἀφιέναι· μόνα τὰ δόγματα
ὑπεξαιροῦνται, ἃ καὶ ὁ Ζεὺς ἐξαίρετα ἑκάστου εἶναι ἠθέλησε.
36 Ποία ἐνθάδε παρανομία; ποία ἀβελτερία; Ὅπου κρείττων εἶ
καὶ ἰσχυρότερος, ἐκεῖ σοι ἐξίσταμαι· ὅπου πάλιν ἐγὼ κρείττων,
37 σὺ παραχώρει μοι. Ἐμοὶ γὰρ μεμέληκε, σοὶ δ' οὔ. Σοὶ μέλει,
πῶς ἂν ἐν λιθοστρώτοις οἰκήσητε, πῶς παῖδές σοι καὶ πελάται
διακονῶσι, πῶς ἐσθῆτα περίβλεπτον φορῇς, πῶς κυνηγοὺς
38 πολλοὺς ἔχῃς, πῶς κιθαρῳδοὺς, τραγῳδούς. Μή τι ἀντιποιοῦ-
μαι; μή τι οὖν δογμάτων σοι μεμέληκε; μή τι τοῦ λόγου τοῦ
σεαυτοῦ; μή τι οἶδας ἐκ τίνων μορίων συνέστηκε, πῶς συν-
άγεται, τίς ἡ διάρθρωσις αὐτοῦ, τίνας ἔχει δυνάμεις, καὶ ποίας
39 τινάς; Τί οὖν ἀγανακτεῖς, εἰ ἄλλος ἐν τούτοις σου πλέον ἔχει,
ὁ μεμελετηκώς; Ἀλλὰ ταῦτ' ἐστὶ τὰ μέγιστα. Καὶ τίς σε κωλύει
περὶ ταῦτ' ἀναστρέφεσθαι, καὶ τούτων ἐπιμελεῖσθαι; τίς δὲ
μείζονα ἔχει παρασκευὴν βιβλίων, εὐσχολίας, τῶν ὠφελησόν-
40 των; μόνον ἀπόνενσόν ποτε ἐπὶ ταῦτα, ἀπόνειμον κἂν ὀλίγον

Digitized by Google

χρόνον τῷ σαυτοῦ ἡγεμονικῷ· σκέψαι τί ποτ' ἔχεις τοῦτο, καὶ πόθεν ἐληλυθός, τὸ πᾶσι τοῖς ἄλλοις χρώμενον, πάντα τἄλλα δοκιμάζον, ἐκλεγόμενον, ἀπεκλεγόμενον. Μέχρι δ' ἂν οὖ περὶ 41
τὰ ἐκτὸς ἀναστρέφῃ, ἐκεῖνα ἕξεις οἷα οὐδείς· τοῦτο δ', οἷον αὐτὸ ἔχειν θέλεις, ῥυπαρὸν καὶ ἀτημέλητον.

ΚΕΦΑΛΑΙΟΝ ἡ.

Πρὸς τοὺς ταχέως ἐπὶ τὸ σχῆμα τῶν Φιλοσόφων ἐπιπηδῶντας.

Μηδέποτ' ἀπὸ τῶν κοινῶν τινα μήτ' ἐπαινέσητε μήτε ψέξητε, μήτε τέχνην τινὰ ἢ ἀτεχνίαν προσμαρτυρήσητε· καὶ ἅμα μὲν προπετείας ἑαυτοὺς ἀπαλλάξετε, ἅμα δὲ κακοηθείας. Οὗτος ταχέως λούεται. Κακῶς οὖν ποιεῖ; Οὐ πάντως. Ἀλλὰ 2
τί; Ταχέως λούεται. Πάντα οὖν καλῶς γίνεται; Οὐδαμῶς· 3
ἀλλὰ τὰ μὲν ἀπὸ δογμάτων ὀρθῶν, καλῶς· τὰ δ' ἀπὸ μοχθηρῶν, μοχθηρῶς. Σὺ δὲ, μέχρις ἂν καταμάθῃς τὸ δόγμα ἀφ' οὗ τις ποιεῖ ἕκαστα, μήτ' ἐπαίνει τὸ ἔργον, μήτε ψέγε. Δόγμα 4
δ' ἐκ τῶν ἐκτὸς οὐ ῥᾳδίως κρίνεται. Οὗτος τέκτων ἐστί. Διὰ τί; Χρῆται γὰρ σκεπάρνῳ. Τί οὖν τοῦτο; Οὗτος μουσικός· ᾄδει γάρ. Καὶ τί τοῦτο; Οὗτος φιλόσοφος. Διὰ τί; Τρίβωνα γὰρ ἔχει καὶ κόμην. Οἱ δ' ἀγύρται τί ἔχουσι; Διὰ τοῦτο, ἂν 5
ἀσχημονοῦντά τις ἴδῃ τινὰ αὐτῶν, εὐθὺς λέγει, Ἰδοὺ ὁ φιλόσοφος [τί] ποιεῖ. Ἔδει δ', ἀφ' ὧν ἠσχημόνει, μᾶλλον λέγειν αὐτὸν μὴ εἶναι φιλόσοφον. Εἰ μὲν γὰρ αὕτη ἐστὶν ἡ τοῦ φιλοσόφου 6
πρόληψις καὶ ἐπαγγελία, ἔχειν τρίβωνα καὶ κόμην, καλῶς ἂν ἔλεγον. Εἰ δ' ἐκείνη μᾶλλον, ἀναμάρτητον εἶναι, διὰ τί οὐχί, διὰ τὸ μὴ πληροῦν τὴν ἐπαγγελίαν, ἀφαιροῦνται αὐτὸν τῆς προσηγορίας; Οὕτω γὰρ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν. Ὅταν τις 7
ἴδῃ τινὰ κακῶς πελεκῶντα, οὐ λέγει, Τί ὄφελος τεκτονικῆς;

Digitized by Google

ἰδοὺ οἱ τέκτονες οἷα ποιοῦσι κακά· ἀλλὰ πᾶν τοὐναντίον λέγει,
8 Οὗτος οὐκ ἔστι τέκτων, πελεκᾷ γὰρ κακῶς. Ὁμοίως κἂν
ᾄδοντός τινος ἀκούσῃ κακῶς, οὐ λέγει, Ἰδοὺ πῶς ᾄδουσιν οἱ
μουσικοί; ἀλλὰ μᾶλλον, ὅτι, Οὗτος οὐκ ἔστι μουσικός.
9 Ἐπὶ φιλοσοφίας δὲ μόνης τοῦτο πάσχουσιν· ὅταν τινὰ ἴδωσι
παρὰ τὸ ἐπάγγελμα τὸ τοῦ φιλοσόφου ποιοῦντα, οὐχὶ τῆς προσ-
ηγορίας ἀφαιροῦνται αὐτὸν, ἀλλὰ, Ὄντες εἶναι φιλόσοφον,
εἶτ' ἀπ' αὐτοῦ τοῦ γινομένου λαβόντες ὅτι ἀσχημονεῖ, ἐπάγουσι,
10 μηδὲν ὄφελος εἶναι τοῦ φιλοσοφεῖν. Τί οὖν τὸ αἴτιον; Ὅτι τὴν
μὲν τοῦ τέκτονος πρόληψιν πρεσβεύομεν, καὶ τὴν τοῦ μουσικοῦ,
καὶ τῶν ἄλλων ὡσαύτως τεχνιτῶν· τὴν τοῦ φιλοσόφου δ' οὐ,
ἀλλ' ἅτε συγκεχυμένην καὶ ἀδιάρθρωτον ἀπὸ τῶν ἐκτὸς μόνον
11 κρίνομεν. Καὶ ποία ἄλλη τέχνη ἀπὸ σχήματος ἀναλαμβάνεται
καὶ κόμης; Οὐχὶ δὲ καὶ θεωρήματα ἔχει, καὶ ὕλην, καὶ τέλος;
12 Τίς οὖν ὕλη τοῦ φιλοσόφου; μὴ τρίβων; Οὔ, ἀλλὰ ὁ λόγος.
Τί τέλος; μή τι φορεῖν τρίβωνα; Οὔ, ἀλλὰ τὸ ὀρθὸν ἔχειν
τὸν λόγον. Ποῖα θεωρήματα; μή τι τὰ περὶ τοῦ πῶς πώγων
μέγας γένηται, ἡ κόμη βαθεῖα; Οὔ, ἀλλὰ μᾶλλον ἃ Ζήνων
λέγει, γνῶναι τὰ τοῦ λόγου στοιχεῖα, ποῖόν τι ἕκαστον αὐτῶν
ἐστι, καὶ πῶς ἁρμόττεται πρὸς ἄλληλα, καὶ ὅσα τούτοις ἀκό-
13 λουθά ἐστιν. Οὐ θέλεις οὖν ἰδεῖν πρῶτον, εἰ πληροῖ τὴν ἐπαγ-
γελίαν ἀσχημονῶν, καὶ οὕτω τῷ ἐπιτηδεύματι ἐγκαλεῖν; Νῦν
δ', αὐτὸς ὅταν σωφρονῇς, ἐξ ὧν ποιεῖν σοι δοκεῖ κακῶς, λέ-
γεις, Ὅρα τὸν φιλόσοφον (ὡς πρέποντος λέγειν τὸν ταῦτα
ποιοῦντα φιλόσοφον)· καὶ πάλιν, Τοῦτο φιλόσοφόν ἐστιν; Ὅρα
δὲ τὸν τέκτονα, οὐ λέγεις, ὅταν μοιχεύοντά τινα γνῷς, ἢ λι-
14 χνεύοντα ἴδῃς· οὐδὲ, Ὅρα τὸν μουσικόν. Οὕτως ἐπὶ ποσὸν
αἰσθάνῃ καὶ αὐτὸς τῆς ἐπαγγελίας τοῦ φιλοσόφου, ἀπολισθαί-
νεις δὲ, καὶ συγχέῃ ὑπὸ ἀμελετησίας.
15 Ἀλλὰ καὶ αὐτοὶ οἱ καλούμενοι φιλόσοφοι ἀπὸ τῶν κοινῶν τὸ

Digitized by Google

πρᾶγμα μετίασιν· εὐθὺς ἀναλαβόντες τρίβωνα, καὶ πώγωνα καθέντες, φασίν, Ἐγὼ φιλόσοφός εἰμι. Οὐδείς δ' ἐρεῖ, Ἐγὼ 16
μουσικός εἰμι, ἂν πλῆκτρον καὶ κιθάραν ἀγοράσῃ· οὐδ', Ἐγὼ χαλκεύς εἰμι, ἂν πιλίον καὶ περίζωμα περιθῆται. Ἀλλ' ἁρμόζεται μὲν τὸ σχῆμα πρὸς τὴν τέχνην· ἀπὸ τῆς τέχνης δὲ τὸ ὄνομα, οὐκ ἀπὸ σχήματος, ἀναλαμβάνουσι. Διὰ τοῦτο καλῶς 17
Εὐφράτης ἔλεγεν, ὅτι, Ἐπὶ πολὺ ἐπειρώμην λανθάνειν φιλοσοφῶν· καὶ ἦν μοι, φησί, τοῦτο ὠφέλιμον. Πρῶτον μὲν γὰρ ᾔδειν, ὅσα καλῶς ἐποίουν, ὅτι οὐ διὰ τοὺς θεατὰς ἐποίουν, ἀλλὰ δι' ἐμαυτόν· ὕσθιον ἐμαυτῷ καλῶς, κατεσταλμένον εἶχον τὸ βλέμμα, τὸν περίπατον· πάντα ἐμαυτῷ καὶ τῷ Θεῷ. Εἶτα, 18
ὥσπερ μόνος ἠγωνιζόμην, οὕτω καὶ μόνος ἐκινδύνευον· οὐδὲν ἐμοί, δράσαντί τι αἰσχρὸν ἢ ἀπρεπές, τὸ τῆς φιλοσοφίας ἐκινδυνεύετο· οὐδ' ἔβλαπτον τοὺς πολλούς, ὡς φιλόσοφος ἁμαρτάνων. Διὰ τοῦτο οἱ μὴ εἰδότες μου τὴν ἐπιβολὴν ἐθαύμαζον, 19
πῶς, πᾶσι φιλοσόφοις χρώμενος καὶ συζῶν, αὐτὸς οὐκ ἐφιλοσόφουν. Καὶ τί κακόν, ἐν οἷς μὲν ἐποίουν, ἐπιγινώσκεσθαι τὸν 20
φιλόσοφον, ἐν δὲ τοῖς συμβόλοις μή; Βλέπε, πῶς ἐσθίω, πῶς πίνω, πῶς καθεύδω, πῶς ἀνέχομαι, πῶς ἀπέχομαι, πῶς συνεργῶ, πῶς ὀρέξει χρῶμαι, πῶς ἐκκλίσει, πῶς τηρῶ τὰς σχέσεις τὰς φυσικὰς ἢ ἐπιθέτους, ὡς ἀσυγχύτως καὶ ἀπαραποδίστως. Ἐκεῖθέν με κρῖνον, εἰ δύνασαι. Εἰ δ' οὕτω κωφὸς εἶ καὶ 21
τυφλός, ἵνα μηδὲ τὸν Ἥφαιστον ὑπολαμβάνῃς καλὸν χαλκέα, ἂν μὴ τὸ πιλίον ἴδῃς περὶ τὴν κεφαλὴν περικείμενον· τί κακὸν ὑφ' οὕτως ἠλιθίου κριτοῦ ἀγνοεῖσθαι;

Οὕτως ἐλάνθανε παρὰ τοῖς πλείστοις Σωκράτης. Καὶ ἤρ- 22
χοντο πρὸς αὐτὸν ἀξιοῦντες φιλοσόφοις συνταθῆναι. Μή τι 23
οὖν ἠγανάκτει ὡς ἡμεῖς, καὶ ἔλεγεν, Ἐγὼ δέ σοι οὐ φαίνομαι φιλόσοφος; Ἀλλ' ἀπῆγε, καὶ συνίστα, ἑνὶ ἀρκούμενος, τῷ εἶναι φιλόσοφος· χαίρων δὲ καὶ ὅτι μὴ δοκοῖ, οὐκ ἐδάκνετο.

Digitized by Google

24 Ἐμέμνητο γὰρ τοῦ ἰδίου ἔργου. Τί ἔργον καλοῦ καὶ ἀγαθοῦ; Μαθητὰς πολλοὺς ἔχειν; Οὐδαμῶς. Ὄψονται οἱ περὶ τοῦτο ἐσπουδακότες. Ἀλλὰ θεωρήματα δύσκολα ἀκριβοῦν; Ὄψονται
25 καὶ περὶ τούτων οἱ ἄλλοι. Ποῦ οὖν αὐτός; καὶ τίς ἦν, καὶ εἶναι ἤθελεν; Ὅπου βλάβη καὶ ὠφέλεια. Εἴ μέ τις, φησὶ, βλάψαι δύναται, ἐγὼ οὐδὲν ποιῶ· εἰ ἄλλον περιμένω ἵνα με ὠφελήσῃ, ἐγὼ οὐδέν εἰμι. Θέλω τι, καὶ οὐ γίνεται· ἐγὼ ἀτυχής εἰμι.
26 Εἰς τοσοῦτο σκάμμα προεκαλεῖτο πάντα ὀντιναοῦν, καὶ οὐκ ἄν μοι δοκεῖ ἐκστῆναι οὐδενί· τί δοκεῖτε; καταγγέλλων καὶ λέ-
27 γων, Ἐγὼ τοιοῦτος εἰμί; Μὴ γένοιτο· ἀλλὰ ὢν τοιοῦτος. Πάλιν γὰρ τοῦτο μωροῦ καὶ ἀλαζόνος· Ἐγὼ ἀπαθής εἰμι καὶ ἀτάραχος· μὴ ἀγνοεῖτε, ὦ ἄνθρωποι, ὅτι ὑμῶν κυκωμένων καὶ θορυβουμένων περὶ τὰ μηδενὸς ἄξια, μόνος ἐγὼ ἀπήλλαγμαι πά-
28 σης ταραχῆς. Οὕτως οὐκ ἀρκεῖ σοι τὸ μηδὲν ἀλγεῖν, ἂν μὴ κηρύσσῃς, Συνέλθετε πάντες οἱ ποδαγρῶντες, οἱ κεφαλαλγοῦντες, οἱ πυρέσσοντες, οἱ χωλοί, οἱ τυφλοί, καὶ ἴδετέ με ἀπὸ παντὸς
29 πάθους ὑγιᾶ; Τοῦτο κενὸν καὶ φορτικόν, εἰ μή τι, ὡς ὁ Ἀσκληπιός, εὐθὺς ὑποδεῖξαι δύνασαι, πῶς θεραπεύοντες εὐθὺς ἔσονται ἄνοσοι κἀκεῖνοι, καὶ εἰς τοῦτο φέρεις παράδειγμα τὴν ὑγίειαν τὴν σεαυτοῦ.

30 Τοιοῦτος γάρ ἐστιν ὁ Κυνικὸς, τοῦ σκήπτρου καὶ διαδήματος ἠξιωμένος παρὰ τοῦ Διὸς, καὶ λέγων· Ἴν' ἴδητε, ὦ ἄνθρωποι, ὅτι τὴν εὐδαιμονίαν καὶ ἀταραξίαν οὐχ ὅπου ἐστὶ ζητεῖτε,
31 ἀλλ' ὅπου μή ἐστιν· ἰδοὺ ἐγὼ ὑμῖν παράδειγμα ὑπὸ τοῦ Θεοῦ ἀπέσταλμαι, μήτε κτῆσιν ἔχων, μήτε οἶκον, μήτε γυναῖκα, μήτε τέκνα, ἀλλὰ μηδ' ὑπόστρωμα, μηδὲ χιτῶνα, μηδὲ σκεῦος· καὶ ἴδετε, πῶς ὑγιαίνω· πειράθητέ μου. Κἂν ἴδητε ἀτάραχον,
32 ἀκούσατε τὰ φάρμακα, καὶ ὑφ' ὧν ἐθεραπεύθην. Τοῦτο γὰρ ἤδη καὶ φιλάνθρωπον καὶ γενναῖον. Ἀλλ' ὁρᾶτε, τίνος ἔργον ἐστί· τοῦ Διὸς, ἢ ὃν ἂν ἐκεῖνος ἄξιον κρίνῃ ταύτης τῆς ὑπηρε-

Digitized by Google

σίας, ἵνα μηδαμοῦ μηδὲν παραγυμνώσῃ πρὸς τοὺς πολλούς, δι' οὗ τὴν μαρτυρίαν τὴν αὐτοῦ, ἣν τῇ ἀρετῇ μαρτυρεῖ, καὶ τῶν ἐκτὸς καταμαρτυρεῖ, αὐτὸς ἄκυρον ποιήσῃ·

> Οὔτ' ὠχρήσαντα χρόα κάλλιμον, οὔτε παρειῶν
> Δάκρυ' ὁμορξάμενον.

Καὶ οὐ μόνον τοῦτο, ἀλλ' οὐδὲ ποθοῦντά τι ἢ ἐπιζητοῦντα, 33
ἄνθρωπον, ἢ τόπον, ἢ διαγωγήν, ὡς τὰ παιδία τὸν τρυγητὸν
ἢ τὰς ἀργίας· αἰδοῖ πανταχοῦ κεκοσμημένον, ὡς οἱ ἄλλοι τοί-
χοις καὶ θύραις καὶ θυρωροῖς.

Νῦν δ' αὐτὸ μόνον, κινηθέντες πρὸς φιλοσοφίαν, ὡς οἱ κακο- 34
στόμαχοι πρός τι τῶν βρωμάτων ὃ μετὰ μικρὸν σικχαίνειν
μέλλουσιν, εὐθὺς ἐπὶ τὸ σκῆπτρον, ἐπὶ τὴν βασιλείαν. Καθ-
εῖκε τὴν κόμην, ἀνείληφε τρίβωνα, γυμνὸν δεικνύει τὸν ὦμον,
μάχεται τοῖς ἀπαντῶσι· κἂν ἐν φαινόλῃ τινὰ ἴδῃ, μάχεται
αὐτῷ. Ἄνθρωπε, χειμάσκησον πρῶτον· ἰδοῦ σου τὴν ὁρμήν, 35
μὴ κακοστομάχου ἢ κισσώσης γυναικός ἐστιν. Ἀγνοεῖσθαι
μελέτησον πρῶτον τίς εἶ· σαυτῷ φιλοσόφησον ὀλίγον χρόνον.
Οὕτω καρπὸς γίνεται· κατορυγῆναι δεῖ ἐπί τινα χρόνον τὸ 36
σπέρμα, κρυφθῆναι, κατὰ μικρὸν αὐξηθῆναι, ἵνα τελεσφορή-
σῃ. Ἂν δὲ πρὸ τοῦ γόνυ φῦσαι τὸν στάχυν ἐξενέγκῃ, ἀτελές
ἐστιν, ἐκ κήπου Ἀδωνιακοῦ. Τοιοῦτον εἶ καὶ σὺ φυτάριον· 37
θᾶττον τοῦ δέοντος ἤνθηκας, ἀποκαύσει σε ὁ χειμών. Ἰδοὺ 38
τί λέγουσιν οἱ γεωργοὶ περὶ τῶν σπερμάτων, ὅταν πρὸ ὥρας
θερμασίαι γένωνται. Ἀγωνιῶσι μὴ ἐξυβρίσῃ τὰ σπέρματα, εἶτα
αὐτὰ πάγος εἰσβαλὼν ἐξελέγξῃ. Ὅρα καὶ σύ, ἄνθρωπε· ἐξύ- 39
βρικας, ἐπιπεπήδηκας δοξαρίῳ πρὸ ὥρας· δοκεῖς τις εἶναι·
μωρὸς παρὰ μωροῖς· ἀποπαγήσῃ, μᾶλλον δ' ἀποπέπηγας ἤδη
ἐν τῇ ῥίζῃ κάτω, τὰ δ' ἄνω σου μικρὸν ἔτι ἀνθεῖ, καὶ διὰ
τοῦτο δοκεῖς ἔτι ζῆν καὶ θάλλειν. Ἄφες ἡμᾶς γε κατὰ φύσιν 40

Digitized by Google

πεπανθῆναι. Τί ἡμᾶς ἀπασθύεις; τί βιάζῃ; οὔπω δυναμεθα ἐνεγκεῖν τὸν ἀέρα. Ἔασον τὴν ῥίζαν αὐξηθῆναι, εἶτα γόνυ λαβεῖν τὸ πρῶτον, εἶτα τὸ δεύτερον, εἶτα τὸ τρίτον· εἶθ' οὕτως
41 ὁ καρπὸς ἐκβιάσεται τὴν φύσιν, κἂν ἐγὼ μὴ θέλω. Τίς γὰρ ἐγκύμων γενόμενος καὶ πλήρης τηλικούτων δογμάτων, οὐχὶ αἰσθάνεταί τε τῆς αὐτοῦ παρασκευῆς, καὶ ἐπὶ τὰ κατάλληλα
42 ἔργα ὁρμᾷ; Ἀλλὰ ταῦρος μὲν οὐκ ἀγνοεῖ τὴν αὐτοῦ φύσιν καὶ παρασκευὴν, ὅταν ἐπιφανῇ τι θηρίον, οὐδ' ἀναμένει τὸν προ-
43 τρεψόμενον· οὐδὲ κύων, ὅταν ἴδῃ τι τῶν ἀγρίων ζώων. Ἐγὼ δ' ἂν ἴσχω τὴν ἀνδρὸς ἀγαθοῦ παρασκευὴν, ἐκδέξομαι ἵνα με σὺ παρασκευάσῃς ἐπὶ τὰ οἰκεῖα ἔργα; νῦν δ' οὔπω ἔχω, πίστευσόν μοι. Τί οὖν με πρὸ ὥρας ἀποξηρανθῆναι θέλεις, ὡς αὐτὸς ἐξηράνθης;

ΚΕΦΑΛΑΙΟΝ θ'.

Πρὸς τὸν εἰς Ἀναισχυντίαν μεταβληθέντα.

Ὅταν ἄλλον ἴδῃς ἄρχοντα, ἀντίθες, ὅτι σὺ ἔχεις τὸ μὴ δεῖσθαι ἀρχῆς· ὅταν ἄλλον πλουτοῦντα, ἰδοῦ τί ἀντὶ τούτου
2 ἔχεις. Εἰ μὲν γὰρ μηδὲν ἔχεις ἀντ' αὐτοῦ, ἄθλιος εἶ· εἰ δ' ἔχεις τὸ μὴ χρείαν ἔχειν πλούτου, γίνωσκε ὅτι πλεῖον τούτου
3 ἔχεις, καὶ πολλῷ πλείονος ἄξιον. Ἄλλος γυναῖκα εὔμορφον· σὺ, τὸ μὴ ἐπιθυμεῖν εὐμόρφου γυναικός. Μικρά σοι δοκεῖ ταῦτα; καὶ πόσου ἂν τιμήσαιντο οὗτοι αὐτοὶ οἱ πλουτοῦντες καὶ ἄρχοντες, καὶ μετ' εὐμόρφων διαιτώμενοι, δύνασθαι πλούτου καταφρονεῖν, καὶ ἀρχῶν, καὶ αὐτῶν τούτων τῶν γυναικῶν
4 ὧν ἐρῶσι, καὶ ὧν τυγχάνουσιν; Ἀγνοεῖς οἷόν τι ἐστὶ δίψος πυρέσσοντος; οὐδὲν ὅμοιον ἔχει τῷ τοῦ ὑγιαίνοντος. Ἐκεῖνος πιὼν ἀποπέπαυται· ὁ δὲ πρὸς ὀλίγον ἡσθεὶς, εἶτα ναυτιᾷ,

Digitized by Google

χολὴν αὐτὸ ποιεῖ ἀντὶ ὕδατος, ἐμεῖ, στροφοῦται, δψῇ σφοδρότερον. Τοιοῦτόν ἐστι μετ' ἐπιθυμίας πλουτεῖν, μετ' ἐπιθυμίας ἄρχειν, μετ' ἐπιθυμίας καλῇ συγκαθεύδειν· ζηλοτυπία πρόσεστι, φόβος τοῦ στερηθῆναι, αἰσχροὶ λόγοι, αἰσχρὰ ἐνθυμήματα, ἔργα ἀσχήμονα. 5

Καὶ τί, φησίν, ἀπολλύω; Ἄνθρωπε, ὑπῆρχες αἰδήμων, καὶ νῦν οὐκέτι εἶ· οὐδὲν ἀπολώλεκας; ἀντὶ Χρυσίππου καὶ Ζήνωνος, Ἀριστείδην ἀναγινώσκεις καὶ Εὐηνόν· οὐδὲν ἀπολώλεκας; ἀντὶ Σωκράτους καὶ Διογένους, τεθαύμακας τὸν πλείστας διαφθεῖραι καὶ ἀναπεῖσαι δυνάμενον. Καλὸς εἶναι θέλεις, καὶ πλάσσεις σεαυτὸν, μὴ ὤν· καὶ ἐσθῆτα ἐπιδεικνύειν θέλεις στιλπνὴν, ἵνα τὰς γυναῖκας ἐπιστρέφῃς· κἂν που μυραφίου ἐπιτύχῃς, μακάριος εἶναι δοκεῖς. Πρότερον δ' οὐδὲν ἐνεθυμοῦ τούτων τι· ἀλλὰ ποῦ εὐσχήμων λόγος, ἀνὴρ ἀξιόλογος, ἐνθύμημα γενναῖον. Τοιγαροῦν ἐκάθευδες ὡς ἀνὴρ, προῄεις ὡς ἀνὴρ, ἐσθῆτα ἐφόρεις ἀνδρικὴν, λόγους ἐλάλεις πρέποντας ἀνδρὶ ἀγαθῷ· εἶτά μοι λέγεις, οὐδὲν ἀπώλεσα; Οὕτως οὐδὲν ἄλλο, ἢ κέρμα, ἀπολλύουσιν ἄνθρωποι; αἰδὼς οὐκ ἀπόλλυται; εὐσχημοσύνη οὐκ ἀπόλλυται; ἢ οὐκ ἔστι ζημιωθῆναι τὸν ταῦτα ἀπολέσαντα; Σοὶ μὲν οὖν δοκεῖ τάχα τούτων οὐδὲν οὐκέτι εἶναι ζημία. Ἦν δέ ποτε χρόνος, ὅτε μόνην αὐτὴν ὑπελογίζου καὶ ζημίαν καὶ βλάβην, ὅτε ἠγωνίας μή τις ἐκσείσῃ σε τούτων τῶν λόγων καὶ ἔργων. 6 7 8 9 10

Ἰδοὺ, ἐκσέσεισαι ὑπ' ἄλλου μὲν οὐδενὸς, ὑπὸ σαυτοῦ δέ. Μαχέσθητι σαυτῷ, ἀφελοῦ σαυτὸν εἰς εὐσχημοσύνην, εἰς αἰδῶ, εἰς ἐλευθερίαν. Εἴ σοί τίς ποτε ἔλεγε περὶ ἐμοῦ ταῦτα, ὅτι μέ τις μοιχεύειν ἀναγκάζει, ὅτι ἐσθῆτα φορεῖν τοιαύτην, ὅτι μυρίζεσθαι· οὐκ ἂν ἀπελθὼν αὐτόχειρ ἐγένου τούτου τοῦ ἀνθρώπου, τοῦ οὕτω μοι παραχρωμένου; Νῦν οὖν οὐ θέλεις σαυτῷ βοηθῆσαι; καὶ πόσῳ ῥᾴων αὕτη ἡ βοήθεια; οὐκ 11 12 13

Digitized by Google

ἀποκτεῖναί τινα δεῖ, οὐ δῆσαι, οὐχ ὑβρίσαι, οὐκ εἰς ἀγορὰν προελθεῖν· ἀλλ' αὐτὸν αὑτῷ λαλῆσαι, τῷ μάλιστα πεισθησο-
14 μένῳ, πρὸς ὃν οὐδείς ἐατί σου πιθανώτερος. Καὶ πρῶτον μέν, κατάγνωθι τῶν γινομένων· εἶτα καταγναὺς, μὴ ἀπογνῷς σεαυτοῦ· μηδὲ πάθῃς τὸ τῶν ἀγεννῶν ἀνθρώπων, οἳ ἅπαξ ἐνδόντες, εἰσάπαν ἐπέδωκαν ἑαυτοὺς, καὶ ὡς ὑπὸ ῥεύματος παρεσύ-
15 ρησαν. Ἀλλὰ μάθε τὸ τῶν παιδοτριβῶν. Πέπτωκε τὸ παιδίον; Ἀναστὰς, φησὶ, πάλιν πάλαιε, μέχρις ἂν ἰσχυροποιηθῇς.
16 Τοιοῦτόν τι καὶ σὺ πάθε· ἴσθι γὰρ, ὅτι οὐδὲν ἐστιν εὐαγωγότερον ἀνθρωπίνης ψυχῆς. Θελῆσαι δεῖ· καὶ γέγονε, διώρθωται· ὡς πάλιν ἀπονυσάξαι, καὶ ἀπόλωλεν. Ἔσωθεν γάρ ἐστι
17 καὶ ἀπώλεια καὶ βοήθεια. Εἶτα τί μοι ἀγαθόν; Καὶ τί ζητεῖς τούτου μεῖζον; ἐξ ἀναισχύντου αἰδήμων ἔσῃ, ἐξ ἀκόσμου
18 κόσμιος, ἐξ ἀπίστου πιστὸς, ἐξ ἀκολάστου σώφρων. Εἴ τινα ἄλλα τούτων μείζονα ζητεῖς, ποίει ἃ ποιεῖς· οὐδὲ Θεῶν σέ τις ἔτι σῶσαι δύναται.

ΚΕΦΑΛΑΙΟΝ ιʹ.

Τίνων δεῖ Καταφρονεῖν, καὶ πρὸς τίνα Διαφέρεσθαι.

Ἀπορία πᾶσι τοῖς ἀνθρώποις περὶ τὰ ἐκτὸς γίνεται, ἀμηχανία περὶ τὰ ἐκτός. Τί ποιήσω; πῶς γένηται; πῶς ἀποβῇ;
2 μὴ τόδε ἀπαντήσῃ, μὴ τόδε. Πᾶσαι αὗται αἱ φωναὶ περὶ τὰ ἀπροαίρετα στρεφομένων εἰσί. Τίς γὰρ λέγει· Πῶς μὴ συγκατατιθῶμαι τῷ ψεύδει; πῶς μὴ ἀπονεύσω ἀπὸ τοῦ ἀληθοῦς;
3 Ἐὰν οὕτως ᾖ εὐφυὴς ὥστε περὶ τούτων ἀγωνιᾷν, ὑπομνήσω αὐτόν· ὅτι, Τί ἀγωνιᾷς; ἐπί σοί ἐστιν· ἀσφαλὴς ἴσθι· μὴ πρὸ τοῦ ἐπάγειν τὸν φυσικὸν κανόνα προπήδα ἐν τῷ συγκατα-
4 τίθεσθαι. Πάλιν ἂν περὶ ὀρέξεως ἀγωνιᾷ, μὴ ἀτελὴς γένηται καὶ

Digitized by Google

ἀποτευκτική· περὶ ἐκκλίσεως, μὴ περιπτωτική· πρῶτον μὲν 5
αὐτὸν καταφιλήσω, ὅτι ἀφεὶς περὶ ἃ οἱ ἄλλοι ἐπτόηνται, καὶ
τοὺς ἐκείνων φόβους, περὶ τῶν ἰδίων ἔργων πεφρόντικεν, ὅπου
αὐτός ἐστιν. Εἶτα ἐρῶ αὐτῷ, εἰ μὴ θέλεις ὀρέγεσθαι ἀποτευ- 6
κτικῶς, μηδ' ἐκκλίνειν περιπτωτικῶς, μηδενὸς ὀρέγου τῶν ἀλ-
λοτρίων ἔτι, μηδὲν ἔκκλινε τῶν μὴ ἐπὶ σοί. Εἰ δὲ μή, καὶ ἀπο-
τυχεῖν καὶ περιπεσεῖν ἀνάγκη. Ποία ἐνθάδ' ἀπορία; ποῦ τόπον 7
ἔχει [τὸ], Πῶς γένηται; καὶ, πῶς ἀποβῇ; καὶ, μὴ ἀπαντήσῃ
τόδε ἢ τόδε.

Νῦν οὐχὶ τὸ ἐκβησόμενον ἀπροαίρετον; Ναί. Ἡ δ' οὐσία 8
τοῦ ἀγαθοῦ καὶ κακοῦ ἐστιν ἐν τοῖς προαιρετικοῖς; Ναί. Ἔξ-
εστιν οὖν σοι παντὶ τῷ ἀποβάντι χρῆσθαι κατὰ φύσιν; μή τίς σε
κωλῦσαι δύναται; Οὐδείς. Μηκέτι οὖν μοι λέγε, πῶς γένηται; 9
ὅπως γὰρ ἂν γένηται, σὺ αὐτὸ θήσεις καλῶς, καὶ ἔσται σοι τὸ
ἀποβὰν εὐτύχημα. Ἢ τίς ἂν ἦν ὁ Ἡρακλῆς, λέγων, Πῶς μοι 10
μὴ μέγας λέων ἐπιφανῇ, μηδὲ μέγας σῦς, μηδὲ θηριώδεις
ἄνθρωποι; Καί τί σοι μέλει; ἂν μέγας σῦς ἐπιφανῇ, μεῖζον
ἆθλον ἀθλήσεις· ἂν κακοὶ ἄνθρωποι, κακῶν ἀπαλλάξεις τὴν
οἰκουμένην. Ἂν οὖν οὕτως ἀποθάνω; Ἀγαθὸς ὢν ἀποθανῇ, 11
γενναίαν πρᾶξιν ἐπιτελῶν. Ἐπεὶ γὰρ δεῖ πάντως ἀποθανεῖν,
ἀνάγκη τί ποτε ποιοῦντα εὑρεθῆναι, ἢ γεωργοῦντα, ἢ σκά-
πτοντα, ἢ ἐμπορευόμενον, ἢ ὑπατεύοντα, ἢ ἀπεπτοῦντα, ἢ
διαῤῥοϊζόμενον. Τί οὖν θέλεις ποιῶν εὑρεθῆναι ὑπὸ τοῦ θανάτου; 12
Ἐγὼ μὲν, τὸ ἐμὸν μέρος, ἔργον τί ποτ' ἀνθρωπικὸν, εὐεργετι-
κὸν, κοινωφελές, γενναῖον. Εἰ δὲ μὴ δύναμαι τὰ τηλικαῦτα 13
ποιῶν εὑρεθῆναι, ἐκεῖνό γε, τὸ ἀκώλυτον, τὸ διδόμενον,
ἐμαυτὸν ἐπανορθῶν, ἐξεργαζόμενος τὴν δύναμιν τὴν χρηστικὴν
τῶν φαντασιῶν, ἀπάθειαν ἐκπονῶν, ταῖς σχέσεσι τὰ ἴδια
ἀποδιδόναι· εἰ οὕτως εὐτυχής εἰμι, καὶ τοῦ τρίτου τόπου
παραπτόμενος, τοῦ περὶ τὴν τῶν κριμάτων ἀσφάλειαν.

Digitized by Google

14 Ἂν μετὰ τούτων με ὁ θάνατος καταλάβῃ, ἀρκεῖ μοι ἂν δύνωμαι πρὸς τὸν Θεὸν ἀνατεῖναι τὰς χεῖρας, καὶ εἰπεῖν, ὅτι, Ἃς ἔλαβον ἀφορμὰς παρὰ σοῦ πρὸς τὸ αἰσθέσθαι σου τῆς διοικήσεως, καὶ ἀκολουθῆσαι αὐτῇ, τούτων οὐκ ἠμέλησα· οὐ
15 κατήσχυνά σε τὸ ἐμὸν μέρος. Ἰδοὺ πῶς κέχρημαι ταῖς αἰσθήσεσιν, ἰδοὺ πῶς ταῖς προλήψεσι. Μή ποτέ σε ἐμεμψάμην; μή τι τῶν γινομένων τινι δυσηρέστησα, ἢ ἄλλως γίνεσθαι ἠθέλησα;
16 μή τι τὰς σχέσεις παρέβην; Διοτι με σὺ ἐγέννησας, χάριν ἔχω ὧν ἔδωκας· ἐφ' ὅσον ἐχρησάμην τοῖς σοῖς, ἀρκεῖ μοι. Πάλιν αὐτὰ ἀπόλαβε, καὶ κατάταξον εἰς ἣν ἂν θέλῃς χώραν.
17 Σὰ γὰρ ἦν πάντα, σύ μοι αὐτὰ δέδωκας. Οὐκ ἀρκεῖ οὕτως ἔχοντα ἐξελθεῖν; καὶ τίς βίων κρείττων καὶ εὐσχημονέστερος τοῦ οὕτως ἔχοντος; ποία δὲ καταστροφὴ εὐδαιμονεστέρα;
18 Ἵνα δὲ ταῦτα γένηται, οὐ μικρὰ δέξασθαι, οὐδὲ μικρῶν ἐστιν ἀποτυχεῖν. Οὐ δύνασαι καὶ ὑπατεῦσαι θέλειν, καὶ ταῦτα· καὶ ἀγροὺς ἔχειν ἐσπουδακέναι, καὶ ταῦτα· καὶ τῶν δουλαρίων
19 φροντίζειν, καὶ σεαυτοῦ. Ἀλλ' ἄν τι τῶν ἀλλοτρίων θέλῃς, τὰ σὰ ἀπώλετο. Αὕτη τοῦ πράγματος ἡ φύσις· προῖκα οὐδὲν
20 γίνεται. Καὶ τί θαυμαστόν; Ἂν ὑπατεῦσαι θέλῃς, ἀγρυπνῆσαί σε δεῖ, περιδραμεῖν, τὰς χεῖρας καταφιλῆσαι, πρὸς ταῖς ἀλλοτρίαις θύραις κατασαπῆναι, πολλὰ μὲν εἰπεῖν, πάλλα δὲ πρᾶξαι ἀνελεύθερα, δῶρα πέμψαι πολλοῖς, ξένια καθ' ἡμέραν
21 ἐνίοις. Καὶ τί τὸ γινόμενόν ἐστι; δώδεκα δεσμὰ ῥάβδων, καὶ τρὶς ἢ τετράκις ἐπὶ βῆμα καθίσαι, καὶ Κιρκήσια δοῦναι, καὶ σπυρίσι δειπνίσαι. Ἢ δειξάτω μοί τις, τί ἐστι παρὰ ταῦτα.
22 Ὑπὲρ ἀπαθείας οὖν, ὑπὲρ ἀταραξίας, ὑπὲρ τοῦ καθεύδοντα καθεύδειν, ἐγρηγορότα ἐγρηγορέναι, μὴ φοβεῖσθαι μηδὲν, μὴ ἀγωνιᾷν ὑπὲρ μηδενὸς, οὐδὲν ἀναλῶσαι θέλεις, οὐδὲν πονῆσαι;
23 Ἀλλ' ἄν τι ἀπόληταί σου περὶ ταῦτα γινομένου, ἢ ἀναλωθῇ κακῶς, ἢ ἄλλος τύχῃ ὧν ἔδει σε τυχεῖν, εὐθὺς ὀηχθήσῃ ἐπὶ

Digitized by Google

τῷ γενομένῳ; Οὐκ ἀντιθήσεις τι ἀντὶ τίνος λαμβάνεις, πόσον 24
ἀντὶ πόσου; Ἀλλὰ προῖκα θέλεις τὰ τηλικαῦτα λαβεῖν; Καὶ
πῶς δύνασαι; Ἔργον ἔργῳ οὐ κοινωνεῖ. Οὐ δύνασαι καὶ τὰ 25
ἐκτὸς ἔχειν ἐπιμελείας τετυχηκότα, καὶ τὸ σαυτοῦ ἡγεμονικόν.
Εἰ δ' ἐκεῖνα θέλεις, τοῦτο ἄφες. Εἰ δὲ μή, οὔτε τοῦτο ἕξεις,
οὔτ' ἐκεῖνα, περισπώμενος ἐπ' ἀμφότερα. Εἰ τοῦτο θέλεις,
ἐκεῖνά σε ἀφεῖναι δεῖ. Ἐκχεθήσεται τὸ ἔλαιον, ἀπολεῖται τὰ 26
σκευάρια· ἀλλ' ἐγὼ ἀπαθὴς ἔσομαι. Ἐμπρησμὸς ἔσται, ἐμοῦ
μὴ παρόντος, καὶ ἀπολεῖται τὰ βιβλία· ἀλλ' ἐγὼ χρήσομαι
ταῖς φαντασίαις κατὰ φύσιν. Ἀλλ' οὐχ ἕξω φαγεῖν. Εἰ οὕτω 27
τάλας εἰμί, λιμὴν τὸ ἀποθανεῖν. Οὗτος δ' ἐστὶν ὁ λιμὴν πάντων,
ὁ θάνατος· αὕτη ἡ καταφυγή. Διὰ τοῦτο οὐδὲν τῶν ἐν τῷ βίῳ
χαλεπόν ἐστιν. Ὅταν θέλῃς, ἐξῆλθες, καὶ οὐ καπνίζῃ. Τί οὖν 28
ἀγωνιᾷς; τί ἀγρυπνεῖς; οὐχὶ δὲ εὐθὺς, ἀναλογισάμενος ποῦ
σου τὸ ἀγαθόν ἐστι καὶ τὸ κακὸν, λέγεις, ὅτι, Ἐπ' ἐμοὶ ἀμφό-
τερα· οὔτε τούτου τις ἀφελέσθαι με δύναται, οὔτ' ἐκείνῳ
ἄκοντα περιβαλεῖν; Τί οὖν οὐ ῥέγκω βαλών; τὰ γὰρ ἐμὰ 29
ἀσφαλῶς ἔχει· τὰ ἀλλότρια, ὄψεται αὐτὰ ὃς ἂν φέρῃ, ὡς ἂν
διδῶται παρὰ τοῦ ἔχοντος ἐξουσίαν. Τίς εἰμι ὁ θέλων αὐτὰ 30
οὕτως ἔχειν ἢ οὕτως; μὴ γάρ μοι δέδοται ἐκλογὴ αὐτῶν; μὴ
γὰρ ἐμέ τις αὐτῶν διοικητὴν πεποίηκεν; ἀρκεῖ μοι ὧν ἔχω
ἐξουσίαν. Ταῦτά με δεῖ κάλλιστα παρασκευάσαι· τὰ δ' ἄλλα,
ὡς ἂν θέλῃ ὁ ἐκείνων κύριος.

Ταῦτά τις ἔχων πρὸ ὀφθαλμῶν, ἀγρυπνεῖ, καὶ στρέφεται ἔνθα 31
καὶ ἔνθα; τί θέλων; ἢ τί ποθῶν; Πάτροκλον, ἢ Ἀντίλοχον, ἢ
Μενέλαον; Πότε γὰρ ἡγήσατο ἀθάνατόν τινα τῶν φίλων; πότε
γὰρ οὐκ εἶχε πρὸ ὀφθαλμῶν, ὅτι αὔριον ἢ εἰς τὴν τρίτην δεῖ
ἢ αὐτὸν ἀποθανεῖν ἢ ἐκεῖνον; Ναί, φησίν· ἀλλ' ὤμην, ὅτι 32
ἐκεῖνος ἐπιδιώσεταί μοι, καὶ αὐξήσει μου τὸν υἱόν. Μωρὸς γὰρ
ἦς, καὶ τὰ ἄδηλα [δῆλα] ὤου. Τί οὖν οὐκ ἐγκαλεῖς σεαυτῷ, ἀλλὰ

Digitized by Google

κλαίων κάθησαι ὡς τὰ κοράσια; Ἀλλ' ἐκεῖνός μοι φαγεῖν
33 παρετίθει. Ἔζη γάρ, μωρέ· νῦν δ' οὐ δύναται. Ἀλλ' Αὐτο-
μέδων σοι παραθήσει· ἂν δὲ καὶ Αὐτομέδων ἀποθάνῃ, ἄλλον
34 εὑρήσεις. Ἂν δ' ἡ χύτρα, ἐν ᾗ ἥψετό σοι τὸ κρέας, καταγῇ,
λιμῷ σε δεῖ ἀποθανεῖν, ὅτι μὴ ἔχεις τὴν συνήθη χύτραν; οὐ
πέμπεις, καὶ ἄλλην καινὴν ἀγοράζεις;

35 — Οὐ μὲν γάρ τι,
φησί,
κακώτερον ἄλλο πάθοιμι.

Τοῦτο γάρ σοι κακόν ἐστιν; εἶτ' ἀφεὶς τοῦτο ἐξελεῖν, αἰτιᾷ
τὴν μητέρα, ὅτι σοι οὐ προεῖπεν, ἵν' ὀδυνώμενος ἐξ ἐκείνου
36 διατελῇς; Τί δοκεῖτε; μὴ ἐπίτηδες ταῦτα συνθεῖναι Ὅμηρον,
ἵν' ἴδωμεν, ὅτι οἱ εὐγενέστατοι, οἱ ἰσχυρότατοι, οἱ πλουσιώτα-
τοι, οἱ εὐμορφότατοι, ὅταν οἷα δεῖ δόγματα μὴ ἔχωσιν, οὐδὲν
κωλύονται ἀθλιώτατοι εἶναι καὶ δυστυχέστατοι;

ΚΕΦΑΛΑΙΟΝ ια'.

Περὶ Καθαριότητος.

Ἀμφισβητοῦσί τινες, εἰ ἐν τῇ φύσει τοῦ ἀνθρώπου περι-
έχεται τὸ κοινωνικόν· ὅμως δ' αὐτοί οὗτοι οὐκ ἄν μοι δοκοῦσιν
ἀμφισβητῆσαι, ὅτι τό γε καθάριον πάντως περιέχεται, καί, εἴ
2 τινι ἄλλῳ, καὶ τούτῳ τῶν ζώων χωρίζεται. Ὅταν οὖν ἄλλο τι
ζῶον ἴδωμεν ἀποκαθαῖρον ἑαυτό, ἐπιλέγειν εἰώθαμεν θαυμά-
ζοντες, ὅτι ὡς ἄνθρωπος· καὶ πάλιν, ἄν τις ἐγκαλῇ τινι ζώῳ,
εὐθὺς εἰώθαμεν ὥσπερ ἀπολογούμενοι λέγειν, ὅτι οὐ θήπου
3 ἄνθρωπός ἐστιν. Οὕτως ἐξαίρετόν τι περὶ τὸν ἄνθρωπον εἶναι
οἰόμεθα, ἀπὸ τῶν Θεῶν αὐτὸ πρῶτον λαμβάνοντες. Ἐπεὶ γὰρ
ἐκεῖνοι φύσει καθαροὶ καὶ ἀκήρατοι, ἐφ' ὅσον ἠγγίκασιν αὐτοῖς

Digitized by Google

τί ἄνθρωποι κατὰ τὸν λόγον, ἐπὶ τοσοῦτον καὶ τοῦ καθαροῦ καὶ τοῦ καθαρίου εἰσὶν ἀνθεκτικοί. Ἐπεὶ δ' ἀμήχανον τὴν οὐσίαν 4
αὐτῶν παντάπασιν εἶναι καθαράν, ἐκ τοιαύτης ὕλης κεκραμένην·
ὁ λόγος παραληφθεὶς εἰς τὸ ἐνδεχόμενον ταύτην καθάριον
ἀποτελεῖν πειρᾶται. Πρώτη οὖν καὶ ἀνωτάτω καθαρότης, ἡ 5
ἐν ψυχῇ γινομένη· καὶ ὁμοίως ἀκαθαρσία. Ψυχῆς δ' ὡς σώμα-
τος μὲν ἀκαθαρσίαν οὐκ ἂν εὕροις· ὡς ψυχῆς δὲ, τί ἂν ἄλλο
εὕροις ἢ τὸ παρέχον αὐτὴν ῥυπαρὰν πρὸς τὰ ἔργα τὰ αὐτῆς;
Ἔργα δὲ ψυχῆς, ὁρμᾶν, ἀφορμᾶν, ὀρέγεσθαι, ἐκκλίνειν, παρα- 6
σκευάζεσθαι, ἐπιβάλλεσθαι, συγκατατίθεσθαι. Τί ποτ' οὖν ἐστι 7
τὸ ἐν τούτοις τοῖς ἔργοις ῥυπαρὰν παρέχον αὐτὴν καὶ ἀκάθαρτον;
Οὐδὲν ἄλλο, ἢ τὰ μοχθηρὰ κρίματα αὐτῆς. Ὥστε ψυχῆς μὲν 8
ἀκαθαρσία, δόγματα πονηρά· κάθαρσις δ', ἐμποίησις οἵων δεῖ
δογμάτων. Καθαρὰ δ', ἡ ἔχουσα οἷα δεῖ δόγματα· μόνη γὰρ
αὕτη ἐν τοῖς ἔργοις τοῖς αὐτῆς ἀσύγχυτος καὶ ἀμόλυντος.

Δεῖ δέ τι ἐοικὸς τούτῳ καὶ ἐπὶ σώματος φιλοτεχνεῖν, κατὰ 9
τὸ ἐνδεχόμενον. Ἀμήχανον ἦν, μύξας μὴ ῥεῖν, τοῦ ἀνθρώπου
τοιοῦτον ἔχοντος τὸ σύγκραμα. Διὰ τοῦτο χεῖρας ἐποίησεν ἡ
φύσις, καὶ αὐτὰς τὰς ῥῖνας, ὡς σωλῆνας, πρὸς τὸ ἐκδιδόναι τὰ
ὑγρά. Ἂν οὖν ἀναῤῥοφῇ τις αὐτὰς, λέγω ὅτι οὐ ποιεῖ ἔργον
ἀνθρωπικόν. Ἀμήχανον ἦν, μὴ πηλοῦσθαι τοὺς πόδας, μηδὲ 10
ὅλως μολύνεσθαι, διὰ τοιούτων τινῶν πορευομένους. Διὰ τοῦτο
ὕδωρ παρεσκεύασε, διὰ τοῦτο χεῖρας. Ἀμήχανον ἦν, ἀπὸ τοῦ 11
τρώγειν μὴ ῥυπαρόν τι προσμένειν τοῖς ὀδοῦσι. Διὰ τοῦτο,
πλῦνον, φησὶ, τοὺς ὀδόντας. Διὰ τί; Ἵν' ἄνθρωπος ᾖς, καὶ μὴ
θηρίον, μηδὲ συῒδιον. Ἀμήχανον, μὴ ἀπὸ τοῦ ἱδρῶτος καὶ τῆς 12
κατὰ τὴν ἐσθῆτα συνοχῆς ὑπολείπεσθαί τι περὶ τὸ σῶμα ῥυ-
παρὸν καὶ δεόμενον ἀποκαθάρσεως. Διὰ τοῦτο ὕδωρ, ἔλαιον,
χεῖρες, ὀθόνιον, ξύστρα, νίτρον, ἔσθ' ὅτε ἡ ἄλλη πᾶσα παρα-
σκευὴ, πρὸς τὸ καθῆραι αὐτό. Οὔ· ἀλλ' ὁ μὲν χαλκεὺς ἐξιώσει 13

Digitized by Google

τὸ σιδήριον, καὶ ὄργανα πρὸς τοῦτο ἕξει κατεσκευασμένα· καὶ τὸ πινάκιον αὐτὸς σὺ πλύνεις ὅταν μέλλῃς ἐσθίειν, ἐὰν μὴ ᾖς παντελῶς ἀκάθαρτος καὶ ῥυπαρός· τὸ σωμάτιον δ' οὐ πλυνεῖς,
14 οὐδὲ καθαρὸν ποιήσεις; Διά τί, φησί. Πάλιν ἐρῶ σοι, πρῶτον μέν, ἵνα τὰ ἀνθρώπου ποιῇς· εἶτα, ἵνα μὴ ἀνιᾷς τοὺς ἐντυγ-
15 χάνοντας. Τοιοῦτόν τι καὶ ἐνθάδε ποιεῖς, καὶ οὐκ αἰσθάνῃ. Σαυτὸν ἄξιον ἡγῇ τοῦ ὄζειν· ἔστω, ἴσθι ἄξιος. Μή τι καὶ τοὺς παρακαθίζοντας; μή τι καὶ τοὺς συγκατακλινομένους; μή
16 τι καὶ τοὺς καταφιλοῦντας; Ἢ ἄπελθ' εἰς ἐρημίαν, ὅπου ποτὲ ἧς ἄξιος· ἢ καὶ μόνος δίαγε, κατόζων σαυτοῦ. Δίκαιον γάρ ἐστι, τῆς σῆς ἀκαθαρσίας σὲ μόνον ἀπολαύειν. Ἐν πόλει δ' ὄντα, οὕτως ἀπερισκέπτως καὶ ἀγνωμόνως ἀναστρέφεσθαι, τίνος
17 σοι φαίνεται; Εἰ δ' ἵππον σοι πεπιστεύκει ἡ φύσις, περιεώρας αὐτὸν ἀτημέλητον; Καὶ νῦν, οἷον σου τὸ σῶμα ὡς ἵππον ἐγκεχειρίσθαι· πλῦνον αὐτό, ἀπόσμηχον, ποίησον ἵνα μηδεὶς
18 ἀποστρέφηται, μηδεὶς ἐκτρέπηται. Τίς δ' οὐκ ἐκτρέπεται ῥυπαρὸν ἄνθρωπον, ὄζοντα, κακόχρουν, μᾶλλον ἢ τὸν κεκοπρωμένον; ἐκείνῃ ἡ ὀσμὴ ἔξωθέν ἐστιν ἐπίθετος· ἡ δ' ἐξ ἀθεραπευσίας ἔσωθεν, καὶ οἱονεὶ διασεσηπότος.

19 Ἀλλὰ Σωκράτης ὀλιγάκις ἐλούετο. Ἀλλὰ ἔστιλβεν αὐτοῦ τὸ σῶμα· ἀλλ' ἦν οὕτως ἐπίχαρι καὶ ἡδύ, ὥστ' ἤρων αὐτοῦ οἱ ὡραιότατοι καὶ οἱ εὐγενέστατοι, καὶ ἐπεθύμουν ἐκείνῳ παρακατακλίνεσθαι μᾶλλον ἢ τοῖς εὐμορφοτάτοις. Ἐξῆν ἐκείνῳ μήτε
20 λούεσθαι, μήτε πλύνεσθαι, εἰ ἤθελε· καίτοι καὶ τὸ ὀλιγάκις ἰσχὺν εἶχε. Κἂν θερμῷ μὴ θέλῃς, ψυχρῷ. Ἀλλὰ λέγει Ἀριστοφάνης,

Τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγω.

Λέγει γὰρ καὶ ἀεροβατεῖν αὐτὸν, καὶ ἐκ τῆς παλαίστρας κλέ-
21 πτειν τὰ ἱμάτια. Ἐπεί τοι πάντες οἱ γεγραφότες περὶ Σωκράτους

Digitized by Google

πάντα τἀναντία αὐτῷ προσμαρτυροῦσιν· ὅτι ἡδὺς οὐ μόνον ἀκοῦσαι, ἀλλὰ καὶ ἰδεῖν ἦν. Παλιν περὶ Διογένους ταὐτὰ γράφουσι. Δεῖ γὰρ μηδὲ κατὰ τὴν ἀπὸ τοῦ σώματος ἔμφασιν 22
ἀπὸ φιλοσοφίας ἀποσοβεῖν τοὺς πολλούς· ἀλλ', ὥσπερ τὰ ἄλλα εὔθυμον καὶ ἀτάραχον ἐπιδεικνύειν αὐτὸν, οὕτω καὶ ἀπὸ τοῦ σώματος. Ἴδετε, ὦ ἄνθρωποι, ὅτι οὐδὲν ἔχω, ὅτι 23
οὐδενὸς δέομαι· ἴδετε, πῶς ἄοικος ὢν, καὶ ἄπολις, καὶ φυγὰς, ἂν οὕτω τύχῃ, καὶ ἀνέστιος, πάντων τῶν εὐπατριδῶν καὶ πλουσίων ἀταραχώτερον διάγω, καὶ εὐρυθμότερον. Ἀλλὰ καὶ τὸ σωμάτιον ὁρᾶτε, ὅτι οὐ κακοῦται ὑπὸ τῆς αὐστηρᾶς διαίτης. Ἂν δέ μοι ταῦτα λέγῃ τις, ἀνθρώπου σχῆμα καταδίκου ἔχων 24
καὶ πρόσωπον, τίς με πείσει Θεῶν προσελθεῖν φιλοσόφῳ, ὃς γε τοιούτους ποιεῖ; Μὴ γένοιτο· οὐδ', εἰ σοφὸς ἔμελλον εἶναι, ἤθελον.

Ἐγὼ μέν, νὴ τοὺς Θεοὺς, τὸν νέον τὸν πρώτως κινούμενον 25
θέλω μᾶλλον ἐλθεῖν πρός με πεπλασμένον, ἢ τὴν κόμην κατεφθαρκότα καὶ ῥυπαρόν. Βλέπεται γάρ τις ἐν ἐκείνῳ τοῦ καλοῦ φαντασία, ἔφεσις δὲ τοῦ εὐσχήμονος. Ὅπου δ' αὐτὸ εἶναι φαντάζεται, ἐκεῖ καὶ φιλοτεχνεῖ. Λοιπὸν ὑποθεῖξαι μόνον 26
αὐτῷ δεῖ, καὶ εἰπεῖν· Νεανίσκε, τὸ καλὸν ζητεῖς, καὶ εὖ ποιεῖς. Ἴσθι οὖν, ὅτι ἐκεῖ φύεται, ὅπου τὸν λόγον ἔχεις· ἐκεῖ αὐτὸ ζήτει, ὅπου τὰς ὁρμὰς καὶ τὰς ἀφορμὰς, ὅπου τὰς ὀρέξεις, τὰς ἐκκλίσεις. Τοῦτο γὰρ ἔχεις ἐν σεαυτῷ ἐξαίρετον, τὸ σωμάτιον 27
δὲ φύσει πηλός ἐστι. Τί πονεῖς εἰκῇ περὶ αὐτό; εἰ μηδὲν ἕτερον, τῷ χρόνῳ γνώσῃ ὅτι οὐδὲν ἐστιν. Ἂν δέ μοι ἔλθῃ κεκοπρωμένος, 28
ῥυπαρὸς, μύστακα ἔχων μέχρι τῶν γονάτων, τί αὐτῷ εἰπεῖν ἔχω; ἀπὸ ποίας αὐτὸν ὁμοιότητος ἐπαγαγεῖν; Περί τί γὰρ 29
ἐσπούδακεν ὅμοιον τῷ καλῷ, ἵν' αὐτὸν μεταθῶ, καὶ εἴπω, Οὐκ ἔστιν ἐνθάδε τὸ καλὸν, ἀλλ' ἐνθάδε; Θέλεις αὐτῷ λέγω, Οὐκ ἔστιν ἐν τῷ κεκοπρῶσθαι τὸ καλὸν, ἀλλ' ἐν τῷ λόγῳ;

Digitized by Google

Ἐφίεται γὰρ τοῦ καλοῦ; ἔμφασιν γάρ τινα αὐτοῦ ἔχει;
30 Ἄπελθε, καὶ χοίρῳ διαλέγου, ἵν' ἐν βορβόρῳ μὴ κυλίηται. Διὰ
τοῦτο καὶ Πολέμωνος ἤψαντο οἱ Ξενοκράτους λόγοι, ὡς
φιλοκάλου νεανίσκου· εἰσῆλθε γὰρ ἔχων ἐναύσματα τῆς περὶ
31 τὸ καλὸν σπουδῆς, ἀλλαχοῦ δ' αὐτὸ ζητῶν. Ἐπεί τοι οὐδὲ τὰ
ζῶα τὰ ἀνθρώποις σύντροφα ῥυπαρὰ ἐποίησεν ἡ φύσις. Μή τι
ἵππος κυλίεται ἐν βορβόρῳ; μή τι κύων γενναῖος; ἀλλ' ὁ ὗς,
καὶ τὰ σαπρὰ χηνίδια, καὶ σκώληκες, καὶ ἀράχναι, τὰ μακρο-
32 τάτῳ τῆς ἀνθρωπίνης συναναστροφῆς ἀπεληλαμένα. Σὺ οὖν,
ἄνθρωπος ὢν, οὐδὲ ζῶον εἶναι θέλεις τῶν ἀνθρώποις συν-
τρόφων, ἀλλὰ σκώληξ μᾶλλον, ἢ ἀράχνιον; οὐ λούσῃ ποῦ ποτε,
ὡς θέλεις; οὐκ ἀποπλυνεῖς σεαυτόν; οὐχ ἥξεις καθαρὸς,
ἵνα σοι χαίρωσιν οἱ συνόντες; ἀλλὰ καὶ εἰς τὰ ἱερὰ ἡμῶν συν-
έρχῃ τοιοῦτος, ὅπου πτῦσαι οὐ νενόμισται οὐδ' ἀπομύξασθαι,
ὅλος ὢν πτύσμα καὶ μύξα;
33 Τί οὖν; καλλωπίζεσθαί τις ἀξιοῖ; Μὴ γένοιτο· εἰ μὴ ἐκεῖνο
δ πεφύκαμεν, τὸν λόγον, τὰ δόγματα, τὰς ἐνεργείας· τὸ δὲ
σῶμα, μέχρι τοῦ καθαρίου, μέχρι τοῦ μὴ προσκόπτειν.
34 Ἀλλ' ἂν ἀκούσῃς ὅτι οὐ δεῖ φορεῖν κάκκινα, ἀπελθὼν κόπρω-
σόν σου τὸν τρίβωνα, ἢ κατάῤῥηξον. Ἀλλὰ πόθεν ἔχω καλὸν
35 τρίβωνα; Ἄνθρωπε, ὕδωρ ἔχεις, πλῦνον αὐτόν. Ἰδοὺ νέος
ἀξιέραστος, ἰδοὺ πρεσβύτης ἄξιος τοῦ ἐρᾶν καὶ ἀντεραᾶσθαι, ᾧ
τις υἱὸν αὐτοῦ παραδῷ μαθησόμενον, ᾧ θυγατέρες, ᾧ νέοι
προσελεύσονται, ἂν οὕτω τύχῃ, ἵνα ἐν κοπρῶνι λέγῃ τὰς
36 σχολάς. Μὴ γένοιτο. Πᾶσα ἐκτροπὴ ἀπό τινος ἀνθρωπικοῦ
γίνεται· αὕτη δ' ἐγγύς ἐστι τοῦ μὴ ἀνθρωπικὴ εἶναι.

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ ιϐ'.

Περὶ Προσοχῆς.

Ὅταν ἀφῇς σὺ πρὸς ὀλίγον τὴν προσοχήν, μὴ τοῦτο φαντάζου, ὅτι, ὁπόταν θέλῃς, ἀναλήψῃ αὐτήν· ἀλλ' ἐκεῖνο πρόχειρον ἔστω σοι, ὅτι παρὰ τὸ σήμερον ἁμαρτηθὲν εἰς τἆλλα χεῖρον ἀνάγκη σοι τὰ πράγματα ἔχειν. Πρῶτον μὲν γὰρ τὸ 2
πάντων χαλεπώτατον, ἔθος τοῦ μὴ προσέχειν ἐγγίνεται· εἶτα ἔθος τοῦ ἀναβάλλεσθαι τὴν προσοχήν, αἰεὶ δ' εἰς ἄλλον καὶ ἄλλον χρόνον ἐξωθεῖν ὑπερτιθέμενον τὸ εὐροεῖν, τὸ εὐσχημονεῖν, τὸ κατὰ φύσιν ἔχειν καὶ διεξάγειν. Εἰ μὲν οὖν λυσι- 3
τελὴς ἡ ὑπέρθεσίς ἐστιν, ἡ παντελὴς ἀπόστασις αὐτῆς ἔσται λυσιτελεστέρα. Εἰ δ' οὐ λυσιτελεῖ, τί οὐχὶ διηνεκῆ τὴν προσοχὴν φυλάσσεις; Σήμερον παῖξαι θέλω. Τί οὖν; Οὐ 4
δεῖ προσέχοντα; Ἆσαι. Τί οὖν κωλύει προσέχοντα; Μὴ γὰρ ἐξαιρεῖταί τι μέρος τοῦ βίου, ἐφ' ᾧ οὐ διαπίνει τὸ προσέχειν; Χεῖρον γὰρ αὐτὸ προσέχων ποιήσεις, βέλτιον δὲ μὴ προσέχων; Καὶ τί ἄλλο τῶν ἐν τῷ βίῳ κρεῖσσον ὑπὸ τῶν μὴ προσεχόντων 5
γίνεται; Ὁ τέκτων, μὴ προσέχων, τεκταίνει ἀκριβέστερον; ὁ κυβερνήτης, μὴ προσέχων, κυβερνᾷ ἀσφαλέστερον; ἄλλο δέ τι τῶν μικροτέρων ἔργων ὑπὸ ἀπροσεξίας ἐπιτελεῖται κρεῖσσον; Οὐκ αἰσθάνῃ, ὅτι, ἐπειδὰν ἀφῇς τὴν γνώμην, οὐκ ἔτι ἐπί σοί 6
ἐστιν ἀνακαλέσασθαι αὐτήν, οὐκ ἐπὶ τὸ εὔσχημον, οὐκ ἐπὶ τὸ αἰδήμον, οὐκ ἐπὶ τὸ κατεσταλμένον; ἀλλὰ πᾶν τὸ ἐπελθὸν ποιεῖς, ταῖς προθυμίαις ἐπακολουθεῖς.

Τίσιν οὖν δεῖ με προσέχειν; Πρῶτον μὲν ἐκείνοις τοῖς καθο- 7
λικοῖς, καὶ ἐκεῖνα πρόχειρα ἔχειν, καὶ χωρὶς ἐκείνων μὴ καθεύδειν, μὴ ἀνίστασθαι, μὴ πίνειν, μὴ ἐσθίειν, μὴ συμβάλλειν

ἀνθρώποις· ὅτι προαιρέσεως ἀλλοτρίας κύριος οὐδείς, ἐν ταύτῃ
8 δὲ μόνῃ τὸ ἀγαθὸν καὶ τὸ κακόν. Οὐδεὶς οὖν κύριος, οὔτ' ἀγαθόν
μοι περιποιῆσαι, οὔτε κακῷ με περιβαλεῖν· ἀλλ' ἐγὼ αὐτὸς
9 ἐμαυτοῦ κατὰ ταῦτα ἐξουσίαν ἔχω μόνος. Ὅταν οὖν ταῦτα
ἀσφαλῆ μοι ᾖ, τί ἔχω περὶ τὰ ἐκτὸς ταράσσεσθαι; ποῖος
τύραννος φοβερός; ποία νόσος; ποία πενία; ποῖον πρόσκρου-
10 σμα; Ἀλλ' οὐκ ἤρεσα τῷ δεῖνι. Μὴ οὖν ἐκεῖνος ἐμόν ἐστιν ἔργον;
μή τι ἐμὸν κρῖμα; Οὔ. Τί οὖν ἔτι μοι μέλει; Ἀλλὰ δοκεῖ τις
11 εἶναι. Ὄψεται αὐτὸς, καὶ οἷς δοκεῖ. Ἐγὼ δ' ἔχω τίνι με δεῖ
ἀρέσκειν, τίνι ὑποτετάχθαι, τίνι πείθεσθαι· τῷ Θεῷ, καὶ τοῖς
12 μετ' ἐκεῖνον. Ἐμὲ ἐκεῖνος συνέστησεν ἐμαυτῷ, καὶ τὴν ἐμὴν
προαίρεσιν ὑπάταξεν ἐμοὶ μόνῳ, θεὺς κανόνας εἰς χρῆσιν αὐτῆς
τὴν ὀρθήν· οἷς ὅταν κατακολουθήσω ἐν συλλογισμοῖς, οὐκ
ἐπιτρέφομαι οὐδενὸς τῶν ἄλλο τι λεγόντων· ἐν μετεμπίπτουσιν,
οὐ φροντίζω οὐδενός. Διὰ τί οὖν ἐν τοῖς μείζοσιν ἀνεῶσί με οἱ
13 ψέγοντες; Τί τὸ αἴτιον ταύτης τῆς ταραχῆς; Οὐδὲν ἄλλο, ἢ
14 ὅτι ἐν τούτῳ τῷ τόπῳ ἀγύμναστός εἰμι. Ἐπεί τοι· πᾶσα
ἐπιστήμη καταφρονητική ἐστι τῆς ἀγνοίας, καὶ τῶν ἀγνοούντων·
καὶ οὐ μόνον αἱ ἐπιστῆμαι, ἀλλὰ καὶ αἱ τέχναι. Φέρε ὃν θέλεις
σκυτέα, καὶ τῶν πολλῶν καταγελᾷ περὶ τὸ αὐτοῦ ἔργον. Φέρε
ὃν θέλεις τέκτονα.

15 Πρῶτον μὲν οὖν ταῦτα ἔχειν δεῖ πρόχειρα, καὶ μηδὲν δίχα
τούτων ποιεῖν· ἀλλὰ τετάσθαι τὴν ψυχὴν ἐπὶ τοῦτον τὸν
σκοπόν, μηδὲν τῶν ἔξω διώκειν, μηδὲν τῶν ἀλλοτρίων, ἀλλ'
ὡς διέταξεν ὁ δυνάμενος· τὰ προαιρετικὰ ἐξ ἅπαντος, τὰ δ'
16 ἄλλα ὡς ἂν δίδῶται. Ἐπὶ τούτοις δὲ μεμνῆσθαι, τίνες ἐσμὲν,
καὶ τί ἡμῖν ὄνομα, καὶ πρὸς τὰς δυνάμεις τῶν σχέσεων
17 πειρᾶσθαι τὰ καθήκοντα ἀπευθύνειν· τίς καιρὸς ᾠδῆς, τίς
καιρὸς παιδιᾶς, τίνων παρόντων· τί ἔξεσι ἀπὸ τοῦ πράγματος·
μή τι καταφρονήσουσιν ἡμῶν οἱ συνόντες, μή τι ἡμεῖς αὐτῶν·

Digitized by Google

πότε σκῶψαι, καὶ τίνας ποτὲ καταγελάσαι· καὶ ἐπὶ τίνι συμπεριενεχθῆναί ποτε, καὶ τίνι· καὶ λοιπὸν, ἐν τῇ συμπεριφορᾷ πῶς χρὴ τηρῆσαι τὸ αὐτοῦ. Ὅπου δ' ἂν ἀπονεύσῃς ἀπό 18
τινος τούτων, εὐθὺς ζημία, οὐκ ἔξωθέν ποθεν, ἀλλ' ἐξ αὐτῆς τῆς ἐνεργείας.

Τί οὖν; Δυνατὸν ἀναμάρτητον ἤδη εἶναι; Ἀμήχανον· ἀλλ' 19
ἐκεῖνο δυνατὸν, πρὸς τὸ μὴ ἁμαρτάνειν τετάσθαι διηνεκῶς. Ἀγαπητὸν γὰρ, εἰ μηδέποτ' ἀνιέντες ταύτην τὴν προσοχὴν, ὀλίγων γε ἁμαρτημάτων ἐκτὸς ἐσόμεθα. Νῦν δ' ὅταν εἴπῃς, 20
ἀπαύριον προσέξω· ἴσθι ὅτι τοῦτο λέγεις, Σήμερον ἔσομαι ἀναίσχυντος, ἄκαιρος, ταπεινός· ἐπ' ἄλλοις ἔσται τὸ λυπεῖν με· ὀργισθήσομαι σήμερον, φθονήσω. Βλέπε, ὅσα κακὰ σεαυτῷ ἐπιτρέπεις. Ἀλλ' εἰ αὔριον καλῶς ἔχει, πόσῳ κρεῖττον σήμερον; 21
εἰ αὔριον συμφέρει, πολὺ μᾶλλον σήμερον· ἵνα καὶ αὔριον δυνηθῇς, καὶ μὴ πάλιν ἀναβαλῇ εἰς τὴν τρίτην.

ΚΕΦΑΛΑΙΟΝ ιγ'.

Πρὸς τοὺς εὐκόλως ἐκφέροντας τὰ αὐτῶν.

Ὅταν τις ἡμῖν ἁπλῶς δόξῃ διειλέχθαι περὶ τῶν ἑαυτοῦ πραγμάτων, πῶς ποτε ἐξαγόμεθα καὶ αὐτοὶ πρὸς τὸ ἐκφέρειν πρὸς αὐτὸν τὰ ἑαυτῶν ἀπόῤῥητα, καὶ τοῦτο ἁπλοῦν οἰόμεθα εἶναι· πρῶτον μὲν, ὅτι ἄνισον εἶναι δοκεῖ, αὐτὸν μὲν ἀκηκοέναι 2
τὰ τοῦ πλησίον, μὴ μέντοι μεταδιδόναι κἀκείνῳ ἐν τῷ μέρει τῶν ἡμετέρων· εἶθ', ὅτι οἰόμεθα οὐχ ἁπλῶν ἀνθρώπων παρέξειν αὐτοῖς φαντασίαν, σιωπῶντες τὰ ἴδια. Ἀμέλει πολλάκις εἰώθασι 3
λέγειν, Ἐγώ σοι πάντα τἀμαυτοῦ εἴρηκα, σύ μοι οὐδὲν τῶν σῶν εἰπεῖν θέλεις; ποῦ γίνεται τοῦτο; Πρόσεστι δὲ καὶ τὸ 4
οἴεσθαι ἀσφαλῶς πιστεύειν τῷ ἤδη τὰ αὐτοῦ πεπιστευκότι.

Digitized by Google

Ὑπέρχεται γὰρ ἡμᾶς, ὅτι οὐκ ἄν ποτε οὗτος ἐξείποι τὰ ἡμέτερα, εὐλαβούμενος μή ποτε καὶ ἡμεῖς ἐξείπωμεν τὰ ἐκείνου. 5 Οὕτω καὶ ὑπὸ τῶν στρατιωτῶν ἐν Ῥώμῃ οἱ προπετεῖς λαμβάνονται. Παρακεκάθικέ σοι στρατιώτης ἐν σχήματι ἰδιωτικῷ, καὶ ἀρξάμενος κακῶς λέγειν τὸν Καίσαρα, εἶτα σύ, ὥσπερ ἐνέχυρον παρ' αὐτοῦ λαβὼν τῆς πίστεως, τὸ αὐτὸν τῆς λοιδορίας κατῆρχθαι, λέγεις καὶ αὐτὸς ὅσα φρονεῖς· εἶτα δεθεὶς ἀπάγῃ. 6 Τοιοῦτόν τι καὶ ἐν τῷ καθόλου πάσχομεν. Αὐτὰρ ὡς ἐμοὶ ἐκεῖνος ἀσφαλῶς πεπίστευκε τὰ ἑαυτοῦ, οὕτως κἀγὼ τῷ 7 ἐπιτυχόντι; Ἀλλ' ἐγὼ μὲν ἀκούσας σιωπῶ, ἄν γε ὦ τοιοῦτος· ὁ δ' ἐξελθὼν ἐκφέρει πρὸς πάντας. Εἶτ', ἂν γνῶ τὸ γενόμενον, ἂν μὲν ὦ καὶ αὐτὸς ἐκείνῳ ὅμοιος, ἀμύνεσθαι θέλων, ἐκφέρω 8 τὰ ἐκείνου· καὶ φύρω, καὶ φύρομαι. Ἂν δὲ μνημονεύω, ὅτι ἄλλος ἄλλον οὐ βλάπτει, ἀλλὰ τὰ αὐτοῦ ἔργα ἕκαστον καὶ βλάπτει καὶ ὠφελεῖ, τούτου μὲν κρατῶ, ταῦ μὴ ὅμοιόν τι ποιῆσαι ἐκείνῳ, ὅμως δ' ὑπὸ φλυαρίας τῆς ἐμαυτοῦ πέπονθα ἃ πέπονθα.

9 Ναί. Ἀλλ' ἄνισόν ἐστιν ἀκούσαντα τὰ τοῦ πλησίον ἀπόῤῥητα, 10 αὐτὸν ἐν τῷ μέρει μηδενὸς μεταδιδόναι αὐτῷ. Μὴ γάρ σε παρεκάλουν, ἄνθρωπε; μὴ γὰρ ἐπὶ συνθήκαις τισὶν ἐξήνεγκας 11 τὰ σαυτοῦ, ἵν' ἀκούσῃς ἐν τῷ μέρει καὶ τὰ ἐμά; εἰ σὺ φλύαρος εἶ, καὶ πάντας τοὺς ἀπαντήσαντας φίλους εἶναι δοκεῖς, θέλεις καὶ ἐμὲ ὅμοιόν σοι γενέσθαι; τί δ', εἰ σὺ καλῶς μοι πεπίστευκας τὰ σαυτοῦ, σοὶ δ' οὐκ ἔξεστι καλῶς πιστεῦσαι, θέλεις με 12 προπεσεῖν; οἷον εἰ πίθον εἶχον ἐγὼ μὲν στεγνόν, σὺ δὲ τετρυπημένον· καὶ ἐλθὼν παρακατέθου μοι τὸν σαυτοῦ οἶνον, ἵνα βάλω εἰς τὸν ἐμὸν πίθον, εἶτ' ἠγανάκτεις ὅτι μὴ κἀγώ σοὶ πιστεύω τὸν ἐμαυτοῦ οἶνον. Σὺ γὰρ τετρυπημένον ἔχεις τὸν 13 πίθον. Πῶς οὖν ἔτι ἴσον γίνεται; Σὺ πιστῷ παρακατέθου, σὺ αἰδήμονι, τὰς ἑαυτοῦ ἐνεργείας μόνας βλαβερὰς ἡγουμένῳ καὶ

Digitized by Google

ὠφελίμους, τῶν δ' ἐκτὸς οὐδέν. Ἐγὼ σοὶ θέλεις παρακαταθῶ- 14
μαι, ἀνθρώπῳ τὴν ἑαυτοῦ προαίρεσιν ἠτιμακότι, θέλοντι δὲ
κερματίου τυχεῖν, ἢ ἀρχῆς τινος, ἢ προαγωγῆς ἐν τῇ αὐλῇ,
κἂν μέλλῃς τὰ τέκνα σου κατασφάζειν, ὡς ἡ Μήδεια; Ποῦ
τοῦτο ἴσον ἐστίν; Ἀλλὰ δεῖξόν μοι σαυτὸν πιστὸν, αἰδήμονα, 15
βέβαιον· δεῖξον, ὅτι δόγματα ἔχεις φιλικά· δεῖξόν σου τὸ
ἀγγεῖον ὅτι οὐ τέτρηται· καὶ ὄψει, πῶς οὐκ ἀναμένω ἵνα μοι
αὐ πιστεύσῃς τὰ σαυτοῦ, ἀλλ' αὐτὸς ἐλθὼν πρὸς σὲ, παρα-
καλῶ ἀκοῦσαι τῶν ἐμῶν. Τίς γὰρ οὐ θέλει χρήσασθαι ἀγγείῳ 16
καλῷ; Τίς ἀτιμάζει σύμβουλον εὔνουν καὶ πιστόν; τίς οὐκ
ἄσμενος δέξεται τὸν ὥσπερ φορτίου μεταληψόμενον τῶν αὐτοῦ
περιστάσεων, καὶ αὐτῷ τούτῳ κουφιοῦντα αὐτὸν, τῷ μετα-
λαβεῖν;

Ναί. Ἀλλ' ἐγὼ σοὶ πιστεύω· σὺ ἐμοὶ οὐ πιστεύεις; Πρῶτον 17
μὲν, οὐδὲ σὺ ἐμοὶ πιστεύεις, ἀλλὰ φλύαρος εἶ, καὶ διὰ τοῦτο
οὐδὲν δύνασαι κατασχεῖν. Ἐπεί τοι, εἰ τοῦτό ἐστιν, ἐμοὶ μόνῳ
αὐτὰ πίστευσον. Νῦν δ' ὃν ἂν εὐσχολοῦντα ἴδῃς, παρακαθίσας 18
αὐτῷ λέγεις· Ἀδελφὲ, οὐδένα σου ἔχω εὐνούστερον, οὐδὲ
φίλτερον, παρακαλῶ σε ἀκοῦσαι τὰ ἐμά. Καὶ τοῦτο πρὸς τοὺς
οὐδέ τι ὀλίγον ἐγνωσμένους ποιεῖς. Εἰ δὲ καὶ πιστεύεις ἐμοὶ, 19
δῆλον, ὅτι ὡς πιστῷ καὶ αἰδήμονι, οὐχ ὅτι σοὶ τὰ ἐμαυτοῦ
ἐξεῖπον. Ἄφες οὖν, ἵνα κἀγὼ ταὐτὰ ὑπολάβω. Δεῖξόν μοι, ὅτι, 20
ἄν τίς τινι τὰ αὐτοῦ ἐξείπῃ, ἐκεῖνος πιστός ἐστι καὶ αἰδήμων.
Εἰ γὰρ τοῦτο ἦν, ἐγὼ περιερχόμενος πᾶσιν ἀνθρώποις τὰ
ἐμαυτοῦ ἂν ἔλεγον, εἰ τούτου ἕνεκα ἔμελλον πιστὸς καὶ αἰδήμων
ἔσεσθαι. Τὸ δ' ἐστὶν οὐ τοιοῦτον· ἀλλὰ δογμάτων δεῖ οὐχ ὧν
ἔτυχεν. Ἂν γοῦν τινα ἴδῃς περὶ τὰ ἀπροαίρετα ἐσπουδακότα, 21
καὶ τούτοις ὑποτεταχότα τὴν ἑαυτοῦ προαίρεσιν, ἴσθι ὅτι
ἄνθρωπος οὗτος μυρίους ἔχει τοὺς ἀναγκάζοντας, τοὺς
κωλύοντας. Οὐκ ἔστιν αὐτῷ χρεία πίσσης ἢ τροχοῦ πρὸς τὸ 22

Digitized by Google

ἐξαπατᾷ & οὐδέν· ἀλλὰ παιδισκαρίου νευμάτιον, ἂν οὕτω τύχῃ, ἐκσείσει αὐτὸν, Καισαριανοῦ φιλοφροσύνη, ἀρχῆς ἐπιθυμία,
23 κληρονομίας, ἄλλα τούτοις ὅμοια τρισμύρια. Μεμνῆσθαι οὖν δεῖ ἐν τοῖς καθόλου, ὅτι αἱ ἀπόρρητοι λόγοι πίστεως χρείαν
24 ἔχουσι, καὶ δογμάτων τοιούτων. Ταῦτα δὲ ποῦ νῦν εὑρεῖν ῥᾳδίως; Ἢ δειξάτω μοί τις τὸν οὕτως ἔχοντα, ὥστε λέγειν, Ἐμοὶ μόνων μέλει τῶν ἐμῶν, τῶν ἀκωλύτων, τῶν φύσει ἐλευθέρων· ταύτην οὐσίαν ἔχω τοῦ ἀγαθοῦ· τὰ δὲ ἄλλα γνώσθω ὡς ἂν διδῶται, οὐ διαφέρομαι.

Digitized by Google

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ

ΤΑΣ ΕΠΙΚΤΗΤΟΥ ΔΙΑΤΡΙΒΑΣ.

Τὸ ΤΡ σημαίνει τὸ παρ' ἐμοὶ ἀντίτυπον τῆς Ἐνετήσιν ἐκδόσεως τοῦ Τρινκαυέλλου (Venetiis... Trincavelli, MDXXXV), ἐν ᾧ προσέγραψεν, οὐκ οἶδ' ὅστις, ὁ πρὸ ἐμοῦ κεκτημένος αὐτὸ, διαφόρους γροφὰς, σπανίως δέ ποτε καὶ διορθώσεις.

ΕΙΣ ΤΗΝ ΑΡΡΙΑΝΟΥ ΕΠΙΣΤΟΛΗΝ.

ΕΔΑΦΙΟΝ 5, καὶ λέγων αὐτός.] Ἐκ τοῦ ἐμοῦ ΤΡ (ᾧ συνάδει καὶ ἕτερον ἀντίγραφον ἐκ τῶν παραβληθέντων ὑπὸ τοῦ προτέρου ἐκδότου), ΑΤ, καὶ λέγων αὐτούς.

ΕΙΣ ΤΑΣ ΔΙΑΤΡΙΒΑΣ.

ΒΙΒΛΙΟΝ Ι.

ΚΕΦΑΛΑΙΟΝ ά, ΕΔΑΦΙΟΝ 3, μέν τε γράφειν.] ΕΞ ΕΔ, ΑΤ, μέν ἄν τε γράφειν. ΔΓ, μὲν ἀντιγράφειν. —— ΕΔ. ἡ, μόνη γὰρ αὕτη καὶ αὐτὴν ΚΑΤΑΝΟΗΣΟΥΣΑ παρείληπται κ. τ. λ.] ΗΔ, ἀντὶ τοῦ ΚΑΤΑΝΟΗΣΑΣΑ· ὁ γὰρ νοῦς, Μόνη ἡ λογικὴ δύναμις παρείληπται καὶ εἰς ἑαυτὸ κατατέτακται ὑπὸ τῆς φύσεως, ἵνα καὶ ἑαυτὴν θεωρῇ κ. τ. λ.—— ΕΔ. δ, ἐντὸ γὰρ τὸ λέγει.] Τὸ χρυσίον αὐτὸ τὸ λέγει, Καλόν εἰμί.

Digitized by Google

——Ἡ χρηστικὴ .....ταῖς φαντασίαις] ἡ δύναμις ἡ χρωμένη ταῖς φαντασίαις. —— ΕΔ. 6, οὐδὲν ἄλλο] ἢ ἡ λογικὴ δύναμις, ἡ χρωμένη ταῖς φαντασίαις. —— ΕΔ. 12, ἔδωκά σοι.] Ἐκ ΔΓ, ΑΤ, ἔδωκα μέν σοι. —— ΕΔ. 16, σπώμενοι] ταρασσόμενοι. —— παρακύπτομεν.] Τὸ ἐν τῇ συνηθείᾳ Κυττάζομεν, ἢ καὶ Παρακυττάζομεν. Σεσημείωται γὰρ ἀλλαχοῦ (Προσδρ. Ἑλλ. Βιβλ. Αὐτοσχ. στοχ. σελ. 46) τὸ Κυττάζω, οὐδὲν ἕτερον εἶναι ἢ τὸ τῶν ἀρχαίων Κυπτάζω, τοῦτο δὲ παρὰ τὸ θηματικώτερον Κύπτω. Διορθούσθω κατὰ πάρεργον καὶ ὁ Ἡσύχιος· « Κυπτάζειν, διατρίβειν, γραγγύειν, καὶ ΕΝΑΙΣΧΥΝΕΙΝ κ. τ. λ. » Καὶ « Ἐκύπταζον..... ΗΛΟΓΗΘΗΝ. » Ἐραπτέον γὰρ ἐν μὲν τῇ πρώτῃ ἐξηγήσει, ΕΝΑΣΧΟΛΕΙΝ, ἢ ΕΝΑΣΧΟΛΕΙΣΘΑΙ· ἐν δὲ τῇ δευτέρᾳ, ΗΣΧΟΛΗΘΗΝ. —— Τῷ Αἰόλῳ] τῷ τῶν ἀνέμων ταμίᾳ. (Ὀδυσσ. κ', 21). —— ΕΔ. 17, ὡς ἂν ὁ Θεὸς θέλῃ.] Ἀντικρὺς τὸ τῆς κυριακῆς προσευχῆς, « Γενηθήτω τὸ θέλημά σου. » —— ΕΔ. 19, Λατέρανος.] Διέγραψα τὸ ἐγκλινόμενον μόριον τοῦ Λατέρανός τις, οὗ νοθείαν κατέγνωσαν καὶ οἱ πρὸ ἐμοῦ. Ἀνεῖλε δὲ τὸν Λατέρανον ὁ Νέρων, καθὰ καὶ πλείστους ἑτέρους. (Ἰδ. Tacit. *Annal.* XV, 60) —— ΕΔ. 20, Ἐπαφροδίτῳ τῷ ἀπελευθέρῳ τοῦ Νέρωνος] καὶ δεσπότῃ αὐτοῦ τούτου τοῦ λέγοντος Ἐπικτήτου. ——ΥΠΕΡ τοῦ συγκρουσθῆναι.] Ἴσ. γρ. ΠΕΡΙ. Ὁ δὲ νοῦς, Ἐξετάζοντι τῷ Ἐπαφροδίτῳ τὸν Λατέρανον περὶ τοῦ συγκρουσθῆναι (καταχρηστικῶς ἀντὶ τοῦ προσκροῦσαι) πρὸς τὸν Νέρωνα. —— ΕΔ. 26, Θρασέας.] Στωϊκὸς φιλόσοφος, ὑπὸ Νέρωνος καὶ οὗτος ἀναιρεθεὶς (Tacit. *Annal.* XVI, 21). —— ΕΔ. 27, Ῥοῦφος.] Ἕτερος οὗτος Στωϊκὸς φιλόσοφος (Musonius Rufus). —— ΕΔ. 28, Ἀγριππῖνος ἔλεγεν.] Ἐκ ΔΓ (ἦν ἐπήνεσε καὶ ὁ πρὸ ἐμοῦ), ΑΤ, Ἀγριππῖνος τί ἔλεγεν; Ἐφυγαδεύθη δ' ὑπὸ Νέρωνος ὁ Ἀγριππῖνος, οὗ τὸν πατέρα ἀνῃρήκει Τιβέριος, οὐδὲν ἧττον τοῦ Νέρωνος ὠμὸς τύραννος (Sueton. *Tib.* 61). —— ΕΔ. 29, ἡ πέμπτη] ὥρα τῆς ἡμέρας, ἐν ᾗ κατακριθῆναι τὸν Ἀγριππῖνον ἔδει. —— Ψυχρολουτεῖν.] Ἐκ ΔΓ, ΑΤ. Ψυχρολουτρεῖν. —— ΕΔ. 30, Ἀρίκειαν,] πόλιν τὴν νῦν τοῖς Ἰταλοῖς ὀνομαζομένην Riccia ἢ Rizza.

ΚΕΦΑΛΑΙΟΝ β', ΕΔΑΦΙΟΝ 3, Ὅταν γοῦν ΠΑΘΗ τις ὅτι εὔλογον.] Προείλοντο τῆς διαφόρου γραφῆς, ΜΑΘΗ, οἱ πρὸ ἐμοῦ τὸ Πάθῃ, ὡς Στωϊκοῖς οἰκειότερον ῥῆμα, ταὐτόν πως δυνάμενον τῷ δοξάσῃ, φαντασθῇ, ἢ καὶ πεισθῇ. —— ΕΔ. 5, ἄλλῳ δ' ἄλλο προσπίπτει] δοκεῖ, φαίνεται (se présente) —— ΕΔ. 8, ἀμίδα παρακρατεῖν.] Ἀμίς,

Digitized by Google

τὸ οὐροδόχον ἀγγεῖον, ὅπερ οἱ δοῦλοι ἠναγκάζοντο παρακρατεῖν οὐροῦντι τῷ δεσπότῃ, καὶ δεσπότῃ πολλάκις μειρακίῳ γέροντες ὄντες αὐτοὶ ὡς φησί τις τῶν κωμικῶν (παρ' Ἀθην. σελ. 262) δοῦλον παράγων τὴν ἑαυτοῦ τύχην ὀλοφυρόμενον·

Τί γὰρ ἔχθιον, ἢ Παῖ Παῖ καλεῖσθαι παρὰ πότον;
Καὶ ταῦτ', ἀγενείῳ μειρακυλλίῳ τινὶ
Τὴν ἀμίδα φέρειν;

—— ΕΔ. 9, τὸ αὐτὸν παρακρατῆσαι ἀφόρητον δοκεῖ,] ὥσπερ ἔδοξε καὶ τῷ αἰχμαλωτισθέντι καὶ πραθέντι παιδὶ Δάκωνι, ὃς, καθά φησι Πλούταρχος (Λακων. ἀποφθεγμ.), « Τὰ μὲν ἄλλα πάντα ὑπήκοος ἦν » τῷ πριαμένῳ, ὅσα ᾤετο προσήκειν ἐλευθέρῳ ποιεῖν· ὡς δὲ προσ- » έταξεν ἀμίδα κομίζειν, οὐκ ἠνέσχετο, εἰπών, Οὐ δουλεύσω· » ἐνισταμένου δὲ ἐκείνου, ἀναβὰς ἐπὶ τὸν κέραμον, καὶ εἰπών, ΕΪΣΗ » τῆς ὠνῆς, ἔβαλεν ἑαυτὸν κάτω, καὶ ἐτελεύτα. » Ἔνθα οἱ κριτικοὶ, ΟΝΗΣΗ γραπτέον εἶναι ἔκασαν, ἵν' ὁ νοῦς ᾖ, Τοῦτο κερδανεῖς ὠνησάμενός με.—— ΕΔ. 11, Ἀλλ' οὐκ ἂν κατ' ἐμέ.] Ἀλλὰ τὸ παρακρατῆσαι ἀμίδα οὐκ ἂν εἴη μοι προσῆκον, οὐκ ἄν μοι πρέποι. Ἴσως κακῶς ἐπλεόνασεν ὁ δυνητικός. —— ΕΔ. 12, Ἀγριππῖνος] ὁ ἀνωτέρω (Ι, ά, § 28) μνημονευθείς. —— ΕΔ. 17, κρόκην.] Ἴσον ἐνθάδε δύναται ἡ Κρόκη (ἡ καὶ Κροκὶς ἡ Κροκὺς λέγεται) τῇ ἐν τῇ συνηθείᾳ Κλωστῇ· ἀλλαχοῦ δὲ, ἀντιδιηρημένως πρὸς τὸν Στήμονα (κοινῶς Στημόνιον, chaine), σημαίνει τὸ παρ' ἡμῖν Ὑφάδιον (χυδ. φάδι, trame). Ἡσύχιος ἐξηγεῖται, « Κρόκη, πέμματος εἶδος, ἢ Ῥοδάνη. » Καὶ τῇ μὲν πέμμα τι σημαινούσῃ Κρόκῃ παραπλήσιον ὄνομα τὸ croquet ἔχουσιν οἱ Γάλλοι, πέμματος εἶδους δηλωτικόν. Τὴν δὲ Ῥοδάνην, καὶ Ῥαδάνην ὁ Ἡσύχιος καλεῖ· « Ῥαδάνη, κρόκος (γρ. κροκὺς)· » ὁμοίως, Ῥοδάνη. » Ἀλλαχοῦ δέ φησι· « Τολύπη... ἀγαθίδιον » ζήμονος, ἢ ῥοδάνης, » Τολύπην καλῶν, τὴν παρ' ἡμῖν νῦν Τουλούπαν, Ἀγαθίδιον δὲ, ὅπερ ἡμεῖς Κουβάριον (pelote), παρὰ τὸ Κυβάριον. Λέγει δὲ καὶ ἡ ἐν τῇ Βατραχομυομαχίᾳ (στίχ. 187) Ἀθηνᾶ περὶ τοῦ ἑαυτῆς πέπλου,

Οὗ ἐξύφηνα καμοῦσα
Ἐκ ῥοδάνης λεπτῆς, καὶ ζήμονα λεπτὸν ἔνησα.

Digitized by Google

Παρ', ἡμῖν δὲ νῦν ἡ Ροδάνη οὐ τοῦτο σημαίνει, ἀλλὰ τὸ ἐργαλεῖον, ὅπερ οἱ Γάλλοι rouet καλοῦσι (Ἰδ. τὰς εἰς τὸν Ἰσοκράτ. σημ. σελ. 65). —— ΕΔ. 19, Πρίσκος Ἑλουΐδιος,] Μνημονεύει τούτου καὶ Μάρκος Ἀντωνῖνος (Α, ιδ'). Τῆς Στωϊκῆς δ' αἱρέσεως καὶ ὁ Πρίσκος ἔοικε γεγονέναι, ὡς ἐκ συλλογίσασθαι ἐξ ὧν φησι Τάκιτος περὶ αὐτοῦ, Doctores sapientiæ secutus est, qui sola bona quæ honesta, mala tantum quæ turpia: potentiam, nobilitatem, ceteraque extra animum, neque bonis neque malis adnumerant (Tacit. *Historiar.* IV, 5). Ἀνῃρέθη δὲ ὑπὸ Οὐεσπασιανοῦ. —— ΕΔ. 24, οὐδ' ἂν ἐκώλυεν εἰσελθεῖν. Ἀλλ' ἤδει.] Ἴσ. ἐγέγραπτο πάλαι, οὐδ' ἂν ἐκώλυεν εἰσελθεῖν, εἰ ἤδει. —— ὡς κεράμιον.] Καθ' Ἡσύχιον, « Κεράμιον τὸ τοῦ οἴνου ἢ ὕδατος ςαμνίον. » Ἐνθάδε φαυλιστικῇ παραβολῇ τὸν ἠλίθιον δηλοῖ, ὡς καὶ ἐν τῷδε τῷ παρὰ τοῖς Γάλλοις, bête comme une cruche. —— ΕΔ. 25, ἦν δ' ἐκεῖνος] ὁ ἀθλητής· οὕτως ἐξηγησαμένου τοῦ πρὸ ἐμαῦ. —— Ἀποκόπτομεν... ἀπερχώμεθα.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφήν, ἀνθ' ἧς ὁ πρὸ ἐμοῦ ἐξ ἀντιγράφων ἔγραψεν ὁριατικῶς. Ἀποκόπτομεν... ἀπερχόμεθα —— ΕΔ. 26, Πυθομένου δέ τινος] ἐρωτήσαντος τὸν Ἐπίκτητον. —— οὐχὶ παρὰ τῷ ΒΑΤΩΝΙ ἀλειφόμενος.] Ἐξ ΕΔ ὁ πρὸ ἐμοῦ, ΑΤ, ΒΑΤΩ. Εἰκὸς Βάτωνα καὶ Βάτον καλεῖσθαι τὸν αὐτὸν, κατὰ τὰ ἐν ἄλλοις (Προδρ. Ἑλλ. Βιβλιοθ. σελ. 378) σημειωθέντα δικατάληκτα εἰς ων καὶ ος ὀνόματα. Ἦν δ' ὁ Βάτων οὗτος ἐπίσημος γυμνασίαρχος, γεγονὼς ἐπὶ Ἐπικτήτου, καθὰ ἐσημειώσαντο ἐξ ἀρχαίων ἐπιγραφῶν οἱ πρὸ ἡμῶν. —— ΕΔ. 28, τὸ κατὰ πρόσωπον κ. τ. λ.] τὸ οἰκεῖον καὶ ἁρμόζον ἑκάστῳ προσώπῳ, καὶ ταπεῖνον ἰσχύει παρ' ἐκείνοις, οἷ ἂν ἐθισθῶσιν αὐτὸ ἐπισκέπτεσθαι. —— ΕΔ. 29, διαξήρησαι.] Τοῦ γὰρ Δομιτιανοῦ ἐξορίζοντος τῆς Ῥώμης τοὺς φιλοσόφους, οἱ μὴ βουλόμενοι εἰς τὴν ὑπερορίαν ἀπελθεῖν ἐξυρῶντο, λαθεῖν ἐφιέμενοι, ἅτι ἦσαν φιλόσοφοι. —— ΕΔ. 32, προσπηδᾷν.] Ἐξ ΕΔ, ΑΤ. προσπηδᾶν. —— ΕΔ. 33, μὴ ὀλίγον αὐτὴν πωλήσας.] Ὑποτακτικῶς, οὐκ ἀπαγορευτικῶς ἐκλεκτέον τὸ ῥῆμα, ὡς ἐσημειώσατο ὁ πρὸ ἐμοῦ· ἤρτηται γὰρ ἀπὸ τοῦ Σκέψεσθε. Σκέψαι (φησὶ), μὴ διὰ μικρά τινα προδῷς τὴν σὴν προαίρεσιν καὶ ἐλευθερίαν· εἰσὶ γὰρ κἂν τοῖς παλιμβόλοις ταύταις, αἵ τε μικρόδουλοι καλούμενοι, ὡς ἐν ἄλλοις φησὶν Ἐπίκτητος, καὶ οἱ μεγαλόδουλοι, ἀμφότεροι μὲν ψεκτοί, μακρῷ δὲ μᾶλλον οἱ μικρῶν ἕνεκα προϊέμενοι τὰ τῷ προσώπῳ προσήκοντα. —— ΕΔ. 36, τοῦτό μοι

Digitized by Google

ἱκανόν ἐστι.] Εἰ καὶ μὴ Σωκράτης ἢ Σωκράτους κρείττων εἰμί, ἀλλ' οὖν ἱκανόν γέ μοί ἐστιν, εἰ σπουδάζοιμι ἐκεῖνον μιμεῖσθαι, καὶ πρὸς ἐκεῖνον ἀπατυποῦσθαι. —— ΕΔ. 37, Μίλωνι] ὁ Κροτωνιάτης, ἀθλητὴς ῥώμῃ σώματος περιβόητος.

ΚΕΦΑΛΑΙΟΝ γ', ΕΔΑΦΙΟΝ 1, τῷ δόγματι τούτῳ συμπαθῆσαι,] οὕτως ἐξ ὅλης ψυχῆς αὐτῷ πιστεῦσαι, καὶ ἀμεταπείστως ἔχειν περὶ αὐτὸ, ὡσπερεὶ ὑπὸ πάθους συνωθούμενος. —— ΕΔ. 3, οἱ πολλοὶ μέν.] Ἐξ ἑτέρων εἰκασίας προσέθηκε τὸ ἄρθρον, ὡς ἔν τε τῷ παρόντι κεφαλαίῳ, μικρὸν ὑποβάς, καὶ ἐν τοῖς ἑξῆς (II, ιά', 23) μετὰ τοῦ ἄρθρου συνάπτει τὸ Πολλοί. —— ΕΔ. 6, τῶν σαρκιδίων.... τούτοις προστέτηκας;] Παράθες τούτοις τὰ ἐκ τοῦ Μάρκου Ἀντωνίνου (I, κά') —— ΕΔ. 7, Διὰ ταύτην τὴν συγγένειαν κ. τ. λ.] Καίπερ οὐ πάνυ τι σαφῶς πεφρασμένου, τοιοῦτον ἔχει τὸν νοῦν τὰ χωρίον, οἷόν περ καὶ εἰ ἔλεγε, Τῶν ἐπὶ ταύτην τὴν συγγένειαν (τὴν πρὸς τὰ ζῶα, καὶ οὐ τὴν πρὸς τοὺς θεοὺς) ἀπακλινόντων, οἱ μὲν λύκοις ὅμοιοι γινόμεθα κ. τ. λ. —— ΕΔ. 9, Ὁρᾶτε οὖν, καὶ προσέχετε.] Ἐσημειώσαντο οἱ πρὸ ἡμῶν τὴν τῆς Ἐπικτήτου ἰδέας τῶν λόγων ὁμοιότητα πρὸς τὴν τῶν Εὐαγγελιστῶν ἰδέαν· οὕτω γὰρ κἀκεῖνοι (Ματθ. ις', 6), αὐτοῖς ῥήμασιν, « Ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων » καὶ Σαδδουκαίων. »

ΚΕΦΑΛΑΙΟΝ δ', ΕΔΑΦΙΟΝ 1, ἡ δ' ἔκκλισις πρὸς κακά,] τουτέστι, τὸ ἀπὸ τῶν κακῶν ἐκκλίνειν. —— Τὴν μὲν ὄρεξιν... ΚΑΙ ὑπερτίθεται.] Γραπτέον, οἶμαι, διαζευκτικῶς, Ἢ, καθάπερ ἐδήλωσα καὶ ἐν ταῖς εἰς τὸ Ἐγχειρίδιον σημειώσεσι (σελ. 115). —— ΕΔ. 3, ταύτην ἔχει τὴν ἐπαγγελίαν,] τοῦτο ἐπαγγέλλεται, βούλεται, ἐπὶ τοῦτο τείνει. —— ΕΔ. 6, Χρυσίππου συντάξεις,] συντάγματα (Ἰδ. καὶ Ἐγχειριδ. XLIX, καὶ τὰ ἐκεῖ σημειωθέντα σελ. 141) περὶ Χρυσίππου. —— ΕΔ. 8, τὸν συναγωγισμὸν, τὴν προκοπήν.] Τούτων θάτερον ὁπότερον διαγραπτέον μοι δοκεῖ· ἅμεινον ἴσως διαγράφειν τὰς δύο πρώτας λέξεις, Τὸν συναγωγισμόν· τοῦτον γὰρ μικρὸν ἀνωτέρω ὅρον ἀπέδωκε τῆς Προκοπῆς. —— ΕΔ. 11, ἐν ΠΡΟΣΘΕΣΕΙ καὶ ἐποχῇ] Διάφορ. γρ. ΠΡΟΘΕΣΕΙ. Πιθανῶς οἱ πρὸ ἐμοῦ προείλοντο τὴν πρώτην ταὐτὸ σημαίνειν ἐνθάδε τὴν πρόσθεσιν ἀγνοκότες τῇ Στωϊκοῖς συνηθεστέρᾳ λέξει Συγκατάθεσει, ᾗ ἐναντία ἡ ἐποχή, τουτέστιν ἡ τῆς διανοίας ἐπ' οὐδέτερα ῥοπή, ἀλλ' οἱονεὶ στάσις, ἕως' ἂν ἀκριβέστερον ἐρευνήσασα τὰ προκείμενα, θατέρῳ προσθῆται, ἀπα-

Digitized by Google

σᾶσα τοῦ ἑτέρου. Ἔνθεν καὶ τὸ μήπω κατακεχωρισμένον ἐν τοῖς Λεξικοῖς ῥῆμα Ἀπροσθετεῖν, (Διογ. Λαερτ. IX, 76) τὸ μὴ συγκατατίθεσθαι. Καὶ τοῦτο μέν ἐστιν ἡ Πρόσθεσις (διὰ τῆς Πρὸς)· ἡ δὲ Πρόθεσις (διὰ τῆς Πρὸ) σημαίνει τὸ παρὰ τοῖς Γάλλοις projet. —— ΕΔ. 12, Πρῶτοι δέ εἰσιν οἱ πρῶτοι τόποι,] περὶ ὧν ἐν τοῖς ἑξῆς (III, 6',) ἐρεῖ, τριῶν ὄντων ἐν τῇ Ἠθικῇ ἐπιστήμῃ. Πρώτους δὲ αὐτοὺς καλεῖ, πρὸς ἀντιδιαστολὴν ἴσως τῶν τριῶν ἑτέρων, οὓς ὡρίσατο καὶ ἐν τῇ Λογικῇ ἐπιστήμῃ (Ἐγχειρισ. LII) —— ἆρα οὔπω προκόπτεις.] Ἀποκαέστησα τὴν ἀρχαίαν γραφὴν, ἀντὶ τοῦ, Ἆρα πῶς προκόπτεις; —— ΕΔ. 13, Ἴδε μου τοὺς ἀλτῆρας.] Σφῖραι ἦσαν οἱ ἀλτῆρες μολύβδου ἢ τινος ἑτέρας ὕλης πεποιημέναι, αἷς ἐν τοῖς γυμνασίοις ἐχρῶντο, περὶ ὧν ὁ Γαληνὸς (Ὑγιειν. II, ια', τόμ. VI, σελ. 147) ταῦτα λέγει, « Καταθέντες ἀλτῆρας ἐν τῷ πρόσθεν διεστῶτας » ἀλλήλων ὀργυιάν, εἶτ' ἐν μέσῳ στάντες αὐτῶν, ἀναιροῦνται προ- » κύπτοντες, τῇ μὲν δεξιᾷ χειρὶ τὸν ἐν τοῖς ἀριστεροῖς, τῇ δὲ ἀριστερᾷ » τὸν ἐν τοῖς δεξιοῖς, καὶ αὖθις ἑκάτερον εἰς τὴν οἰκείαν κατατίθενται » χώραν, καὶ τοῦτο δρῶσιν ἐφιξῆς πολλάκις ἀτρεμίζοντες τῇ βάσει. » Ἀλτῆρας δὲ ὠνομάσθαι εἰκὸς διὰ τὸ καὶ ἅλλεσθαι τοὺς ἀγωνιζομένους, κατέχοντας αὐτοὺς ταῖς χερσί· —— ΕΔ. 14, τὴν περὶ Ὁρμῆς σύνταξιν] τοῦ Χρυσίππου. —— πῶς ἐπιβάλλεις καὶ προτίθεσαι καὶ παρασκευάζῃ] Ἐπιβάλλειν ἐστὶ τὸ ἐγχειρεῖν ἔργῳ ἢ πράξει τινὶ, κατ' ἔλλειψιν τοῦ χεῖρα (entreprendre). Τὸ δὲ προτίθεσθαι (se proposer) ἐνέργειαν νοῦ σημαίνει προηγουμένην τοῦ ἐπιβάλλειν, καὶ αὐτὸ τὸ ἐπιβάλλειν ὁρίζουσαν, ἢ ἔπεται τὸ παρασκευάζεσθαί τὰ πρὸς τὸ ἔργον ἢ τὴν πρᾶξιν συντείνοντα. Τὰ δὲ ὀνόματα οὕτως ὁρίζονται· « Πρόθεσιν μὲν οὖν εἶναι λέγουσι σημείωσιν ἐπι- » τελέσεως· Ἐπιβολὴν δὲ, ὁρμὴν πρὸ ὁρμῆς· Παρασκευὴν δὲ, » πρᾶξιν πρὸ πράξεως· Ἐγχείρησιν δὲ, ὁρμὴν ἐπί τινος ἐν χερσὶν » ἤδη ὄντος κ. τ. λ. ») (Στοβ. Ἠθικ. ἐκλογ. σελ. 164 Heeren). Τούτων καὶ Πλούταρχος (Πότερ. τῶν ζ. φρονιμωτ. § 3) ἐμνημόνευσε, δυσχεραίνων ὅμως τῇ τοσαύτῃ τῶν Στωϊκῶν λεπτολογίᾳ. Ἀντὶ τοῦ παρὰ τῷ Στοβαίῳ Ἐπιτελέσεως, κακῶς γράφεται παρὰ Πλουτάρχῳ Ἐπιτελειώσεως. —— ΕΔ. 19, μεταῤῥιπίζεσθαι.] ΔΓ (κακὴ) μετακριπίζεσθαι. Ἐκ τούτου μόνου τοῦ χωρίου παρειλήφασι τὸ μεταῤῥιπίζεσθαι οἱ Λεξικογράφοι. Ἴσως ἐγράφετο πάλαι μεταῤῥιπτεῖσθαι ὅπερ οὐδὲν κωλύει καὶ μεταῤῥιπτίζεσθαι γράφειν.

Digitized by Google

—— ΕΔ. 20, λούεται ὡς πιστὸς, ὡς αἰδήμων, ἐσθίει ὡσαύτως, ἐπὶ τῆς... ἐκπονῶν.] Μετεποίησεν ὁ πρὸ ἐμοῦ, ἐν τῇ καταριθμήσει τῶν τυπογραφικῶν σφαλμάτων, εἰς τοῦτο, τὴν στίξιν, ἔχουσαν ἐν τῷ κειμένῳ οὕτως, « λούεται ὡς πιστὸς, ὡς αἰδήμων ἐσθίει, » ὡσαύτως ἐπὶ τῆς.. ἐκπονῶν. » Ὁ νοῦς, Λούεται μετὰ πίστεως καὶ αἰδοῦς, ἐσθίει μετὰ τῆς αὐτῆς πίστεως καὶ αἰδοῦς κ. τ. λ —— ΕΔ. 23, καὶ τὸ Οἶμοι.] Ἐξ εἰκασίας τοῦ πρὸ ἐμοῦ προσέθηκα τὸ ἄρθρον. —— ΕΔ. 24, Ὦ φίλε Κρίτων]. Ἀ Σωκράτης ἔλεγεν ἐν τῇ φυλακῇ. —— ΕΔ. 25, ἀλλ' ὁπόσοι βασιλεῖς λέγουσι.] ΔΓ, ἄλλοι πόσοι κ. τ. λ. Ἐμοὶ δὲ δοκεῖ καὶ μετ' ἀρνήσεως, καὶ ἐρωτηματίζοντα, γραπτέον εἶναι, Ἄλλοι πόσοι βασιλεῖς οὐ λέγουσι; —— ΕΔ. 30-31, Εἶτα Τριπτολέμῳ μὲν... τῷ δὲ τὴν ἀλήθειαν εὑρόντι κ. τ. λ.] Εἰρωνικῶς μᾶλλον ἢ ἀληθῶς βωμοῦ ἄξιον εἶναι λέγει τὸν Χρύσιππον. Οὐ πάνυ τι γὰρ ἠρέσκετο, καίπερ ὢν Στωϊκὸς, ὁ Ἐπίκτητος ταῖς τοῦ Χρυσίππου λεπτολογίαις, σημειωσαμένου τοῦτο καὶ τοῦ πρὸ ἐμοῦ, καὶ ἀρχαιότερον, τοῦ Βαΰλου : Les Sénèque, les Épictète, les Arrien ne s'empressent pas beaucoup à lui [à Chrysippe] témoigner leur vénération... Arrien revient souvent à la charge contre ceux qui s'attachaient à la lecture de ce philosophe, et qui comptaient cela pour un grand exploit. On ne peut pas dire positivement, ce me semble, qu'il lui approprie l'éclat et la gloire qui résultent d'une réflexion qu'il fait en considérant les honneurs divins qui furent rendus à Triptolème. Je crois qu'il entend en général que celui qui a découvert aux hommes la vérité, et le chemin de la vertu, mériterait des autels à plus juste titre, que ceux qui enseignèrent à semer du blé. Bayle, *Dictionn. historique et critique*, au mot, Chrysippe, tom. V, pag. 174.

ΚΕΦΑΛΑΙΟΝ ε, ΕΔΑΦΙΟΝ, 2, ὅταν ἀπαχθεὶς ἀπολιθωθῇ] ὁ ἐνιστάμενος καὶ ἐναντιούμενος πρὸς τὰ ἄγαν ἐκφανῆ, ὅταν καὶ ἀναγκασθεὶς διὰ τὴν ἐκφάνειαν, οὐχ ὁμολογῇ ὅμως τῷ ἀποδεικνύντι, ἀλλ' ἐπιμένῃ τοῖς αὐτῷ δοκοῦσιν ἀμετακίνητος, ὡς λίθος. —— ΕΔ. 3, τοῦ ἐντρεπτικοῦ] τῆς ἐντροπῆς φαίη ἂν ἡ παρ' ἡμῖν συνήθεια. —— πρατεταγμένος ᾖ.] Ἰσχυρογνώμων ᾖ· ἀπὸ μεταφορᾶς τῶν ἐν πολέμοις παρατεττομένων καὶ ἑτοίμων εἰς τὸ μάχεσθαι στρατιωτῶν. —— τῶν μαχομένων] τῶν ἀντιφασκόντων. —— ΕΔ. 6, Οὔ, φησιν] ὁ Ἀκαδημαϊκὸς,

Digitized by Google

Οὐ καταλαμβάνω, φησὶν, ὅτι ἐγρήγορα. —— ΕΔ. 7, Οὐδέν. Ἔτι τούτῳ διαλέγωμαι;] Συνημμένα πάλαι, « Οὐδὲν ἔτι τούτῳ διαλέγομαι » ἔλεγεν ὁ πρὸ ἐμοῦ, ἐρωτηματίσας καὶ τὴν φράσιν, ἵνα τὸ μὲν Οὐδέν ἀπόκρισις εἴη τοῦ Ἀκαδημαϊκοῦ, Οὐδὲν διαφέρει αὕτη ἡ φαντασία ἐκείνης, τὰ δὲ λοιπά, τοῦ Ἐπικτήτου. Διὸ ἔτρεψα καὶ τὸ ἐριστικὸν εἰς τὸ ὑποτακτικὸν, διαλέγωμαι, ἵν', εἴη ὁ νοῦς, Βούλει ἵν' ἔτι τούτῳ διαλέγωμαι; Χρή με τούτῳ ἔτι διαλέγεσθαι; Παραπλησίως καὶ Ἀρίστων ὁ Στωϊκὸς τὸν εἰπόντα Ἀκαδημαϊκὸν, οὐδὲν καταλαμβάνειν, ἠρώτησεν, « Ἆρ' οὐδὲ τὸν πλησίον σου καθήμενον ὁρᾷς; » Ἀρνησαμένου δὲ, ἔφη,

» Τίς δέ σ' ἐτύφλωσεν, τίς ἀφείλετο λαμπάδος αὐγάς; »

(Διογ. Λαερτ. VII, 163). —— Αἰσθανόμενος οὐ προσποιεῖται.] Ἑλλήνων ἰδία σύνταξις, ἀναλυομένη εἰς τὸ, Αἰσθανόμενος προσποιεῖται μὴ αἰσθάνεσθαι. Καὶ οἱ Ῥωμαῖοι ἑνὶ ῥήματι, τῷ dissimulare ἑρμηνεύειν φιλοῦσι τὸ Οὐ προσποιεῖσθαι παραπλησίως τῷ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ Καμόνεται, ὅπερ οἱ σπουδαιότεροι Ὑποκρίνεται λέγουσι.

ΚΕΦΑΛΑΙΟΝ ς', ΕΔΑΦΙΟΝ 1, τῶν γεγονότων ΕΚΑΣΤΟΥ.] ΗΔ, ἀντὶ τοῦ ΕΚΑΣΤΩ —— ΕΔ. 10, καὶ συντίθεμεν ΤΟΙΑΔΕ τινὰ δ' αὐτῶν.] ΗΔ, ἀντὶ τοῦ ΤΑΔΕ. —— Παρακείμενα.] Ἴσον ἐνταῦθα δύνασθαι τῷ παραπλήσια, διὰ μακρῶν ἐξηγήσατο ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 14, ἐπιτελεῖ ΑΥΤΩΝ ἕκαστον.] Διέγραψα τὸ ἄρθρον τῆς γραφῆς ΤΩΝ ΑΥΤΩΝ, παραινέσαντος τοῦτο καὶ τοῦ πρὸ ἐμοῦ. —— Ἀπαρκεῖ.] Ἀντὶ τοῦ Ἐπαρκεῖ, ἔγραψα Ἀπαρκεῖ, καθὰ προσγέγραπται τῷ ἐμῷ ἀντιτύπῳ ΤΡ. ὑποτοπήσαντος τοῦτο καὶ τοῦ πρὸ ἐμοῦ. Ἴσως δὲ καὶ ἐν οἷς Σόλων (παρὰ Πλουτάρχ. Σολ. § 18, σελ. 160) λέγει,

Δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος, ὅσσον ΕΠΑΡΚΕΪ,

γραπτέον, ΑΠΑΡΚΕΪ. —— ΕΔ. 19, τὸν δ' ἄνθρωπον θεατὴν εἰσήγαγεν αὐτοῦ τε καὶ τῶν ἔργων τῶν αὐτοῦ.] Ἀμφίβολος εἰκότως ἔδοξε τοῖς πρὸ ἡμῶν ἡ φράσις· οὐ γὰρ δῆλον εἰ λέγει, ὅτι ὁ θεὸς εἰσήγαγε τὸν ἄνθρωπον εἰς τὸν κόσμον θεατὴν αὐτοῦ τοῦ θεοῦ καὶ τῶν ἔργων τοῦ θεοῦ· ἢ θεατὴν ἑαυτοῦ (τοῦ ἀνθρώπου) καὶ τῶν ἔργων ἑαυτοῦ· ἢ θεατὴν ἑαυτοῦ (τοῦ ἀνθρώπου) καὶ τῶν ἔργων αὐτοῦ (τοῦ θεοῦ).

Digitized by Google

Τοῦτο τὸ τελευταῖον ἐνέκρινεν ἂν ὁ πρὸ ἐμοῦ (φησὶν), εἰ ἡ τελευταία ἀναφορικὴ ἐτρέπετο εἰς τὴν σύνθετον, ἑαυτοῦ.—ΕΔ. 29, Τί μ' ΕΚΣΤΗΣΕΙ, ἢ ταράξει;] Διάφορος γραφὴ (ἐναργεστέρα, ἴσως δὲ καὶ γνησιωτέρα), ΕΚΣΕΙΣΕΙ. Χρήσεται δ' Ἐπίκτητος καὶ ἐν τοῖς ἑξῆς τῷ Ἐκσείειν ῥήματι. — ΕΔ. 35, Αὐτὸν ταῦτά γ' ἔδει κ. τ. λ.] ΗΔ, ΑΤ, Αὐτῷ ταῦτά σε δεῖ. ΔΓ (ἀμυδρὰ πάνυ καὶ δυσανάγνωστος, ὡς φησιν ὁ πρὸ ἐμοῦ), Αὐτὸν ταῦτά γε (ἤ με) δεῖ, ἣν ἐξηγεῖται, Αὐτὸν ἐμὲ δεῖ κ. τ. λ. Ipsum me oportet etc. Ἡ δὲ ἡμετέρα διασκευὴ ἐξηγείσθω οὕτως, Αὐτὸν τὸν Ἡρακλέα ἔδει γε κατασκευάζειν ταῦτα, τὸν λέοντα, τὴν ὕδραν κ. τ. λ. καὶ εἰσάγειν εἰς τὴν ἑαυτοῦ χώραν; Ἔστι δὲ καὶ οὕτω διασκευάζειν, τὸ αὐτὸ σημαίνοντα « Αὐτὸν αὐτῷ ταῦτά γ' ἔδει; » — ΕΔ. 39, ἢ *καὶ* ἀσέβεια.] Μηδὲν δέον, ἐπλεόνασεν ὁ δεύτερος σύνδεσμος. — ΕΔ. 42, καὶ ἐγκλήματα.] Ἐκ ΔΓ, ΑΤ (ἐνάρθρου), καὶ τὰ ἐγκλήματα.

ΚΕΦΑΛΑΙΟΝ ζ', ΕΔΑΦΙΟΝ ι, Ἡ περὶ τοὺς μεταπίπτοντας κ. τ. λ.] Οἱ Μεταπίπτοντες λόγοι (τῆς Στωϊκῆς, καὶ μάλιστα τῆς Χρυσίππου λεπτολογίας ὀνόματα) γένη συλλογισμῶν ἢ παραλογισμῶν καὶ σοφισμάτων δηλοῦσι διάφορα· οἷς ὁ βουλόμενος ἐπὶ πλέον ἐνδιατρίβειν, ἐπίτω τὰς μακρὰς σημειώσεις τῶν πρὸ ἐμοῦ, οἳ καὶ ὀρθῶς τὸ Μεταπίπτειν, ὡς ταυτὸ δυνάμενον τῷ Μεταβάλλεσθαι ἐξεδέξαντο. Ἔστι γὰρ τούτου καὶ μαρτύριον παρασχέσθαι τὸ ἐκ τοῦ Λουκιανοῦ (Περὶ τοῦ ἠλεκτρ. ἢ τῶν κύκν. § 4) ἐν οἷς φησι τοὺς κύκνους « Ἀπόλλωνος παρέδρους ὄντας, ᾠδικοὺς ἀνθρώπους, ἐνταῦθά που εἰς » τὰ ὄρνεα μεταπεσεῖν, καὶ ᾄδειν ἔτι κ. τ. λ. » Εἰσὶ τοίνυν οἱ Μεταπίπτοντες λόγοι, οἱ αὐτοὶ καὶ οἱ Μεταβαλλόμενοι, ἢ καὶ Ἐπαλλαττόμενοι, ὥσπερ ἐξηγησάμεθα ἐν ταῖς εἰς τὸν Ξενοφῶντα (Ἀπομνημ. Γ, VIII, § 1, σελ. 280) σημειώσεσι. Ἐφίλουν δὲ τοῦτο ποιεῖν κακουργοῦντες ἐν τοῖς λόγοις οἱ σοφισταὶ, ὁτὲ μὲν τοῦ προσδιαλεγομένου τὰ ῥήματα εἰς ἑτέραν σημασίαν μεταβάλλοντες ἢ ἐπαλλάττοντες, ὁτὲ δὲ ἐν τοῖς ἰδίοις συλλογισμοῖς μὴ τὸν αὐτὸν τηροῦντες τῶν ἐν ταῖς προτάσεσιν ὅρων νοῦν, ἀλλ' ἀφ' ἑτέρας εἰς ἑτέραν διάνοιαν μεταπίπτοντες, ἐπὶ τῇ τῶν προσδιαλεγομένων ἀπάτῃ. Τοῖς τοιούτοις σοφίσμασιν ἀπαρεσκόμενος ὁ Ἐπίκτητος, ἰστέον ὅμως αὐτὰ φησὶν, ἕνεκά γε τοῦ ὑπὸ τῶν σοφιστῶν μὴ ἐξαπατᾶσθαι. —ΕΔ. 3, οὐ συγκαθήσει] ἑαυτὸν, οὐ συγκαταθήσεται πρὸς τὰ τοιαῦτα· παρὰ τὸ Συγκαθίημι — ΕΔ. 7, Τί οὖν δεῖ ΤΟΥΤΩ προσλαβεῖν;] Ἴσως

Digitized by Google

ΤΟΥΤΟΝ, φησὶν ὁ πρὸ ἐμοῦ —— ΕΔ. 8, ψευδοῦς.] ΔΓ, ψεύδους. —— ΕΔ. 12, τῶν συναγόντων λόγων,] οὓς καὶ Συνακτικοὺς, καὶ Περαντικοὺς λόγους καλεῖσθαι, ἐν ἄλλοις (Ἐγχειριδ. σημ. σελ. 138) δεδήλωται. —— ΕΔ. 13, συμβαίνει τι ἐξ αὐτῶν] συμπεραίνεταί τι ἐκ τῶν προτάσεων, ἃς ἐξῆς Λήμματα καλεῖ. —— ΕΔ. 20, λαμβάνοντα τὰς μεταπτώσεις] τὸ Λαμβάνοντα, ἀσυνάρτητον εἶναι τοῖς λοιποῖς δοκοῦν, οἱ μὲν εἰς τὸ Λαμβάνοντι, οἱ δὲ εἰς τὸ, Ὁ λαμβάνων (ἀνάρθρως) τρεπτέον εἶναι ὑπειλήφασιν. Ὁ δὲ πρὸ ἐμοῦ, οὐδέτερον πληθυντικὸν ἐκλαβὼν τὸ Λαμβάνοντα κατηγορικῶς πρὸς τὸ Λήμματα συνάπτει, Τὰ λήμματα λαμβάνοντα μεταπτώσεις, τουτέστι τὰ Λήμματα μεταπίπτοντα. Ἴσως ἄμεινον γράφειν Λαμβάνων τις ὡς φησι φέρεσθαι διωρθωμένον ἔν τινι τῶν ἀντιγράφων, ἢ καὶ ψιλὴν τὴν μετοχὴν, Λαμβάνων. —— ΕΔ. 24, μενιτέον εἰσάπαν ἐπὶ τῆς ΤΗΡΗΣΕΩΣ;] Ἴσως ἐγέγραπτο πάλαι ΠΑΡΑΧΩΡΗΣΕΩΣ συμφώνως τοῖς μικρὸν ἀνωτέρω (ΕΔ. 16 καὶ 17) πεφρασμένοις. —— ΕΔ. 27, Καὶ πῶς ἔτι ἔΣΤΑΙ.] Ἐκ ΔΓ, ἀντὶ τοῦ ἘΣΤΙ. —— ΕΔ. 29, παρίλκει... σπουδαίου] περιττὰ καὶ οὐδὲν δέον πλεονάζοντά ἐστι, οὐδ' ἀκολουθεῖ, ἢ εἴχομεν δόξῃ περὶ τοῦ σπουδαίου ἀνδρός. —— ΕΔ. 32, Ῥούφῳ] οὗ καὶ ἐν τοῖς πρόσθεν [Ι, α', 27) ἐμνήσθη. —— Τὸ παραλειπόμενον ἐν συλλογισμῷ τινι] ὁ πρὸ ἐμοῦ ἀρχαίαις ἐκδόσεσι πεισθεὶς ἔγραψε, « Τὸ παραλειπόμενον ἓν ἐν συλλογισμῷ τινι. »

ΚΕΦΑΛΑΙΟΝ ή, αἱ Δυνάμεις] αἱ πρὸς τὸ ποιεῖν ἢ πράττειν τι φυσικαὶ ἢ τεχνικαὶ ἐπιτηδειότητες, ἃς ἐνὶ ῥήματι talens καλοῦσιν οἱ Γάλλοι. —— ΕΔΑΦΙΟΝ ι, ἐκποιεῖ] ἔξεστι. —— ΕΔ. 2, οὐχὶ ἐδανείσω ΜΗΝ, καὶ οὐκ ἀπέδωκας · ΟΥΚ ΟΥΝ ὀφείλεις μοι τὸ ἀργύριον.] ΗΔ, ΑΤ, « οὐχὶ ἐδανείσω ΜΕΝ, καὶ οὐκ ἀπέδωκας · ΟΥΚΟΥΝ ΟΥ ΜΗΝ » ὀφείλεις μοι τὸ ἀργύριον. » ΔΓ.... οὐκοῦν ὀφείλεις μοι κ. τ. λ. Ἑτέρα ΔΓ.... οὐ μὴν ὀφείλεις μοι κ. τ. λ. Τῷ πρὸ ἐμοῦ ἤρεσκε καὶ ἡ διαίρεσις τοῦ, Οὐκοῦν, καὶ ἡ ἐξάλειψις τοῦ, Οὐ μήν. Ὁ νοῦς, Οὐ μὴν ἐδανείσω, οὐδ' ἀπέδωκας · οὐκ ἄρα ὀφείλεις μοι, ἢ Ἀλλὰ μὴν οὐκ ἐδανείσω, οὐδ' ἀπέδωκας · ἄρα οὐκ ὀφείλεις μοι τὸ ἀργύριον. Λύει δὲ ὁ συλλογισμὸς τοιοῦτόν τι σόφισμα · Ὃ οὐκ ἀπέδωκάς μοι, ὀφείλεις · ἀλλὰ μὴν οὔ μοι ἀπέδωκας ἀργύριον · ἄρα ὀφείλεις μοι · ἐν γὰρ τῷ Ἀπέδωκας ὑποκρυπτόμενον τὸ Δανείσασθαι ἐξαπατᾷ τοὺς ἀπείρους τῶν τοιούτων παραλογισμῶν. Τῆς αὐτῆς σοφιστείας ἢ μᾶλλον φλυαρίας ἔχεται καὶ ὁ λεγόμενος Κρατίνης, οὗπερ ἐν τοῖς ἑξῆς

Digitized by Google

(Ι, ιή, 16) μνημονεύσομεν. —— ΕΔ. 9, ὅτι οὐ δεῖ προσθήκην κ. τ. λ.] Ὁ νοῦς, Πῶς ἄν τις δύναιτο τὸν ἐπιχειρήμασι καὶ συλλογισμοῖς καὶ ὅλως τῇ φραστικῇ δυνάμει προστετηκότα νέον, καὶ ἐπ' αὐτοῖς ἐπαιρόμενον, πεῖσαι, ὅτι τοῖς τοιούτοις ἐνδιατρίβειν προσήκει μετρίως, ὥστε προσθεῖναι αὐτὰ ἑαυτῷ, ἀλλ' οὐχὶ καὶ προσθήκην ἐκείνοις αὐτὸν γενέσθαι, τουτέστιν ἐπὶ τοσοῦτον προσκολληθῆναι, ὥστε τῆς φιλοσοφίας, ὅπερ ἐςὶ τῆς περὶ τὴν ἀρετὴν σπουδῆς, ἀμελῆσαι; —— ΕΔ. 11, Τί οὖν; Πλάτων κ. τ. λ.] Ἀνυποβάλλων ταῦτα ὁ νέος πρὸς τὸν Ἐπίκτητον λέγει· Οὐκ ἦν ὁ Πλάτων καὶ φιλόσοφος, καὶ τὴν φραστικὴν δύναμιν εἰς ἄκρον κατέχων; Ἱπποκράτης, ἰατρὸς ἅμα, καὶ φραστικός; Καὶ ὁ Ἐπίκτητος πρὸς αὐτὸν, Μὴ μίγνυε (φησὶ) πράγματα, ἄλλως ἐπ' ἐκείνων συνδραμόντα, τουτέστι δὲ ἄλλας αἰτίας ἐκείνοις συμβάντα. —— ΕΔ. 12, συνδραμόντα;] ΔΓ (προσγεγραμμένη τῷ ἐμῷ ΤΡ.) συνδεδραμηκότα. —— ΕΔ. 13, ἐπεί τις φιλόσοφος... καὶ φιλόσοφος.] Ὀρθῶς ὁ πρὸ ἐμοῦ εἶπασε, ἀντὶ τοῦ τελευταίου Φιλόσοφος, γεγράφθαι πάλαι, Ἰσχυρός. —— ΕΔ. 14, ἔδει ὑμᾶς καὶ χωλοὺς γενέσθαι;] ὥσπερ ἐγὼ; καὶ πένητας δὲ; καὶ δούλους δὲ; καθὰ δηλοῖ καὶ τὸ φερόμενον εἰς Ἐπίκτητον ἐπίγραμμα·

Δοῦλος Ἐπίκτητος γενόμην, καὶ σώματι πηρὸς,
Καὶ πενίην Ἶρος, καὶ φίλος ἀθανάτοις.

—— ΕΔ. 15, ἀναιρῶ.] ΔΓ (προσγεγραμμένη καὶ ἐν τῷ ἐμῷ ΤΡ.) ἀναιρεῖς. —— ΕΔ. 16, τί ἐστιν ἀγαθόν.] Γραπτέον τί ἐστι τἀγαθόν, ἐνάρθρως, καθάπερ εἶπασεν ὁ πρὸ ἐμοῦ.

ΚΕΦΑΛΑΙΟΝ Θ', Ἐν τῇ ἐπιγραφῇ τοῦ παρόντος κεφαλαίου, ἀντὶ τοῦ ἐπέλθοι, τὸ ἐμὸν ΤΡ φέρει προσγεγραμμένην ΔΓ, παρέλθοι. —— ΕΔΑΦΙΟΝ 1, ἀλλ' ὅτι Κόσμιος;] Ἐμνημόνευσε καὶ Πλούταρχος (Περὶ φυγ. § 5) τοῦτο περὶ Σωκράτους· « Ὁ δὲ Σωκράτης βέλτιον, οὐκ » Ἀθηναῖος, οὐδὲ Ἕλλην, ἀλλὰ Κόσμιος εἶναι φήσας, ὡς ἄν τις Ῥόδιος » εἶπεν, ἢ Κορίνθιος· » ὧν ὁ νοῦς (καὶ γὰρ ἠπόρηταί τισι) οὗτός ἐστι· Κόσμιον εἴρηκεν ἑαυτὸν ὁ Σωκράτης, πλάσας ἐθνικὸν (παρὰ τὸ Κόσμος) ὄνομα, ὥσπερ ἄν εἴ τις ἐν Ῥόδῳ γεγονὼς, ἔλεγε Ῥόδιος εἶναι (ἀπὸ τῆς Ῥόδου), ἢ ἐν Κορίνθῳ, Κορίνθιος (ἀπὸ Κορίνθου). —— ΕΔ. 3, Ἀθηναῖον ΚΑΙ Κορίνθιον.] Γραπτέον διαζευκτικῶς, Ἢ. —— ΕΔ. 7, ἐν ἀσφαλείᾳ διάγοντας εἶναι, καὶ ἀκαταφρονήτους.] ΔΓ (γνησιωτέρα ἴσως), ἐν ἀσφαλείᾳ διάγοντας καὶ ἀκαταφρονήτως. —— ΕΔ. 9, τὸν

Digitized by Google

δὲ φιλόσοφον. .. ἀποδημεῖν.] Τοὺς ἐκ Ῥώμης καὶ ἀλλαχόθεν ἥκοντας εἰς Νικόπολιν, Ἐπικτήτῳ μαθητεύσοντας νέους σημαίνει· ἐξ ὧν οὐκ ὀλίγους εἰκὸς οὔτ' οἴκοθεν κεχορηγῆσθαι, καὶ ἐπὶ ξένης οὐκ ἔχειν πορίσασθαι τὰ ἐπιτήδεια. —— ΕΔ. 10, τὸν πρεσβύτερον] ἐμὲ τὸν διδάσκαλον ὑμῶν. —— ΕΔ. 11, ἀκιαρὰ καὶ ΑΣΤΕΚΤΑ.] ΗΔ, ἀντὶ τοῦ ἄχρηστα, ἢ τῆς ΔΓ ΑΣΤΑΚΤΑ, ἀφ' ἧς ὁ πρὸ ἐμοῦ ὁρμώμενος, ἔγραψεν, Ἀβάστακτα. Μακρῷ πιθανώτερον ἔδοξέ μοι τρέψαι τὴν ΔΓ εἰς τὸ ΑΣΤΕΚΤΑ. « Ἄστεκτος, ἀφόρητος, ἀβάστακτος » φησὶν Ἡσύχιος. —— ΕΔ. 12, εἴ τις ἄρα ἦν] εἰ λόγου τινὸς ἄξιος ἦν ὁ διδάσκαλος ὑμῶν καὶ παιδευτὴς, Ἐπίκτητος, ὡς ὀρθῶς ἐξηγήσατο ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 20, διατί τοὺς πολλὰ κεκτημένους κ. τ. λ.] ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου. —— ἢ τοὺς ἐν δυνάμει τεταγμένους.] Τὸ ῥῆμα, Δείσει; προσθετέον εἶναι εἶπεν οὐκ ἀπιθάνως ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 26, ὡς κοιλίαι, ὡς ἔντερα] οἵους ἐστὶν ἰδεῖν οὐκ ὀλίγους, οὐδὲν ἕτερον ὄντας ἢ κοιλίας καὶ ἔντερα. —— Ὅτι φοβούμεθα, ὅτι ἐπιθυμοῦμεν.] Ἴσως γραπτέον, Οὕτω φοβούμεθα, οὕτως ἐπιθυμοῦμεν, καθάπερ εἶπαν οἱ πρὸ ἡμῶν. —— ΕΔ. 27, διάγων ἐνταῦθα] ἐν Νικοπόλει. —— ΕΔ. 29, Οὕτω καὶ Ῥοῦφος] Μουσώνιος Ῥοῦφος, ὁ διδάσκαλος Ἐπικτήτου. —— ὑπὸ τοῦ δεσπότου] τοῦ Ἐπαφροδίτου. —— ΕΔ. 30, ἐκεῖνον παρακαλῶ... δυνάμενος;] Οὐ πάνυ τι σαφὲς τὸ χωρίον, οὐδὲ σαφέστερον αὐτὸ πεποιήκασιν οὔθ' οἱ τὸ Παρακαλῶ εἰς τὸ Παρακαλῇ, οὔθ' οἱ τὸ Δυνάμενος εἰς τὸ Δυναμένου τρεπτέον εἶναι εἰκάσαντες. Τὸ μὲν γὰρ Δυνάμενος, τῆς γε γραφῆς κατὰ χώραν μενούσης, ἀναφέρεται πρὸς τὸν Ῥοῦφον· μεταποιουμένης δὲ εἰς τὸ παρακαλῇ (ἢ παρακαλεῖς) εἰς τὸν Ἐπίκτητον. Εστι καὶ ἄλλη εἴτε ΔΓ, εἴτε διόρθωσις, ἐν τῷ ἐμῷ ἀντιτύπῳ ΤΡ. κατ' αἰτιατικὴν, Δυνάμενον (πρὸς τὸν Ἐπαφρόδιτον δηλονότι). —— ΕΔ. 33, ξέστην αἱματίου.] Περὶ τῆς φωνῆς, Ξέστης, ταῦτα λέγει ὁ Ἐτυμολόγος (σελ. 610), « Ῥωμαϊκόν ἐστι τὸ ὄνομα· τὸν γὰρ παρ' ἡμῖν Ἑξ ἀριθμὸν αὐτοὶ » λέγουσι Σέξ· καὶ μέτρου τινὸς παρ' αὐτοῖς τὸ Ἕκτον λέγεται » Σέξτον. Διὰ δὲ εὐφωνίαν τὸ Σέξτης λέγεται Ξέστης κ. τ. λ. » Ἐχώρει δ' ὁ Ξέστης δύο κοτύλας Ἀττικάς.

ΚΕΦΑΛΑΙΟΝ ί, ΕΔΑΦΙΟΝ 2, τὸν νῦν ἐπὶ τοῦ σίτου.] Ἔν τινι τῶν ἀντιγράφων προσγέγραπται ἐξήγησις, Τὸν ὡριάρχην, λέξις σύνθετος τοῦ παρακμάζοντος Ἑλληνισμοῦ, ἐκ τοῦ Ὡρεῖον (παρὰ τὸ

Digitized by Google

Ῥωμαϊκὸν *horreum*) καὶ τοῦ Ἄρχω. Καὶ ἔστιν ὁ ἐπὶ τοῦ σίτου, ἡ Ὡριάρχης, ἡ Ἀρχων τοῦ ὡρείου, ὃν οἱ Γάλλοι καλοῦσι commissaire des vivres. Ὡρεῖα δὲ καὶ Ὡρρεῖα, καὶ Ὥρια, ἔλεγον οἱ Γραικορωμαῖοι τὰ σιτοφυλάκια (greniers). —— ὅτε ταύτῃ παρῆγεν] ὅτε εἰς Ῥώμην ἐπορεύετο.——ΕΔ. 5, παρὰ Καίσαρος πινακίδες.] Τὴν δέλτον (brevet) ἢ τὸ γράμμα λέγει, ἐν ᾧ ἐπὶ τοῦ σίτου καθίστη αὐτὸν ὁ Καῖσαρ. —— ΕΔ. 8, τίνα ἐπαναγνῶναί με δεῖ] τίνα ὀφείλω ἐπαναγνῶναι ἀπὸ τῆς καθέδρας τοῖς μαθηταῖς. —— πῶς ὁ δεῖνα ἀναγνῷ ;] πῶς οὗτος ἢ ἐκεῖνος τῶν μαθητῶν, ἐμοῦ ἐπαναγινώσκοντος ἀκούσας, ἀναγνώσεται καὶ αὐτός. —— ΕΔ. 10, ἐντευξίδιον] Αἴτησις ἔγγραφος βασιλεῖ ἢ τινι τῶν μέγα δυναμένων προσφερομένη· παρὰ τὸ Ἐντυγχάνειν. Καλεῖται καὶ Ἀξίωμα (un placet) παρὰ τὸ ἀξιοῦν. —— ποίαν τινα χώραν ἐν αὐτῷ] ἐν τῷ κόσμῳ. ΔΓ, ἐν αὐτῇ (τῇ τοῦ κόσμου διοικήσει).

ΚΕΦΑΛΑΙΟΝ ιά, ΕΔΑΦΙΟΝ 2, ΠΩΣ ΤΙ ΟΥΝ χρὴ τῷ πράγματι;] Ἐδίστασαν εὐλόγως οἱ πρὸ ἡμῶν περὶ τῆς τάξεως τῶν μορίων· ἐχρῆν γὰρ τετάχθαι, Τί οὖν; πῶς χρὴ τῷ πράγματι· Ἴσως ἐγέγραπτο πάλαι, Πρὸς τί οὖν κ. τ. λ. Ἴσως δὲ καὶ συνθέτως, ΠΩΣΤΙΟΥΝ, ἀνάλογον τοῦ συνημμένως γραφομένου Ὁπωστιοῦν. Καὶ καθάπερ τοῦτο σημαίνει το Τρόπῳ δή τινι, οὕτω τὸ ἐν ἐρωτήσει ἰσοδυναμήσει τῷ, Τίνι δὴ τρόπῳ; —— ΕΔ. 10, περὶ τῶν κατὰ φύσιν] Ἴσως ἐγέγραπτο, « περὶ τῶν κατὰ φύσιν καὶ τῶν παρὰ φύσιν » ὡς εἴκασαν οἱ πρὸ ἐμοῦ. —— ΕΔ. 11, χυμῶν.] ΗΔ, ΑΤ, χυλῶν. Τοῦτο μὲν γὰρ ἐστι, suc ἢ jus, ὁ δὲ χυμὸς τὸ saveur σημαίνει· « Χυλὸς... ὑγρῶν (γρ. ὑγρὸν) ἐκπίεσμα » φησὶν Ἡσύχιος, καὶ « Χυμοί, γεύσεις » —— ΕΔ. 12, καὶ ΜΗΝ Ἰουδαίοις κ. τ. λ.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφήν, ἀντὶ τοῦ ΝΥΝ. —— ΕΔ. 13, ἐστι τὰ Αἰγυπτίων.] ΗΔ, ΑΤ, ἐστιν Αἰγυπτίων. —— ΕΔ. 15, οὐδ' ἐπ' ἄλλῳ τινὶ τὴν γνώμην ἕξεις, ἢ ὅπως τὸ κριτήριον τῶν κατὰ φύσιν καταμάθῃς, καὶ τούτῳ προσχρώμενος διακρίνῃς.] ΔΓ, « οὐδὲ κατ' ἄλλο τι τὴν γνώμην » ἕξεις, ἢ ὅπως τὸ κριτήριον ἐκεῖνα καταμάθῃς, ᾧ προσχρώμενος » διακρινεῖς. » —— ΕΔ. 16, τοσαῦτα.] Ἐκ ΔΓ, ΑΤ (ἐνάρθρου), τὰ τοσαῦτα. —— ΕΔ. 27, σπόγγων δεῆσαι] βεβριγμένων ὄξει, ἢ ἑτέρῳ τινὶ ὑγρῷ τῶν ἀναληπτικῶν. —— ΕΔ. 30, οὐδέν. Εἰ δ' ἄλλως ἡμῖν ἐφάνη κ. τ. λ.] ΗΔ, ἀντὶ τοῦ, οὐδέν. Ἂν δ' ἄλλως ἡμῖν ἐφάνη. Ἡ ἀρχαία γραφὴ ἐνέλιπε τῇ πρώτῃ λέξει (οὐδέν) ἣν οἱ πρὸ ἡμῶν ἐξ ἀντι-

Digitized by Google

γράφων παρειλήφασι. —— ΕΔ. 32, οὐκ ἀπελεύσῃ.] ΗΔ, ΑΤ, οὐκ ἂν ἀπελεύσῃ. —— ΕΔ. 36, ταὐτό.] Ἐκ ΔΓ, ΑΓ, ταὐτόν.

ΚΕΦΑΛΑΙΟΝ ιβ', ΕΔΑΦΙΟΝ 1, οἱ μέν τινές εἰσι λέγοντες.] Ὁ πρὸ ἐμοῦ προσείληφε καὶ δεύτερον ἄρθρον ἐξ ἀντιγράφων· « οἱ μέν τινές εἰσιν οἱ λέγοντες, » ὅπερ ἔμοι γε πλεονάζειν, μηδὲν δέον, ἔδοξε. —— ΕΔ. 2, ἀνθρωπίνων.] Ἐκ ΔΓ, προσεγεγραμμένης τῷ ἐμῷ ΤΡ (οὕτως ἀνεγνωκότος καὶ τοῦ Στοβαίου, Ἐκλογ. φυσικ. σελ. 8), ΑΓ, οὐρανίων. —— οὐχὶ δὲ κατ' ἰδίαν.] Ἐκ ΔΓ, ΑΤ (διπλῷ συνδέσμῳ), καὶ οὐχὶ δὲ κατ' ἰδίαν. —— ΕΔ. 3, Οὐ δέ σε λήθω κινύμενος.] Ὀδυσσεύς ἐστιν ὁ ταῦτα λέγων, παρὰ τῷ Ποιητῇ (Ἰλιάδ. ή, 279), πρὸς τὴν Ἀθηνᾶν. —— ΕΔ. 6, διάδοσις εἰς ἀνθρώπους.] ΔΓ, διάδοσις τοῖς ἀνθρώποις. —— ΕΔ. 18, συνόντας αὐτοὺς κ. τ. λ.] Ἐκ ΔΓ, ΑΤ συνόντας αὐτοῖς. Ὁ νοῦς, Συνόντας [ἐκείνοις] ἡμᾶς, ἐκείνους ἀλλάξαι; ὥσπερ ἐνόησε καὶ ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 23, Βάλε.] ΗΔ, ΑΤ (κατ' ἐνεστῶτα), Βάλλε. Ἀορίστου γὰρ ὧδε χρεία, ᾧ καὶ ἐν τοῖς ἑξῆς (II, έ, 17) χρήσεται. —— ΕΔ. 24, σκέλος οὖν μοι κ. τ. λ.] Ἑαυτὸν ὧδε αἰνίττεται ὁ Ἐπίκτητος. —— ΕΔ. 30, προσαγόντων.] Εἰσὶν οἳ, προσαγομένων, παρήνεσαν γράφειν. Ἀλλ' ἔστιν ὧδε τὸ Προσάγειν ἀμεταβάτως ἐκλαβεῖν, ἐφ' ἧς ἐννοίας παρείληπται πολλάκις τὸ Ὑπάγειν. —— ΕΔ. 31, Ὅτι ΣΕ ΕΠΑΝΩ τούτων ἀφῆκαν.] Ἴσως ἐγέγραπτο πάλαι, « Ὅτι Σ' ΑΝΥΠΕΥΘΥΝΟΝ τούτων ἀφῆκαν· » καθάπερ ὑπονοεῖν παρέχει τὰ ἐχόμενα. Ἔστι δὲ καὶ ἐτέρως γράφειν· « Ὅτι σε ἐπάνω τούτων ἔθηκαν. »

ΚΕΦΑΛΑΙΟΝ ιγ', ΕΔΑΦΙΟΝ 1, Πυθομένου.] ΔΓ, Πυνθανομένου. —— ΕΔ. 2, ἢ μηδ' εὑρεθῇ] ὁ παῖς. —— μηδὲ ὀήγνυσθαι] ὑπὸ τοῦ θυμοῦ καὶ τῆς ὀργῆς. Μεταφορικῶς, καθὰ καὶ ἐν τῇ συνηθείᾳ ἐπὶ παραπλησίας ἐννοίας χρώμεθα τῷ συνωνύμῳ τοῦ Ῥήγνυμι, Σκῶ (παρὰ τὸ Σχάω) καὶ Σκάζω (παρὰ τὸ Σχάζω)· οἷον Ἔσκασα ἀπὸ τὸ κακόν μου, τουτέστιν, ἐῤῥάγην ὀργιζόμενος ἢ λυπούμενος. Καὶ καταρώμενοι δέ, Νὰ σκάσῃς! φασὶν οἱ καταρᾶσθαι φιλοῦντες, κατὰ τὸ παρὰ τοῖς ἀρχαίοις, Διαῤῥαγείης! (Ἀριστοφ. Πλούτ. 279). —— ΕΔ. 5, νόμους τοὺς τῶν νεκρῶν] τοὺς τῶν ἀνθρώπων, ὥσπερ ἂν εἰ ἔλεγε καὶ τοὺς τῶν ἀφρόνων καὶ ἀλογίστων κατὰ τὰ ἄψυχα σώματα. Τοιοῦτόν ἐστι τὸ « Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς » (Ματθ. ή, 22.). Ὁ δὲ Κωμικὸς καὶ « Ἄνω νεκρούς » κατὰ παιδιὰν ὠνόμασε (Βατρ. 420) τοὺς ζῶντας, πρὸς ἀντιδιαστολὴν τῶν ὑπὸ γῆν νεκρῶν.

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ ιδ', ΕΔΑΦΙΟΝ 12, τὸν ἑκάστου δαίμονα,] τὸν ἑκάστου νοῦν καὶ λόγον. Παρατίθει τούτοις τὰ τοῦ Μάρκου Ἀντωνίνου (ε, 27) —— ΕΔ. 13, Τίνι γὰρ ἂν ἄλλῳ... παραδέδωκεν κ. τ. λ.] Προσέθηκα τὸν συνητικὸν, προσθετέον εἶναι κρινάντων καὶ τῶν πρὸ ἐμοῦ. Ἴσως δὲ καὶ τὸ ῥῆμα κατ' ἀόριστον ὤφειλε γράφεσθαι, Παρέδωκεν. —— ΕΔ. 17, ἐνταῦθα δ', αὐτοὺς ἁπάντων] καὶ τῶν μὲν στρατιωτῶν ὁ ὅρκος ἐπαγγέλλεται τὴν Καίσαρος σωτηρίαν τῆς ἑαυτῶν πριτιμήσειν· ὁ δὲ ἑνὸς ἑκάστου ὑπὲρ ἑαυτοῦ ὅρκος οὗτος ὀφείλει εἶναι, Πριτιμήσειν ἁπάντων τὴν ἑαυτοῦ ψυχὴν, τουτέστι μηδὲν παρὰ τὸν ὀρθὸν λόγον πράξειν, χαριζόμενον, ἢ ἀγενῶς ὑπείκοντα ἑτέρῳ.

ΚΕΦΑΛΑΙΟΝ ιέ, ΕΔΑΦΙΟΝ 2, τῆς περὶ τὸν βίον τέχνης] ἣν ἐνὶ ὀνόματι ὁ Ἀντωνῖνος (Ζ', ξά) Βιωτικὴν ὠνόμασε. —— ΕΔ. 4, Τὸ ἐκείνου, ἐν ᾧ εἰμί.] Τοῦτο ἡ φιλοσοφία λέγει· Τηρήσω τὸ ἡγεμονικὸν ἐκείνου τοῦ ἀνδρὸς, ἐν ᾧ εἰμὶ, ὃς ἐπαγγέλλεται φιλόσοφος εἶναι. —— ΕΔ. 6, Ἔτι τοῦτο ζητῶ.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ἀνθ' ἧς ὁ πρὸ ἐμοῦ παρείληφεν ἐξ ἀντιγράφων τὴν : ὅτι, τοῦτο ζητῶ. —— ΕΔ. 7, οὐδ' ὁ βότρυς.] Περιττὸν τὸ ἄρθρον. Γράφε : οὐδὲ βότρυς. —— Ἄφες ἀνθήσῃ πρῶτον.] Ἐλλειπτικῶς τοῦ Ἵνα· Ἄφες ἢ ἀνάμεινον, ἵνα ἀνθήσῃ. Ἔνθεν ἡ παρ' ἡμῖν συνήθεια συνελοῦσα, εἰς μόριον προστακτικὸν μετεποίησε τὸ ῥῆμα, Ἂς ἀνθήσῃ πρῶτα, λέγουσα. Ἴδε τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μερ. 3, Αὐτ. στοχ. με'-μζ') πλετύτερον περὶ τούτου σημειωθέντα.

ΚΕΦΑΛΑΙΟΝ ις', ΕΔΑΦΙΟΝ 3, περὶ ἑαυτῶν.] ΕΚ ΔΓ, ΑΤ, περὶ αὐτῶν. —— ΕΔ. 5, καὶ ῥάβδῳ.] Γραπτέον, οἶμαι καὶ μιᾷ ῥάβδῳ. —— ΕΔ. 6, Νῦν δ' ἡμεῖς ἀφέντες κ. τ. λ.] Τοῦτο οὕτως ἐξηγήσαντο οἱ πρὸ ἡμῶν : Νῦν δὲ ἀμελήσαντες τοῦ εὐχαριστεῖν τῷ Θεῷ ἐπὶ τῷ μὴ καὶ τῶν ζώων τὴν ἐπιμέλειαν ἡμῖν αὐτὸν ἀναθεῖναι, ἐγκαλοῦμεν αὐτῷ ἐφ' ἑαυτοῖς, τουτέστι ἐπὶ τῷ κοπιᾶν καὶ πράγματα ἔχειν ἐπιμελουμένους ἡμῶν αὐτῶν. —— ΕΔ. 7, ΕΝ τῶν γεγονότων.] Γραπτέον, οἶμαι, ΕΝ ΤΙ. —— ΕΔ. 10, τῶν ἐπὶ γενείου.] Γραπτέον, οἶμαι, τῶν ἐπὶ τοῦ γενείου —— ΕΔ. 14, Διὰ τοῦτο ἔδει σώζειν τὰ σύμβολα τοῦ Θεοῦ,] τὸ γένειον, μὴ ξυρῶντας αὐτό. Τὸ γὰρ ξυρᾶσθαι οὐκ ἦν ἀρχαῖον, ἀλλ' ἐν τοῖς κατ' Ἀλέξανδρον χρόνοις ἤρξατο, ὥς φησιν ὁ Στωϊκὸς Χρύσιππος (παρ' Ἀθην. σελ. 565), « Τὸ ξύρεσθαι τὸν πώγωνα κατ' » Ἀλέξανδρον προῆκται, τῶν πρώτων οὐ χρωμένων αὐτῷ· καὶ γὰρ » Τιμόθεος ὁ αὐλητὴς πώγωνα μέγαν ἔχων ἠύλει· καὶ ἐν Ἀθήναις

Digitized by Google

» διατηροῦσιν οὐ σφόδρα ἀρχαῖον τὸν πρῶτον προσκειράμενον (γρ. » κειράμενον) παρωνύμιον ἔχειν (γρ. σχεῖν) Κόρσην. » —— ΕΔ. 15, Καὶ τίς ἐξαρκεῖ λόγος ΟΙΚΕΙΩΣ αὐτὰ ἐπαινέσαι] ΗΔ, ἀντὶ τοῦ ΟΜΟΙΩΣ. Ἔστι δὲ τὸ Οἰκείως, πρεπόντως, προσηκόντως καὶ κατ' ἀξίαν. —— ΕΔ. 20, ἐποίουν ἂν τὰ τῆς ἀηδόνος.] ΗΔ ἡ προσθήκη τοῦ συνητικοῦ.

ΚΕΦΑΛΑΙΟΝ ιζ', Ὅτι ἀναγκαῖα τὰ Λογικά.] Ἐλλειπτικῶς τοῦ μαθήματα, τουτέστιν ἡ Λογικὴ τέχνη. —— ΕΔΑΦΙΟΝ 4, Ναί· ἀλλ' ἐπείγει μᾶλλον θεραπεύειν, καὶ τὰ ὅμοια.] Οὐκ ἐῤῥῶσθαι τὸ χωρίον ἔδοξε τοῖς πρὸ ἐμοῦ, κἀμοὶ συνδοκεῖ. Προσυπακούειν δεῖ τῷ Θεραπεύειν ᾠήθησάν τινες τὸ Ὁρίξεις, Πάθη, ἢ Δόγματα. —— ΕΔ. 6, προτάσσουσι τὰ λογικά.] Ἐν τῷ ἐμῷ ἀντιτύπῳ ΤΡ. σόζεται τὸ ἄρθρον ἐντετυπωμένον ἐν αὐτῷ τῷ κειμένῳ, οὐ χειρὶ γεγραμμένον· ὅπερ ἔλαθε τὸν πρὸ ἐμοῦ, καίπερ ἀναγκαίαν κρίναντα τὴν παρουσίαν τοῦ ἄρθρου. Ὁ δὲ νοῦς, Πρὸ τῶν ἄλλων μαθημάτων τάσσουσι τὴν Λογικήν, ἀπὸ τῆς Λογικῆς ἄρχονται (Ἴδε Διογ. Λαερτ. VII, 40) —— ΕΔ. 7, μηδὲ διαλάβωμεν πρῶτον, τί ἐστι μόδιος.] Διαγραπτέα μοι ἐδόξαν τὰ τούτων ἐχόμενα, ἅπερ ἀστερίσκοις δεείληφα. Ὁ δὲ Μόδιος (ὅθεν τὸ τῶν Γάλλων muid) εὕρηται καὶ οὐδετέρως, Τὸ μόδιον, ὃ καὶ μόνον ἔσωσεν ἡ συνήθεια. —— ΕΔ. 8, ἀκριβῶς καταμαθεῖν.] Ἐκ ΔΓ (προσγεγραμμένης κἂν τῷ ἐμῷ ἀντιτύπῳ ΤΡ.) ΑΤ, ἀκριβῶσαι καὶ καταμαθεῖν. —— ΕΔ. 12, περὶ τίνος γράφει Ξενοφῶν, ὅτι κ. τ. λ.] Ἐν τοῖς Ἀπομνημονεύμασιν (Α, Ι, ις'. Γ, XIV, 7. Δ, V, 12, VI, 1). —— ΕΔ. 13, νοῆσαι Χρύσιππον ἢ ἐξηγήσασθαι.] Παρατίθει τούτοις τὰ ἐν τῷ Ἐγχειριδίῳ (XLIX). —— τὸ βούλημα τῆς φύσεως.] Ἐπιθυκαὶ αὖθις τὸ Ἐγχειρίδιον (XXVI), καὶ τὸν Μάρκον Ἀντωνῖνον (Δ', μϑ'). —— ΕΔ. 16, ΑΧΘΟΜΑΙ μὴ ΝΟΩΝ κ. τ. λ.] ΗΔ, ἀντὶ του ΑΡΧΟΜΑΙ μὴ ΝΟΕΙΝ. Ὁ νοῦς: Λυποῦμαι διὰ τὸ μὴ νοεῖν μηδὲ γινώσκειν ἃ λέγει Χρύσιππος. —— ΕΔ. 18, ὅτι δι' ἐκείνων σημαίνεται] ὅτι διὰ τῶν σπλάγχων σημαίνεται τὰ μέλλοντα. —— ΕΔ. 19, τὸν σημαίνοντα] τὰ μέλλοντα. —— ΕΔ. 22, ἐπὶ τοῦ συγκαταθετικοῦ τόπου.] Οὗτός ἐστιν ὁ τρίτος τῶν τριῶν τόπων, περὶ ὧν ἐν τοῖς ἑξῆς (III, β', 1-2) ἐρεῖ. —— ΕΔ. 24, ἐπὶ δὲ τοῦ ὀρεκτικοῦ καὶ ὁρμητικοῦ,] τοῦ πρώτου καὶ δευτέρου τόπου. —— ΕΔ. 25, Ἄν μοι προσάγῃ... ΑΝΑΓΚΑΣΕΙ με.] ΗΔ, ἀντὶ τοῦ ΑΝΑΓΚΑΖΕΙΣ με. ΔΓ, ἀναγκάζει με: ἀναγκάζει σε· Οἱ πρὸ ἐμοῦ ἀπεδείξαντο τὸ δευτεροπρόσωπον, διὰ τὸ καὶ τὸ πρὸ τούτου, Προσάγῃ,

Digitized by Google

δεύτερον ἐκλαβεῖν μέσου ῥήματος πρόσωπον, οὐκ ὄν, ἔμοι γε δοκεῖν δεύτερον, ἀλλὰ τρίτον ἐνεργητικοῦ τοῦ Προσάγειν. Ἐάν τις, φησὶ, ἐπαπειλῇ μοι θάνατον, ἀναγκάσει με ποιῆσαι ὃ οὐκ ἠβουλόμην. —— Οὐ τὸ προσαγόμενον κ. τ. λ.] οὐχ ὁ ἐπαπειλούμενος θάνατος, ἀλλ' ὃ ἔχεις δόγμα περὶ θανάτου, ὡς ὄντος δεινοῦ (Ἐγχειρίδ. V).

ΚΕΦΑΛΑΙΟΝ ιή, ΕΔΑΦΙΟΝ 2, οὕτω καὶ τοῦ ὁρμῆσαι ἐπί τι, τὸ παθεῖν ὅτι ἐμοὶ συμφέρει.] Οὐκ ἀλόγως ὑπενόησεν ὁ πρὸ ἐμοῦ, μήποτε ἐξερρύη τι τοῦ χωρίου, οὕτως ἐχούσης πάλαι τῆς γραφῆς· « Οὕτω καὶ τοῦ ὁρμῆσαι ἐπί τι, τὸ παθεῖν ὅτι καθῆκον· καὶ τοῦ » ὀρέγεσθαί τινος, τὸ παθεῖν ὅτι ἐμοὶ συμφέρει. » —— ΕΔ. 6, Μηδαμῶς] μηδαμῶς οὕτω λέγε, ὅτι οὐ δεῖ ἀπολωλέναι. —— ΕΔ. 9-11, ἐλέει αὐτὸν... Θαυμάζομεν ὧν κ. τ. λ.] Τὰ ἐν τοῖς ἀντιγράφοις τοῦ χωρίου τούτου οὐκ ὀλίγα χάσματα, ἴσως δι' ὀλίγων ἐςὶν ἀναπληροῦν καὶ συνδέειν οὕτως, ὥσπερ ὑπῳόει καὶ ὁ πρὸ ἐμοῦ· « ἐλέει αὐτὸν » μᾶλλον. [Ἄφες] τοῦτο τὸ προσκοπτικὸν καὶ μισητικὸν, [καὶ] τὰς » φωνὰς ταύτας ἃς οἱ πολλοὶ [ἀφιᾶσι]. Τούτους οὖν τοὺς καταράτους » καὶ μι[σητούς]! Σὺ [δὲ] πῶς ποτ' ἀπεσοφώθης ἄφνω; [ὡς] χαλεπὸς εἶ. » Διὰ τί οὖν χαλεπαίνομεν; [διότι] Θαυμάζομεν ὧν ἡμᾶς ἀφαιροῦνται. » Μὴ θαύμαζέ σου τὰ ἱμάτια, κ. τ. λ. » —— ΕΔ. 10, ἀπεσοφώθης,] τουτέστι, Σοφὸς ἀπέβης, εἰς σοφὸν ἄνδρα μετεβλήθης· κατ' εἰρωνείαν δὲ εἴρηται. Ἡ δὲ λέξις (ἣν ἐν τοῖς ἀμφιλέκτοις, μηδὲν δέον, ἔταξεν ὁ Συεϊδέρος) τῆς Στωϊκῆς περιεργίας ἐςὶ γέννημα, κατὰ τὸ Ἀποκαισαρωθῆναι τοῦ Μάρκου Ἀντωνίνου (Ε', λ', σελ. 54). —— ΕΔ. 11, οὐ χαλεπανεῖς... καὶ τῷ μοιχῷ οὐ χαλεπανεῖς.] Ἐξ ΕΔ, μέρος δὲ καὶ ΔΓ, ΑΤ, οὐ χαλεπαίνεις... καὶ τῷ μοιχῷ οὐ χαλεπαίνεις. —— ΕΔ. 12, χαλεπανεῖς.] Καὶ αὖθις ἐξ ΕΔ καὶ ΔΓ, ΑΤ, χαλεπαίνεις. —— ΕΔ. 13, θέλεις αὐτὰ ψύξαι.] Ψύχειν κυρίως ἐςὶ τὸ εἰς τόπον ἀναπεπταμένον ἀέρι ἐκτιθέναι (aérer) τί· ἐκ τοῦ παρεπομένου δὲ καὶ τὸ ἐναντίον τῷ θερμαίνειν, ἔτι δὲ καὶ τὸ ξηραίνειν. —— ΕΔ. 15, παρὰ τοῖς θεοῖς] τοῖς ἑφεστίοις (les dieux Pénates) τοῖς ὑπὸ Ῥωμαίων Penates καὶ Lares καλουμένοις, οὓς ὁ Πλούταρχος (Κεφ. καταγρ. ῥωμ. § να') Λαρήτας ἢ Λάρητας (δέον Λάρεις) ἐξελληνίσας ὠνόμασε. Τούτοις τῶν Ῥωμαίων ἕκαστος παρατίθει κατ' οἶκον καὶ λύχνον, ὥσπερ οἱ χριστιανοὶ παρατιθέασι νῦν ταῖς τῶν ἁγίων εἰκόσι. —— ὀστράκινον εὑρήσεις.] Τὸν ὀστράκινον τοῦτον Ἐπικτήτου λύχνον ἱστόρηκεν ὁ Λουκιανὸς (Πρὸς ἀπαίδευτ. κ.

Digitized by Google

τ. λ. § 13, τόμ. VIII, σελ. 15), ὅτι τρισχιλίων δραχμῶν ἐπρίατό τις τῶν καθ' ἑαυτὸν πλουσίων. —— ΕΔ. 16, Μή τι κέρατα ἀλγεῖς;] Ἀλγῇς, ὑποτακτικῶς, γραπτέον εἶναι, οἴεται ὁ πρὸ ἐμοῦ. Ὁ νοῦς, Ἀλγεῖς ἦν ἐκ φύσεως ἔχεις κεφαλὴν (οὐχ ἅπερ οὐκ ἔχεις κέρατα), ἢ καὶ αὐτῇ φύσει ἀλγεῖν ἐσθότε συμβαίνει; Αἰνίττεται δέ, ὡς φασιν οἱ κριτικοὶ, τὸν Κερατίνην, σόφισμα οὕτω καλούμενον (Διογ. Λαερτ. VII, 187) καὶ προβαλλόμενον ἐπὶ λέξεως, « Εἴ τι οὐκ ἀπέβαλες, » τοῦτο ἔχεις· κέρατα οὐκ ἀπέβαλες· κέρατα ἄρα ἔχεις. » —— ΕΔ. 19, ἀλλὰ ἔσωθέν ΓΕ μὴ στενάξῃς.] ΗΔ (ἦν ὑπετόπασε καὶ ὁ πρὸ ἐμοῦ) ἀντὶ τοῦ ΤΟΙ. ΔΓ, ἀλλὰ ἔσωθεν μὴ στενάξῃς: ἀλλὰ ἔσωθέν τε μὴ στενάξῃς. (Ἴδε καὶ Ἐγχειρίδ. XVI) —— τὸν ἐπίδεσμον.] Λέξις ἰατρικὴ ὁ Ἐπίδεσμος, καὶ οὐδετέρως, τὸ Ἐπίδεσμα (bandage) —— ΕΔ. 20, οὐ γὰρ ὡς ὄνον ἀήττητον εἶναι δεῖ.] Συνῆκεν ὁ πρὸ ἐμοῦ, τὸν Ἐπίκτητον ἐνθάδε τὸν παρὰ τῷ Ποιητῇ ὄνον αἰνίττεσθαι. Ἔστι δὲ τὰ ἔπη ἐν τῇ Λ ῥαψῳδίᾳ (Ἰλιάδ. λ', 558-562). —— ΕΔ. 21, ἐξεβίασε τὸν πρῶτον κλῆρον.] ΔΓ, ἐξεβίβασε κ. τ. λ. Ὁ νοῦς, Ἐνίκησε τὸν πρῶτον αὐτῷ ἀναδεδειγμένον διὰ κλήρου ἀνταγωνιστήν. —— ΕΔ. 23, ἂν καῦμα ᾖ τούτῳ;] Ἀνωτέρω μὲν τὸ Καῦμα (τὸ ἐν Ὀλυμπίᾳ) τὴν ἀφ' ἡλίου σφοδρὰν θέρμην ἐδήλου· ἐνταῦθα δὲ τὸν πυρετὸν, Καῦμα γὰρ καὶ τοῦτον οἱ ἰατροὶ καλοῦσιν, ὡς καὶ τούτου τε γένος, Καῦσον. —— Οἰνωμένος.] Οὐ τὸν μεθύοντα, ἀλλὰ τὸν δαψιλέστερον πεπωκότα σημαίνει ἡ λέξις. Ἔλεγον γὰρ οἱ Στωϊκοὶ (Διογεν. Λαερτ. VII, 118) « Τὸν σπουδαῖον οἰνωθήσεσθαι μὲν, οὐ μεθυσθήσεσθαι δέ· ἔτι δὲ οὐδὲ μανήσεσθαι, προσπεσεῖσθαι μέντοι » αὐτῷ φαντασίας ἀλλοκότους, διὰ μελαγχολίαν κ. τ. λ. » Καὶ διορθούσθω ἀναπληρούμενος ἅμα καὶ ὁ Σουΐδας· οὕτω γὰρ κακῶς γέγραπται παρ' ἐκείνῳ (ἐν τῷ Ο στοιχείῳ) ταῦτα μόνα, « Οἰνωθήσεσθε μέν, οὐ μεθύσεσθε, » ἅπερ ἀδιόρθωτα κατέλιπεν ὁ Κυρίερος, καὶ ἀνεξήγητα, ἐπιλελησμένος τοῦ Στωϊκοῦ τοῦδε δόγματος. —— τί ἐν ὕπνοις.] Ἔοι γὰρ καὶ ἐκ τῶν ὀνείρων τεκμήρασθαι τοῦ ὀνειρώττοντος τὴν ψυχήν. Καὶ παρέθεντο τούτῳ μαρτύρια οἱ πρὸ ἡμῶν, τό τε τοῦ Ἀριστοτέλους (Ἠθ. Νικομ. Α, ιγ', σελ. 20), βελτίω λέγοντος γίγνεσθαι τὰ φαντάσματα τῶν ἐπιεικῶν ἢ τῶν τυχόντων, καὶ τὸ τοῦ ἀρχηγέτου τῆς Στωϊκῆς αἱρέσεως Ζήνωνος (Παρὰ Πλουτάρχ. Πῶς ἂν τις αἴσθοιτ. ἑαυτ. προκ. ἐπ' ἀρετ. § 12). « Ὅρα δὴ καὶ τὸ τοῦ Ζήνωνος ὁποῖόν » ἐστιν· ἠξίου γὰρ ἀπὸ τῶν ὀνείρων ἕκαστον ἑαυτοῦ συναισθάνεσθαι

Digitized by Google

» προκόπτοντος, εἰ μήτε ἡδόμενον αἰσχρῷ τινι ἑαυτὸν, μήτε τι » προσιέμενον ἢ πράττοντα τῶν δεινῶν καὶ ἀδίκων ὁρᾷ κατὰ τοὺς » ὕπνους κ. τ. λ. »

ΚΕΦΑΛΑΙΟΝ ιθ', ΕΔΑΦΙΟΝ 1, Ὅ, τι ἂν τινι προσῇ πλεονέκτημα.] Ἐκ διορθώσεως τοῦ πρὸ ἐμοῦ, ΑΤ, Ὅτι ἂν τινι προσῇ τι πλεονέκτημα. —— 2, Εὐθὺς ὁ τύραννος κ. τ. λ.] Τὸ Εὐθὺς ὧδε ἴσον δύνκται τῷ Παραδείγματος χάριν, καθάπερ καὶ ἐν τῇ τῶν Γάλλων φωνῇ ἐνίοτε τὸ d'abord. —— ΕΔ. 4, τὸ πινάκιον.] Ἡ συνήθεια καὶ Πινάκιον, καὶ θηλυκῶς, Πινακίδα καλεῖ· ἔτι δὲ καὶ Σκουτέλιον, οὐδὲ τοῦτο τῆς γλώσσης ἀλλότριον. Ἔστι γὰρ παρὰ τὸ Σκυτάλιον, ὡς ἐν ἄλλοις (Πλουτάρχ. Β. Μέρ. 6, σελ. 377) σεσημείωται. —— πάσσαλον πήσσω] τῷ τοίχῳ, ἵνα κρεμάσω τὴν λήκυθον. —— ΕΔ. 6, Πυρετοῦ βωμός.] Ἴδε τὸν Αἰλιανὸν (Ποικ. ἱστορ. ΙΒ', ια', σελ. 144). —— ΕΔ. 11, Τοῦτο οὐκ ἔστι φίλαυτον.] Ἔπιθι τὰ περὶ φιλαυτίας σοφῶς ἅμα καὶ σαφῶς εἰρημένα ὑπ' Ἀριστοτέλους (Ἠθ. Νικομ. Θ', ἡ, σελ. 178-181) —— ΕΔ. 13, καθόλου τε τοιαύτην τὴν φύσιν] ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου. —— Τῶν ἰδίων ἀγαθῶν] τῶν ἰδίων ἀνθρώπῳ, ἢ ἄνθρωπος· τούτων δὲ μέγιστον καὶ πρῶτον, τὸ κοινωνικὸν εἶναι· κοινωνίαν δ' ἄνευ δικαιοσύνης οὐκ ἔστι γενέσθαι. —— ΑΝ μή τι εἰς τὸ κοινὸν κ. τ. λ.] Ἐκ ΔΓ (προσγεγραμμένης τῷ ἐμῷ ΤΡ.) ἀντὶ τοῦ Εἰ. —— ΕΔ. 15, Καὶ πῶς.... ΠΑΣΙΝ ΕΣΤΑΙ, ἡ πρὸς ΕΑΥΤΑ οἰκείωσις.] Ἐκ ΔΓ, προσγεγραμμένων τῷ ἐμῷ ἀντιτύπῳ ΤΡ. ἀντὶ τοῦ, ΠΑΣΙΝ ΕΣΤΙΝ ἡ πρὸς ΑΥΤΑ. Ὀνοῦς, Καὶ πῶς ἔτι μία καὶ ἡ αὐτὴ ἀρχὴ καὶ ἡ πρὸς ἄλληλα σύνδεσις καὶ ἕνωσις διαμενεῖ· ἐπεὶ καὶ εἷς ἐστιν ὁ πάντων δημιουργὸς, καὶ πατήρ. —— ΕΔ. 17, τοὺς κοιτωνίτας.] Κοιτωνίτης, ἢ ᾧ ἐπὶ τοῦ κοιτῶνος, ἐστὶν ὁ τοῖς Γάλλοις καλούμενος Chambellan. Ἐλέγετο καὶ, καὶ Παράκοιτος, καὶ Παρακοιμώμενος, καὶ χυδαιέστερον Κοιτωνάριος. Ὁ δὲ Πλούταρχος (Ἀποφθ. Ἀρταξ.) Κατακοιμιστὴν αὐτὸν ὠνόμασε. —— Ἐπὶ τοῦ λασάνου ποιήσῃ] τῷ τοῦ Λασανοφόρου ἀξιώματι τιμήσῃ· ταύτης δὲ τῆς πολλοῖς ἀνδραπόδοις περισπουδάστου ἀξίας ἔργον ἦν τὸ λάσανον, τουτέστι τὸν ἀφοδευτήριον δίφρον (chaise percée) φέρειν χεζητιῶντι τῷ δεσπότῃ. —— ΕΔ. 18, κοιτῶνος.] Ἀποκαταστῆσαι ἴσως ὤφειλον τὴν ἀρχαίαν γραφὴν, κοπρῶνος, ἣν ἀπεδοκίμασαν οἱ πρὸ ἐμοῦ. Δηλοῖ δὲ ἡ συνέπεια, ὅτι συνωνύμως τῷ Λασάνῳ ἐκδεκτέον ἐνθάδε τὸ Κοπρῶνος, ὥσπερ ἂν εἰ ἔλεγε

Digitized by Google

καὶ Κοπροδοχείου. — Φρονίμως μοι λελάληκε Φηλικίων.] Πῶς γὰρ οὐ φρόνιμος ὁ τὸ λάσανον φέρων τῷ δεσπότῃ, καὶ πάλιν αὐτὸ κόπρου μεστὸν ἀποφέρων! Ἀφαιρεθεὶς δὲ τὴν ἀξίαν τοῦ κοπροφόρου, πῶς πάλιν οὐκ ἄφρων ἔσται ὁ αὐτὸς Φηλικίων! — Ἐπ. 19, Ἐπαφρόδιτος] ὁ Ἐπικτήτου δεσπότης. — Καισαριανῶν] τῶν τοῦ Καίσαρος φίλων, ὑπηρετῶν, ἢ ἄλλως ἐν τῇ Καίσαρος αὐλῇ ἀναστρεφομένων, καὶ δυναμένων τι παρ' ἐκείνῳ· ὥσπερ Ἡρωδιανοὶ ἐλέχθησαν τῷ Εὐαγγελιστῇ (Ματθ. κβ', 16) οἱ τῷ Ἡρῴδῃ προσκείμενοι. — Ἐπ. 20, Τί πράσσει... φιλῶ σε.] Λατινισμὸς (ὡς ἐσημειώσαντο οἱ πρὸ ἡμῶν) τὸ Φιλῶ σε, amabo te, ἴσον δυνάμενον, τὸ Δέομαί σου, Παρακαλῶ σε. — Ἐπ. 21, εἴ τις ἡμῶν ἐπύθετο] εἴ τις ἠρώτα ἡμᾶς τοὺς οἰκίτας, Τί ποιεῖ αὐτὸς (ὁ δεσπότης Ἐπαφρόδιτος), ἐλέγετο ὑφ' ἡμῶν (ἀπεκρινόμεθα αὐτῷ), ὅτι μετὰ Φηλικίωνος βουλεύεται. Τοῦτο δὲ ἀποκρίνεσθαι προστεταγμένον αὐτοῖς ἦν ὑπὸ τοῦ δεσπότου. — Ἐπ. 25, ἐκεῖ γὰρ καὶ θεοῖς... τιθέμεθα] Τοῦτο ἄλλως ἑτέρωθι (Ἐγχειριδ. XXXI, 4) ἐξέφρασεν· « Ὅπου γὰρ τὸ συμφέρον, ἐκεῖ » καὶ τὸ εὐσεβές » — Ἐπ. 26, ὑπὲρ ἱερωσύνης... Αὐγούστου.] Οἱ γὰρ τέως ἐλεύθεροι Ῥωμαῖοι, ἐπὶ τοσοῦτον ἦλασαν κολακείας, ὥστε καὶ ἱερὰ τοῖς αὐτῶν Καίσαρσιν ἀνεγείρειν, καὶ ἱερέας ἀποδεικνύναι. Καὶ τὴν ἱερωσύνην ταύτην πολλοὶ τῶν ἐπισήμων οὐ μόνον ἐν Ῥώμῃ, ἀλλὰ καὶ κατὰ τὰς ἐπαρχίας, ὡς μέγα τι καὶ ἐπιφανὲς ἀξίωμα, οὐκ ἠσχύνοντο περὶ πολλοῦ ποιεῖσθαι, μεγάλοις ἀναλώμασιν αὐτὴν κτώμενοι. — Ἐπ. 27, οἱ τὰ σύμφωνα κ. τ. λ.] τὰ συμβόλαια, οἷς ἐνεγράφετο ἐν ἀρχῇ τὸ τοῦ ἱερατεύοντος ὄνομα, καθάπερ καὶ ἐν τοῖς Ἑλληνικοῖς ψηφίσμασι, συνήθως μὲν τὸ, « Ἐπὶ ἄρχοντος τοῦ δεῖνα » ἔχει δ' ὅτε καὶ ἐν αἷς πόλεσι καὶ τὸ τοῦ ἱερέως, οἷον ἐν τῇ Σμυρναίων καὶ Μαγνησίων συνθήκῃ, « Ἐπὶ Ἱερέως Ἡγησίου κ. τ. λ. » (Marmor. Oxon. § XXVI, pag. 28, Oxon. 1791). — Ἐπ. 29, ὄψει γὰρ κομψότερος] ὁ ῥόδινος στέφανος καλλίων τῇ ὄψει ἐςὶ τοῦ χρυσοῦ.

ΚΕΦΑΛΑΙΟΝ κ', ΕΔΑΦΙΟΝ 1, Πᾶσα τέχνη κ. τ. λ.] Νοήσεις εὐχερέστερον τὸ προκείμενον κεφάλαιον, παραβάλλων τῷ πρώτῳ τοῦ παρόντος βιβλίου κεφαλαίῳ. — Προηγουμένων τινῶν] ὑλῶν· ὕλην γὰρ ἔχειν πρῶτον τὸν τεχνίτην ἀνάγκη, πρὸ τοῦ ἐργάσασθαι τὰ τῆς τέχνης. — Ἐπ. 2, ἀνομοιογενής.] Ἰσ. ἀνομοιοειδής. — Ἐπ. 5, Ὁ οὖν λόγος κ. τ. λ.] ἡ λογικὴ δύναμις, ἡ διάνοια. Σύστημα δ' ἔλεγον αὐτὸν ἐκ ποιῶν φαντασιῶν, τουτέστι τῶν τε αἰσθητικῶν φαντασιῶν,

Digitized by Google

ἃς διὰ τῶν αἰσθητηρίων λαμβάνει, καὶ τῶν διὰ τῆς διανοίας· εἰς ταύτας γὰρ καὶ διήρουν οἱ Στωϊκοὶ τὰς φαντασίας (Διογ. Λαερτ. VII, 51). Τούτοις παραπλήσιά ἐστι τὰ ὑφ' Ἱπποκράτους εἰρημένα. « Ὁ γάρ » λογισμὸς μνήμη τίς ἐστι ξυνθετικὴ τῶν μετ' αἰσθήσεως ληφθέντων· » ἐφαντασιώθη γὰρ ἐναργέως· ἥ τε αἴσθησις προπαθὴς καὶ ἀναπομ- » πὸς ἐοῦσα εἰς διάνοιαν τῶν ὑποκειμένων κ. τ. λ. » (Ἱπποκράτ. Παραγελλ. § 1) —— ΕΔ. 9, τῇ ὄψει, τῇ ἁφῇ, τῇ ὀσφρασίᾳ, τὰ τελευταῖα, τῇ ἀκοῇ.] Εἶχεν ἂν προσθεῖναι καὶ τὴν διὰ τῆς γεύσεως δοκιμασίαν· « Τὰ δὲ δὴ μεταλλευόμενα καὶ λίθων » ἕνια γένη καὶ ὀσμὰς ἔχει πρὸς τοῖς χυμοῖς... καὶ ἔγχυμα φαί- » νεται καὶ ὀσμώδη » φησὶ Θεόφραστος (Διτ. φυσικ. VI, 3, § 2). Ἔπιθι καὶ τὸν Beckmann, *Litterat. der alter. Reisebeschreib.* St. 1. S. 97. Τοῦ δὲ Ὀσφρασίᾳ (ΔΓ. ὀσφρήσει) ὁ τύπος, τοῦ παρακμάζοντός ἐστιν ἑλληνισμοῦ· εὕρηται δὲ καὶ παρὰ τοῖς Ἑβδο- μήκοντα (Ὡσηὲ, ιδ', 7), « Καὶ ἡ ὀσφρασία αὐτοῦ ὡς λιβάνου ». —— ΡΙΨΑΣ τὸ δηνάριον] Διστάζω εἰ καλῶς οἱ πρὸ ἐμοῦ ἔτρεψαν, ἀντι- γράφοις πεισθέντες, τὸ τῶν ἀρχαιοτέρων ἐκδόσεων ΡΗΞΑΣ· τοῦτο γὰρ οἰκειότερον τῷ παρακμάζοντι ἑλληνισμῷ. Οὐ μὴν ἀλλὰ καὶ Δημο- σθένης (Κατὰ Κόν. σελ. 1259), « Ῥάξαντες εἰς τὸν βόρβορον » εἶρηκεν, ὅπερ οἱ Λεξικογράφοι διὰ τοῦ καταβαλόντες ἡρμήνευσαν· ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ φαμέν, Τὸν ἔρηξαν εἰς τὴν λάσπην. —— ΕΔ. 11, ἐπὶ δὲ τοῦ ταλαιπώρου ἡγεμονικοῦ.] Οἱ Στωϊκοί, πρώτου Πλάτωνος Ἡγεμονικὸν ὀνομάσαντος τὸν Νοῦν, ἠγάπησαν οὐδὲν ἧττον τῇ κλήσει, ἢ τοῖς ὑπ' αὐτῶν εὑρεθεῖσιν ἄλλοις ὀνόμασι. —— Παραπροσδεχόμεθα] κακῶς καὶ παρὰ τὸ δέον προσδεχόμεθα. —— Οὐ προσπίπτει.] Οὐκ ἐκ τοῦ παραχρῆμα παρίσταται ἡμῖν καὶ φαίνεται (ne se présente). —— ΕΔ. 13, τὴν μεγίστην τέχνην] τὴν Βιωτικήν. —— ἀναλαβεῖν] μαθεῖν. —— ΕΔ. 16, φύσις ἡ ἐπὶ μέρους κ. τ. λ.] Ἴδε Μάρκον Ἀντωνῖνον (Ε', γ', καὶ κε'). —— ΕΔ. 19, τηλικαῦτα.] Ἐπὶ τοῦ τοσαῦτα (ἢ γοῦν ἐπὶ τοῦ, Τοσούτῳ μακρὰ) ἐνθάδε. Ἦν γὰρ πολυγραφώτατος ὁ Ἐπίκουρος (Διογ. Λαερτ. X, 26).

ΚΕΦΑΛΑΙΟΝ κά, ΕΔΑΦΙΟΝ 2, ἂν προθέσει, ἂν ἐπιβολῇ.] Ἐξηγη- σάμεθα ταῦτα ἐν τοῖς πρόσθεν (I, δ', 14). —— ΕΔ. 3, Τί οὖν ἡμῖν ὀβελίσκον κ. τ. λ.] Παροιμιῶδες ἀστεῖον, ἐπὶ τῶν κενοδόξων μάλιστα λεκτέον. Καὶ γάρ, ἐάν τις ὑποτεθῇ ὀβελὸν φέρειν δι' ὅλου τοῦ σώματος ἀπὸ κεφαλῆς εἰς τὰ ἰσχία διήκοντα, τοῦτον ἀνάγκη

Digitized by Google

ὀρθὸν καὶ ἀκαμπῆ διαμένειν ἀεί ποτε· Οὗτος ἂν εἴη ὁ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ καλούμενος Κορδωμένος, ἀπὸ τῆς Χορδῆς (χυδ. Κόρδας) τουτέστιν, ὁ ὀρθούμενος οὐκ ἀπ' ὀρθῆς καὶ μεγαλόφρονες διανοίας (ὁποῖον εἶναι χρὴ τὸν ἐλεύθερον ἄνδρα), ἀλλὰ διὰ τὸ καταφρονεῖν τῶν ὁμοίων, ὑψούμενος καὶ ἀνατεινόμενος κατὰ τὰς ἐν τοῖς μουσικοῖς ὀργάνοις χορδάς.

ΚΕΦΑΛΑΙΟΝ κϛ', ΕΔΑΦΙΟΝ 1, Αἱ προλήψεις] αἱ δίχα προηγησαμένης ἐρεύνης ἔννοιαι· ὧν αἱ μὲν φυσικαὶ καὶ οἷον ἴδιαι τῇ λογικῇ ψυχῇ εἰσιν, οἷαι ἡ περὶ τοῦ δικαίου καὶ καλοῦ· αἱ δὲ ἐκ τῆς τούτων κακῆς ἐφαρμογῆς γεννώμεναι, καὶ ἐξιστῶσαι τοῦ λόγου τὸν ἄνθρωπον. —— ΕΔ. 4, ἡ Ἰουδαίων, καὶ Σύρων κ. τ. λ.] Ἄλλα γὰρ τὰ Ἰουδαίου, ἄλλα τὰ Σύρου, καὶ ἄλλα τὰ Αἰγυπτίου θρησκευτικὰ δόγματα. —— ΕΔ. 8, Ἐγὼ οὖν μόνος;] Ὁ Ἀχιλλεὺς ταῦτα λέγει. —Ἀλλ' ἐγὼ μόνος μὴ ἔχω] γέρας; Τοῦ Ἀγαμέμνονος ταῦτα τὰ ῥήματα. —— ΕΔ. 10, κτήσεις.] Ἴσ. γρ. κτῆσις. —— ΕΔ. 11, ἐφαρμόσωμεν.] Ἐκ ΔΓ, ΑΤ, ἐφαρμόσομεν. —— ΕΔ. 12, Τίς σου ἀνέξεται] λέγοντος, ὅτι οὐκ ἔστι ταῦτα ἀγαθά; —— ΕΔ. 15, τί μοι καὶ αὐτῷ;] Ὀρθοτονητέον, οἶμαι τὴν ἀντωνυμίαν, Τί ἐμοὶ καὶ αὐτῷ; —— ΕΔ. 19, μανθάνεις.] Οὐκ ἀλόγως τις τῶν κριτικῶν εἰς τὸ προστακτικὸν, Μάνθανε, τρέπειν παρῄνει τὸ ῥῆμα. Ἴσως γραπτέον, Μανθάνοις. Εἰσὶ δὲ λόγοι τοῦ ἀποτρέποντος τὸν νέον τῆς φιλοσοφίας γέροντος. —— Συλλογισμόν.] Ἴσ. γρ. συλλογισμούς. —— ΕΔ. 20, Ἄνθρωπε, τί οὖν κ. τ. λ.] Ὁ νέος ταῦτα λέγει (ὡς ἐξεδέξατο ὁ πρὸ ἐμοῦ) πρὸς τὸν ἀποτρέποντα γέροντα, Εἰ αὐτὸς οἶδα τί μοι ποιητέον ἐστὶν, ὡς φῄς, εἴσομαι καὶ τί καὶ μέχρι πόσου δεῖ με μανθάνειν παρὰ τῶν φιλοσόφων. —— Τούτῳ τῷ ἀνδραπόδῳ.] Καὶ ταῦτα τοῦ νέου, οὐκέτι μέντοι πρὸς τὸν φιλόσοφον γέροντα, ἀλλὰ περὶ ἐκείνου πρὸς τὸν Ἐπίκτητον, ἢ ὁντινοῦν ἕτερον τῶν συνόντων.

ΚΕΦΑΛΑΙΟΝ κγ', ΕΔΑΦΙΟΝ 1, ἐν τῷ κελύφει,] ἐν τῷ σώματι. Κέλυφος λέγεται τῶν ὀστρακοδέρμων τὸ ὄστρακον (ὥσπερ ἀνωτέρω, I, κ', 17, Κοχλίου κέλυφος εἶρηκε), τῶν ἀκροδρύων ὁ φλοιὸς, τῶν ὀσπρίων ὁ λοβὸς, τῶν ὠῶν τὸ λέπυρον, καὶ κατ' ἐπέκτασιν πᾶσα θήκη περιέχουσά τι. Κηλίφ καλοῦσιν οἱ Τοῦρκοι τὸν κολεὸν τοῦ ξίφους, ὃν ἡ παρ' ἡμῖν συνήθεια Φηκάριον (Αἰολικ. ἀντὶ τοῦ Θηκάριον) ὀνομάζει. —— ΕΔ. 3, Πῶς οὖν ΥΠΟΝΟΗΤΙΚΟΙ κ. τ. λ.] Τῶν κριτικῶν οἱ μὲν εἰς τὸ, ΕΤΙ ΚΟΙΝΩΝΙΚΟΙ, οἱ δὲ καὶ μακρο-

Digitized by Google

τέρως εἰς τὸ, ΕΠΙΝΟΕΙΣ, ΟΤΙ ΚΟΙΝΩΝΙΚΟΙ, ἄλλοι δὲ εἰς τὸ, ΠΡΟΝΟΗΤΙΚΟΙ τρεπτέαν εἶναι τὴν τελευταίαν λέξιν ἡγήσαντο Πειθανωτέρα ἡ πρώτη διόρθωσις. — ΕΔ. 6, πολιτεύσεσθαι.] Ἐξ ΕΔ, ΑΤ, πολιτεύσασθαι. Οὕτω γὰρ καὶ Διογένης ὁ Λαέρτιος (X, 119) γράφει, « Οὐδὲ ΜΗΝ τηρήσειν ἐν μέθῃ (φησὶν ὁ » Ἐπίκουρος ἐν τῷ Συμποσίῳ), οὐδὲ πολιτεύσεσθαι.... οὐδὲ τυραν- » νεύσειν, οὐδὲ κυνιεῖν κ. τ. λ. » · οὗ τὴν δευτέραν λέξιν ὁ Μενάγιος ἔτρεψεν εἰς τὸ Μὴνίν πειθθεὶς ἑτέρων διορθώσει. Ἴσως γε μὴν γραπτέον ΜΝΗΜΗΝ, ἵν ᾖ ὁ νοῦς, ὅτι Οὐ χρὴ μνημο- νεύειν τῶν παρὰ πότον λεγομένων τε καὶ πραττομένων ὑπὸ τῶν συμποτῶν· ὃ παραγγέλλει καὶ ἡ παρὰ τῷ Πλουτάρχῳ (Συμποσιακ. Α, Προοιμ. σελ. 471 Wyttenb.) δωρικὴ παροιμία « Μισέω » μνάμονα συμπόταν. » Τούτου δὲ καὶ Λακεδαιμόνιοι πολλὴν ἐποιοῦντο πρόνοιαν, σιγὴν παραγγέλλοντες τοῖς ἐρχομένοις εἰς τὰ συσσίτια τῶν ἐν αὐτοῖς γινομένων, ὡς ἱστόρηκε πάλιν ὁ αὐτὸς Πλούταρχος (Λυκουργ. § 12) « Τῶν δ' εἰσιόντων ἑκάστῳ δείξας » ὁ πρεσβύτατος τὰς θύρας, Διὰ τούτων, φησὶν, ἔξω λόγος » οὐκ ἐκπορεύεται. »

ΚΕΦΑΛΑΙΟΝ κδ', ΕΔΑΦΙΟΝ 1, Αἱ περιστάσεις.] Ἐν μὲν τῇ συνηθείᾳ μέση λέξις ἡ Περίστασις (ὡς καὶ ἡ παρὰ τοῖς Γάλλοις circon- stance) · ἐνθάδε δὲ ἐπὶ δυσχερῶν πραγμάτων. « Περίστασις, θλί- » ψις, ἀνάγκη μέριμνα » φησὶν Ησύχιος. Ὁ δὲ Φρύνιχος (σελ. 164) καὶ τοῖς Στωϊκοῖς ἀπονέμει τὴν σημασίαν, « Περίστασις ἀντὶ τοῦ » συμφορὰ τιθέασιν οἱ Στωϊκοὶ φιλόσοφοι· οἱ δ' ἀρχαῖοι περίστασιν » λέγουσι τὴν διά τινα τάραχον παρουσίαν πλήθους κ. τ. λ. » — ΕΔ. 3, ἡμεῖς ΣΕ εἰς τὴν Ῥώμην κατάσκοπον ΠΕΜΠΟΜΕΝ.] Ἐξ ΕΔ, ἀντὶ τοῦ ΓΕ. Ἴσως δὲ καὶ τὸ τελευταῖον ῥῆμα τρεπτέον, εἰς τὸ, ΕΠΕΜΠΟΜΕΝ, ὥσπερ εἴκαζεν ὁ πρὸ ἐμοῦ. Εἰκὸς δέ τινας τῶν ἐν Νικοπόλει, οὗ ἐδίδασκεν Ἐπίκτητος, εἰς τὴν Ῥώμην αὐτομάτους, ἢ ἀποστελλομένους, ἐνίοτε πορεύεσθαι ἐπὶ τῷ κατασκέπτεσθαι, εἰ ἐλώφησεν ἡ κατὰ τῶν φιλοσόφων μανία τοῦ Δομιτιανοῦ, δι' ὃν καὶ ὁ Ἐπίκτητος φυγεῖν ἠνάγκαστο. — ΕΔ. 6, Πρὸ σοῦ.... Διογένης.] Μνημονεύσει ἐν τοῖς ἑξῆς (III, κϛ', 24) τοῦ ὑπὸ Διογένους πρὸς Φίλιππον εἰρημένου. — ΕΔ. 12, Λέγει σοι] ὁ Δομιτιανός · τοῦτον γὰρ τὸν τύραννον ἐνθάδε δηλοῖ. — Θὲς τὴν πλατύσημον κ. τ. λ.] Ἀπόθες, ἀπόδυσαι τὴν πλατύσημον ἐσθῆτα (τὴν Ῥωμαϊστὶ Laticlaviam

Digitized by Google

καλουμένην), ἣν μόνοις τοῖς συγκλητικοῖς ἐφεῖτο φορεῖν. Ὠνομάσθη δ' ἀπὸ τῶν πορφυρῶν πλατέων σημείων, τῶν τοῖς Ῥωμαίοις ἥλων (clavi) καλουμένων, οἷς κατέστικτο ἡ περιορίζουσα αὐτὴν ὦρα ἡ παρυφή. Δεδήλωται δὲ ἐν ἄλλοις (Ἰσοκράτ. Μέρ. Β, σελ. 183), ὅτι καὶ τὸ ἐν τῇ συνηθείᾳ Προφύλιον (bordure) ἀπὸ τῆς πάλαι πορφυρᾶς ὥρας ἡ παρυφῆς, ἐγεννήθη, ἢ μᾶλλον ἐξημβλώθη (δέον Πορφύριον λέγεσθαι)· ὥσπερ καὶ ἀπὸ τῆς ὥρας (παρὰ τὸ Οἶκα, μηλωτὴ προβάτου) ἡ παρ' ἡμῖν Οὖϊκ ἡ Ὄβγια (ourlet). (Ἴδε τὰς εἰς τὸν Ἡλιόδωρ. σημ. σελ. 117) —— Ἰδοὺ στενόσημος.] Εἰ βούλει με, τύραννε, ἀποδύσασθαι τὴν πλατύσημον καὶ ἐκστῆναι τῆς συγκλήτου, ἀρκοῦμαι τῇ στενοσήμῳ. Ἐρρήθη στενόσημος (Angusticlavum) διὰ τὸ στενώτερον τῆς παρυφῆς· ἐφόρουν δ' αὐτὴν οἱ καλούμενοι παρὰ τοῖς Ῥωμαίοις Ἱππεῖς (equites) —— ΕΔ. 13, Ἀλλὰ φθόνον μοι κινεῖς] οὐδὲ τὸ γυμνόν σε βλέπειν ἀρκεῖ μοι. —— ΕΔ. 14, Ἂν οὖν... τοὺς κραββάτους.] Προσυπάκουε τὸ σύνηθες ἐν τοῖς ἀνανταποδότοις σχήμασι, Καλῶς ἔχει. —— ΕΔ. 15, ῥέγκων.] Διὰ τοῦ χ̄ ὁ πρὸ ἐμοῦ ἐξ ἀντιγράφων, ῥέγχων. Χρηστὴ μὲν καὶ αὕτη ἡ γραφή (ὥσπερ Σόγχος καὶ Σόγκος, ὁ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ Ζόχος), ἀττικωτέρα δὲ ἡ διὰ τοῦ κ̄, ὥς φησιν ὁ σχολιάσας τὸν ἀττικώτατον κωμικὸν (Ἀριστοφάν. Νεφ. 5),

Οἱ ὀ' οἰκέται ῥέγκουσιν· ἀλλ' οὐκ ἂν προτοῦ.

Καὶ αὖθις (Νεφ. 11),

Ἀλλ', εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι.

Τὸ δὲ πάθος, Ῥέγξις καὶ Ῥέγκος, κατὰ τὸν Γαληνὸν (Ἐξηγ. σελ. 552), « Ῥέγξιν καὶ Ῥέγκος, ὠνοματοπεποίηται παρὰ τὸν γινόμενον ψόφον· » ὥσπερ καὶ τὸ Ῥέγκειν. » Διορθούσθω ἐν παρόδῳ καὶ ὁ Ἐρωτιανὸς, τοῦτο μὲν (σελ. 316) ἐν οἷς φησι, Ῥέγχος, ὁ ΝΕΩΧΜΟΣ κ. τ. λ. μετὰ διαφόρου γραφῆς νωχμὸς, ὅθεν ὁρμηθεὶς ὁ Φοίσιος παρήνει γράφειν, ῥοχμός· αὐτὸς δ' ἂν γράψαιμι μᾶλλον ΜΥΧΜΟΣ. Ἑτέρωθι δὲ (σελ. 124) ὁ αὐτὸς Ἐρωτιανὸς, ἐξηγούμενος τὸ Διαροχάς (γρ. διαρογχάς) φησὶν, « Εἴρηται δὲ παρὰ τὴν ΡΊΧΗΝ, » ἥτις ἐστὶν εἶδος ἀναπνοῆς » ἔνθα γραπτέον, ΡΈΓΧΗΝ, ὡς φέρουσί τινα τῶν ἀντιγράφων, καὶ καταχωριστέον εἰς τὰ Δεξικὰ τὸ τέως

Digitized by Google

ἄγνωστον δηλυκὸν Ῥέγχη, οὐδὲν πλέον δηλοῦν τοῦ Ῥέγχος, ὥσπερ ἡ Πάθη καὶ τὸ Πάθος, ἡ Μάθη καὶ τὸ Μάθος. — Οὐδεὶς πένης... εἰ μὴ ὡς χορευτής.] Παράθες τούτοις τὰ παρὰ τῷ Αἰλιανῷ (Ποικ. ἱστόρ. Β, ιά, σελ. 22 καὶ 292), ἔνθα καὶ ἀντὶ τοῦ ΧΟΪΡΟΝ, προειλόμην τὴν τινῶν διόρθωσιν ΧΟΡΟΝ, ἐκ τοῦ Ἐπικτητείου τοῦδε χωρίου ὁρμώμενος. — ΕΔ. 16, Στέψατε δώματα.] Ἐξ ἀδήλου τραγικοῦ ποιητοῦ. — Περὶ τρίτον ἢ τέταρτον μέρος.] Μέρη ὠνόμαζον τραγῳδίας, ἅπερ actes οἱ Γάλλοι καλοῦσι· ἦσαν δὲ πέντε, ᾗ δῆλον καὶ ἐκ τοῦ Μάρκου Ἀντωνίνου, « Ἀλλ' οὐκ εἶπον τὰ » πέντε μέρη, ἀλλὰ τὰ τρία » (Μαρκ. Ἀντωνιν. ΙΒ', λς'). — Ἰὼ Κιθαιρών.] Τοῦτο δὲ ἐκ τοῦ Σοφοκλέους (Οἰδ. Τύρ. 1391),

Ἰὼ Κιθαιρών, τί μ' ἐδέχου; τί μ' οὐ λαβὼν
Ἔκτεινας εὐθύς;

Ἐχρήσατο καὶ Μάρκος (ΙΑ', ς') τῷ ἔπει. — ΕΔ. 19, συγκατατάττω ἐμαυτὸν τοῖς πολλοῖς κ. τ. λ.] Ἐκ ΔΓ, διέγραψα τὴν πρόθεσιν, τῶν_πρὸ ἐμοῦ γραψάντων... σὺν τοῖς πολλοῖς. Ὁ δὲ νοῦς, Λέγεις, ὅτι ὁ δεῖνα μακάριος, διὰ τὸ περιπατεῖν μετὰ πολλῶν ἀκολούθων; κἀγώ σοι λέγω, ὅτι μὴ ὢν τῶν μακαρίων, τούτων, ἀλλὰ πένης καὶ ἄδοξος, καὶ διὰ τοῦτο συγκαταττόμενος τοῖς πολλοῖς, ἑπομένως μετὰ πολλῶν καὶ ἐγὼ περιπατῶ.

ΚΕΦΑΛΑΙΟΝ κέ, ΕΔΑΦΙΟΝ 8, Ἐν Σατορναλίοις κ. τ. λ.] Saturnalia παρὰ Ῥωμαίοις ἐκαλεῖτο τὰ Κρόνια, ἑορτὴ ἑπταήμερος, ἀγομένη τῷ Κρόνῳ, παραπλησία καὶ τὴν ἀκοσμίαν καὶ τὴν μωρίαν τῇ παρὰ τοῖς χριστιανοῖς Ἀποκρέῳ (Carnaval). Ἔπιθι τὸν Λουκιανὸν (Κρον. § 1-39, τόμ. IX, σελ. 1-44). — ΕΔ. 11, ὑπόθεσιν, ΤΟΪ νύκτα εἶναι.] Ἴσ. ΤΟ, ὥσπερ εἶπασεν ὁ πρὸ ἐμοῦ. — ΕΔ. 12, ὑπόλαβε ὅτι ΝΥΞ ἐστιν.] ΔΓ (προσγεγραμμένη τῷ ἐμῷ ΤΡ) ΗΜΕΡΑ. — ΕΔ. 13, καὶ ἄλλος με κωλύει] ὁ Ζεὺς οὐ συγχωρεῖ μοι ὑπολαβεῖν ὅτι ἐν κακοῖς εἰμι. — ΕΔ. 14, τὸ κατάλληλον.] ΔΓ (δυσὶ λέξεσι πλεονάζουσα, προσγεγραμμένη τῷ ἐμῷ ΤΡ) « τὸ κατάλ» ληλον, εἴτουν ἀτάραχον· » ὅπερ ἔοικεν ἐπεξήγησις μᾶλλον ἢ ΔΓ εἶναι. — ΕΔ. 18, Καπνὸν πεποίηκεν κ. τ. λ.] ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ οὐ μόνον Καπνίζει, ἀλλὰ καὶ Κάμνει καπνὸν λέγομεν ἀπροσώπως, ἢ μᾶλλον κατ' ἔλλειψιν τοῦ ὑποκειμένου, Τὸ πῦρ.

Digitized by Google

Ἴδε καὶ Μάρκον Ἀντωνῖνον (Ε', κθ'). —— ΕΔ. 19, μὴ οἴκει ἐν Νικοπόλει] ἐάν μοι (φησὶν) ὁ τύραννος εἴπῃ, Ἐπίκτητε, ἔξελθε τῆς Νικοπόλεως. —— Ἐν Γυάροις οἴκει] ἄπελθε ἐξόριστος, ἢ μᾶλλον περιόριστος, εἰς τὴν νῆσον τὰ Γύαρα, τὰ ἐν τῇ συνηθείᾳ καλούμενα Γυοῦρα, περὶ ὧν ἔπιθι τὰ ἀλλαχοῦ (Ἰσοκρατ. Αἰγινητ. σημ. σελ. 276) σημειωθέντα. —— ΕΔ. 22, ὁ Δημήτριος.] Κυνικὸς φιλόσοφος ἐπίσημος, ὥστε καὶ ὑπὸ τῶν Στωϊκῶν θαυμασθῆναι. —— ΕΔ. 27, καὶ μὴ θεώρει.] Διαγραπτέον τὸν σύνδεσμον. —— ΕΔ. 30, Περίσχισον αὐτόν.] Τύραννος ὑποτίθεται προστάττειν τῷ ὑπηρέτῃ ἀφελεῖν βίᾳ τὸ ἱμάτιον τινὸς, ἐπὶ τῷ μαστιγῶσαι αὐτόν· τὰ γὰρ οὕτως ἀφαιρούμενα εἰκὸς καὶ σχίζεσθαι. —— ΕΔ. 31, ἓν ἔχων πρόσωπον διετέλει.] Παρατίθει τῷδε τὸ ἐν τῷ Ἐγχειριδίῳ (XXIX, § 7) « Ἕνα σε δεῖ » ἄνθρωπον εἶναι. » —— ΕΔ. 32, κεντεῖν τινος τὸν ὀφθαλμὸν, ἵνα ἴδῃ;] Τὴν θεραπείαν λέγει, ἣν πολλάκις σωτηρίως ἐργάζονται οἱ Ὀφθαλμικοὶ καλούμενοι ἰατροὶ, τοῦ τῶν ὀφθαλμῶν πάθους, ὅπερ οἱ μὲν ἀρχαῖοι Ὑπόχυμα ἢ Ὑπόχυσιν ἐκάλουν, οἱ δὲ νεώτεροι Καταῤῥάκτην (cataracte), κατὰ μεταφορὰν, ὡς ἔοικεν, ἀπὸ τῆς καταῤῥακτῆς θύρας (vanne), περὶ ἧς ἔπιθι τὰ εἰς τὸν Ἡλιόδωρον (σελ. 48) καὶ εἰς τὸν Πλούταρχον (Μέρ. ς', σελ. 443) σημειωθέντα.

ΚΕΦΑΛΑΙΟΝ κς', ΕΔΑΦΙΟΝ ι; Ἀναγινώσκοντος ΔΕ τοὺς ὑποθετικούς.] Λείπειν φασὶ τὸ Τινὸς, κατ' ἔλλειψιν οὐ πάνυ χρηστήν. Ἴσως μέντοι ἐγέγραπτο ἀνελλιπῶς, ΔΕ ΤΙΝΟΣ, ἢ ΔΕ ΤΟΥ. —— ΕΔ. 3, τὸ ἀνθέλκον, ὡς πρὸς τὸ κ. τ. λ.] τὸ κωλύον ἡμᾶς ἀκολουθῆσαι τοῖς διδασκομένοις. —— ΕΔ. 10, Ἐκεῖ γὰρ τῷ ὄντι κ. τ. λ.] Ἐκεῖ γὰρ ἐν Ῥώμῃ εἰσὶ τὰ λαμπρὰ καὶ μεγάλα, ὥστε τοὺς ἐνθάδε (ἐν Νικοπόλει) πλούτους, παίγνια δοκεῖν εἶναι τοῖς οἰκοῦσι τὴν Ῥώμην. Οὕτως ἐξεδέξατο τῶν λεγομένων τὸν νοῦν ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 11, ἑκατὸν πεντήκοντα μυριάδας.] Προσυπακουστέον, Δραχμῶν, ὡς ἐξηγήσαντο οἱ πρὸ ἡμῶν. Εἶεν δ' ἂν αἱ ἑκατὸν πεντήκοντα μυριάδες δραχμῶν, μικρὸν ἀποδέουσαι ἡμιεκατομμυρίου (1,500,000) φράγκων. Καὶ ᾧ τοσαῦτα ἔτι περιελέλειπτο, τοῦτον ᾤκτειρεν ὁ σωματοφύλαξ τοῦ Νέρωνος, ὡς πενόμενον! —— ΕΔ. 13, Κράξας δὲ τὸν κ. τ. λ.] Οὐκ ὀρθῶς ἐξεδέξατο ὁ Θυόλφιος τὸ Κράξας ἐπὶ τοῦ Μετὰ κραυγῆς καλέσας. Οὐδὲν γὰρ πλέον σημαίνει ἐνθάδε τοῦ Καλέσας ἢ Φωνήσας (appeler)· καὶ ἔστιν ἡ χρῆσις τοῦ παρακμάζοντος ἑλληνισμοῦ, μέχρι

Digitized by Google

καὶ εἰς ἡμᾶς παρατείνασα. Λέγομεν γὰρ συνήθως προστάττοντες ἑτέρῳ φωνῆσαί τινα, Κράξε τον (appelez-le)· καὶ ἐπὶ τοῦ διὰ νόσον καλοῦντος ἰατρὸν, Ἔκραξε τὸν ἰατρὸν (il appela le médecin)· ἔτι δὲ καὶ ἐπὶ τοῦ ἐφ' ἑστίασιν προσκαλοῦντος, Ἔκραξε τοὺς φίλους του (il invita ses amis). Ἔσθ' ὅτε δὲ καὶ ἐπὶ ᾠδῆς τινων ὀρνέων, οἷον, Ἔκραξεν ὁ πετεινὸς (le coq a chanté). Καλεῖ δὲ Ἐπίκτητος τινὰ τῶν μαθητῶν, ὃς ἀνεγίνωσκεν, ἢ ἐμάνθανε τοὺς ὑποθετικοὺς συλλογισμούς. Ἴσως μέντοι ἐγράφετο πάλαι τὸν ἀναγνώσοντα, ᾧ ἦ ὁ νοῦς, Καλέσας τινά, ἐπὶ τῷ ἀναγνῶναι ἢ ἀπαγγεῖλαι τοὺς ὑποθετικοὺς συλλογισμούς. —— Γελάσαντος τοῦ ὑποθεμένου] τοῦ δευτέρου διδασκάλου, ἢ ὑποδιδασκάλου· εἶχε γὰρ τοιούτους Ἐπίκτητος, ἕνεκα τοῦ διδάσκειν τὰ ἐγκύκλια, αὐτὸς τὴν Ἠθικὴν φιλοσοφίαν μόνην διδάσκων. —— Ἐᾶ. 14, Τί οὖν, ἔφη, τῇ [μὴ] δυναμένῃ... ὁ μὴ εὑρίσκων τὸ ἑξῆς;] Ἀσαφὲς ὅλον τόδε τὸ ἐδάφιον, δι' ἁμαρτίας ἴσως οὐκ ὀλίγας τῶν ἀντιγραφέων. Ὁ πρὸ ἐμοῦ θεραπεῦσαι σπεύδων ὁπωσοῦν τὴν ἀσάφειαν, ἔγνω προσθεῖναι τὸ ἐν ἀρχῇ ἀπαγορευτικὸν μόριον, καὶ ἐξηγεῖται οὕτως· Τί οὖν τῷ μὴ δυναμένῳ (ἐν τοῖς Λογικοῖς μαθήμασι) ἐπικρῖναι τὸ συμπεπλεγμένον, πιστεύομεν τούτῳ (ἐν τοῖς Ἠθικοῖς), εἴ τινα ἐπαινεῖ ἢ ψέγει, εἴ τι κρίνει περὶ τῶν καλῶς ἢ κακῶς γινομένων; ἢ διὰ τί τις ἐπιστραφήσεται καὶ φροντίσει κακῶς ἀκούων, ἢ ἐπαρθήσεται ἐπαινούμενος ὑπὸ τοῦ ἐν τοῖς οὕτω μικροῖς (οὐκ ἔστιν ἡ κρίσις τῶν συμπεπλεγμένων) μὴ δυναμένου εὑρεῖν τὸ ἀκόλουθον; —— Ἐᾶ. 16, συντάξεις ἀγοράζοντες] καὶ ἐξαιρέτως τὰς Χρυσίππου, περὶ ἃς ἐσπούδαζον μάλιστα οἱ Στωϊκοί. —— στρόφοι] περὶ τὴν κοιλίαν. —— κατάῤῥοιαι.] Ἐπὶ τοῦ διάῤῥοιαι ἐνθάδε, ὥσπερ, οἶμαι, καὶ τὸ παρὰ Πλάτωνι (Πολιτ. γ', σελ. 405) « Φύσας τε καὶ » κατάῤῥους. » —— Ἐᾶ. 18, ὁ δὲ Σωκράτης... βίον μὴ ζῆν.] Ἐν τῇ Ἀπολογίᾳ Σωκράτης ἔλεγε τοῦτο τοῖς δικασταῖς· « Ὑμεῖς ἐμοῦ » ἠκούετε διαλεγομένου, καὶ ἐμαυτὸν καὶ ἄλλους ἐξετάζοντος· ὁ » δὲ ἀνεξέταστος βίος, οὐ βιωτὸς ἀνθρώπῳ » (Πλάτ. Ἀπολ. Σωκράτ. σελ. 38.)

ΚΕΦΑΛΑΙΟΝ κζ', ΕΔΑΦΙΟΝ 5, ἀπώλετο ὁ πατὴρ αὐτοῦ, ἡ μήτηρ] τοῦ ἀποθανόντος, ἀπώλοντο δηλονότι ὑπὸ λύπης, ὡς ἐξηγήσατο ὁ πρὸ ἐμοῦ. —— Ἐξεκόπη,] ἠφανίσθη ὁ νέος, δι' ὃν οἱ γονεῖς ἀπόλλυνται. Ἴσως δὲ καὶ ἀντὶ τοῦ ἀπεκτάνθη, ὑπὸ λῃστῶν ἢ πολεμίων, ἐφ' ἧς σημασίας ἐχρήσατο τῷ συνθέτῳ τούτῳ ῥήματι ὁ

Digitized by Google

Ἡρόδοτος (IV, 110) « Τὰς δὲ Ἀμαζόνας ἐν τῷ πελάγει ἐπιθεμένας » ἐκκόψαι τοὺς ἄνδρας · » καὶ χρώμεθα νῦν τῷ ἁπλῷ Κόπτω, οἷον, Τὸν ἔκοψε (il l'a décapité). Τοῦ δὲ συνθέτου ὁ ἀόριστος μόνος, Ἐξέκοψα, ἐν χρήσει παρ' ἡμῖν, σημαίνει ἀμεταβάτως τὸ λάθρα, διαφυγεῖν καὶ ἀπελθεῖν ἔκ τινος συνουσίας, ὅπερ οἱ Γάλλοι se dérober λέγουσι, σημαίνοντες μᾶλλον τὸ Ἀνακλέπτεσθαι τῶν ἀρχαίων. « Ἀνακλέπτεσθαι, ἀναχωρεῖν » φησὶν Ἡσύχιος. Ἴσως δὲ ἀπὸ τούτου καὶ ἑτέραν Ἡσυχίου ἐξήγησιν ἐστὶ διορθοῦν, « ΕΚΚΛΗΠΕΙ, ἐκπο- » ρεύεται » γράφοντας, ΕΚΚΛΕΠΤΕΙ. —— ΕΔ. 6, τῶν φωνῶν.] ΔΓ, τῶν φαντασιῶν. —— ἐσμηγμένας] κεκαθαρμένας καὶ λελαμπρυμένας, ἀπὸ μεταφορᾶς τῶν σμηχομένων (fourbies) ὅπλων, καθὰ δηλοῖ τὸ ἐχόμενον προχείρους. —— ΕΔ. 8, ἢ αὐτὸς ἀριστεῦσαι θέλω κ. τ. λ.] Παρῳδεῖ τὰ παρὰ τῷ Ποιητῇ (Ἰλιάδ. μ', 326) τοῦ Σαρπηδόνος ῥήματα·

——————Κῆρες ἐφεστᾶσιν θανάτοιο
Μυρίαι, ἃς οὐκ ἔστι φυγεῖν βροτὸν, οὐδ' ὑπαλύξαι.
Ἴομεν, ἠέ τῳ εὖχος ὀρέξομεν, ἠέ τις ἡμῖν·

ὀρέξει δηλονότι ἡμῖν, κτανθεὶς ὑφ' ἡμῶν. Καὶ σημείωσαι, ὅτι τὸν παρὰ τῷ Ποιητῇ μέλλοντα χρόνον διὰ τοῦ ἀριστεῦσαι θέλω, καθ' ἑλληνισμὸν παρακμάζοντα ἡρμήνευσεν, ὡς ἂν εἰ ἐξεπέφραστο καὶ ὑπὸ τῆς παρ' ἡμῖν συνηθείας· λέγειν γὰρ φιλοῦμεν, Θέλω ἀριστεύσειν, ἀντὶ τοῦ ἀριστεύσω, καὶ Θέλω πολεμήσειν, ἀντὶ τοῦ πολεμήσω. —— ΕΔ. 15, συνηθείᾳ.] ΔΓ (γνησιωτέρα ἴσως) ἀληθείᾳ. —— ΕΔ. 18, τὸ σάρον] ἡ σάρωθρον, ὃ οἱ Ἀττικίζειν σπουδάζοντες Κόρημα ἢ Κάλλυντρον ἐκάλουν· ἡ δὲ παρ' ἡμῖν συνήθεια Φιλοκαλίαν (χυδ. Φροκαλίαν) ὀνομάζει. —— ΕΔ. 20, τοῦ τηρῆσαι τὴν ΑΛΗΘΕΙΑΝ.] Οὕτως ἐπανορθώσαντι ἐξ εἰκασίας τῷ πρὸ ἐμοῦ (ἐν τῷ Καταλόγῳ τῶν τυπογραφικῶν ἁμαρτημάτων), ἀντὶ τοῦ ΣΥΝΗΘΕΙΑΝ, πεισθῆναι δεῖν ἔγνων.

ΚΕΦΑΛΑΙΟΝ κή, ΕΔΑΦΙΟΝ 3, Πάθε.] Πείσθητι βεβαίως καὶ ἀδιστάκτως. —— Ἀπόπαθε.] Παῦσαι πιστεύων. —— Πάθει ἢ ἀπόπαθε κ. τ. λ.] Κατάφαθι πεπεισμένως ὅτι οἱ ἐν οὐρανῷ ἀστέρες εἰσὶν ἄρτιοι, ἢ ἀπόφαθι πεπεισμένως ὅτι οὐκ εἰσὶν ἄρτιοι· οὐδέτερον τούτων ποιῆσαι δυνήσῃ. —— ΕΔ. 4, Πᾶσα... ΣΤΕΡΕΪΤΑΙ τῆς ἀληθείας.] Ταὐτὸ τοῦτο ἐρεῖ κἂν τοῖς ἑξῆς (II κδ', 36), πλὴν ὅτι ἐκεῖ γράφει,

Digitized by Google

ΣΤΕΡΕΤΑΙ, καθὰ φέρεται καὶ παρὰ τῷ Μάρκῳ Ἀντωνίνῳ δἰς (Ζ' ξγ' καὶ ΙΑ', ιή), καὶ ἔστιν ὁ τύπος τοῦ προπαροξυτόνου οἰκειότερος τῷ Πλάτωνι. Καὶ τοῦτο μὲν οὑτωσὶ ῥητῶς λελεγμένον ἐν τοῖς τοῦ Πλάτωνος οὔπω εὕρηται· τὸν δὲ νοῦν τοῦ λεγομένου διαφόροις ἐξέφρασε ῥήμασι Πλάτων ἐν πολλοῖς ἄλλοις, ὧν τὰ μαρτύρια συνειλόχασιν οἱ πρὸ ἐμοῦ. —— ΕΔ. 5, καὶ τὸ παρὰ τὸ καθῆκον.] ΗΔ ἡ προσθήκη τοῦ πρώτου ἄρθρου. —— ΕΔ. 7, οἷα δρᾶν μέλλω κακά.] Ἡ Μήδεια, μέλλουσα κτείνειν τὰ τέκνα, ἀναφωνεῖ ταῦτα παρ' Εὐριπίδῃ (Μηδ. 1077)· παρ' ᾧ μέντοι φέρεται νῦν, « Οἷα τολμήσω κακά. » —— ΕΔ. 10, Ὅστις.... τὸ φαινόμενον (λοιπὸν, ἢ καλῶς.... ἄλλως δ' ὁ βλαπτόμενος)· οὐδενὶ ὀργισθήσεται κ. τ. λ.] Συγκέχυται ἡ περίοδος, ἣν εὐκρινῆσαι τῷ τῆς παρενθέσεως σημείῳ οἱ πρὸ ἐμοῦ δεῖν ἔγνωσαν. Ἴσως, ἀπαλείφοντα τὴν παρένθεσιν, καὶ προστιθέντ' αὖθις τὸ συμπερασματικὸν (Οὖν), οὕτω χρὴ γράφειν καὶ στίζειν. « Ὅστις οὖν τούτου μέμνηται » καθαρῶς, ὅτι ἀνθρώπῳ μέτρον πάσης πράξεως τὸ φαινόμενον, » λοιπὸν, ἢ καλῶς φαίνεται, ἢ κακῶς· εἰ καλῶς ἀνέγκλητός ἐστιν· εἰ » κακῶς, αὐτὸς ἐζημίωται· οὐ δύναται γὰρ ἄλλος μὲν εἶναι ὁ πεπλα- » νημένος, ἄλλος δ' ὁ βλαπτόμενος. Οὐδενὶ (οὖν) ὀργισθήσεται κ. τ. » λ. » Τούτου οὑτωσὶ γραφομένου καὶ ἡ συνάρτησις πρόδηλος· Ὅστις οὖν τούτου μέμνηται, ὅτι κ. τ. λ. λοιπόν ἐστιν, ἢ λείπεται ἔτι τῷ τούτου μεμνημένῳ τὸ κρῖναι ἢ φάναι, Τούτῳ τῷ ἀνθρώπῳ ἢ καλῶς ἐφάνη, ἢ κακῶς κ. τ. λ. Οὐδενὶ οὖν ὀργισθήσεται ὁ τούτου μεμνημένος, καὶ οὕτω κρίνας. —— ΕΔ. 12, ἀπαγαγεῖν.] Ἐκ ΔΓ, ΑΤ, ἀπάγειν. —— ΕΔ. 17, οἰκίδια.] ΔΓ, οἰκήματα. Ἴσως ἦν Οἰκία (πληθ. καὶ οὐδετέρ.) —— ΕΔ. 19, ὅτι ἍΛΛΩ διαφέρει.] Διάφ. γραφ. ὍΛΩ, οὐ κακὴ, ἴσως δὲ καὶ προαιρετέα. Συνεχῶς εὕρηται παρὰ τῷ Πλάτωνι, ὁτὲ μὲν μόνον τὸ Ὅλον, οὐκ ὀλιγάκις δὲ καὶ μετὰ προσθήκης τοῦ Πᾶν· οἷον, « Ὅλῳ καὶ παντὶ διαφέρει » (Κρατυλ. σελ. 433) καὶ αὖθις, « Ἀλλὰ μὴν τοῦτό γε διαφέρει ὅλον τε καὶ πᾶν » (Ἀλκιβ. Α, σελ. 109). Τὸ τελευταῖον τοῦτο ἡ παρ' ἡμῖν συνήθεια, εἰς ἓν συνάψασα, ἐπίῤῥημα ἔπλασε τὸ Ὁλόγκαιπαν, ὃ χυδαιέστερον ἐποίησεν ὁ Γραικιταλὸς Λεξικογράφος, γράψας, « Ὁλόκεπα, ὁλότελα, » ὁλόπασι.... totalmente κ. τ. λ. ». Ἔστι δ' οὖν τὸ Ὅλον καὶ πᾶν, ἢ τὸ Ὁλόγκαιπαν, τὸ παρὰ τοῖς Γάλλοις en tout et pour tout. —— ΕΔ. 25, ἐστιν ἡ πολιορκία.] Ἄμεινον ἴσως γράφειν ἀνάρθρως, ἐστι πολιορκία. —— ΕΔ. 26, κατασφάττωνται.] Ἐκ ΔΓ, ΑΤ,

Digitized by Google

κατασφάζωνται. — ΕΔ. 28, οὐκ ἔστιν ἱκανῶς ΘΑΥΜΑΣΑΙ τὸ γινόμενον.] Ὑποκτον ἔδοξέ τισι τῶν κριτικῶν τὸ θαυμάσαι· καὶ τρέπειν ἠβούλοντο εἰς τὸ τιμῆσαι (τουτέστι, κρῖναι). Ἄμεινον ἔμοι γε δοκεῖ τρέπειν εἰς τὸ ΘΕΑΣΘΑΙ ἢ ΘΕΑΣΑΣΘΑΙ, ἐπὶ τῆς αὐτῆς ἐννοίας· Διὰ τοῦτο οὐκ ἔστιν ἱκανῶς θεωρῆσαι καὶ κρῖναι τὰ γινόμενα, διότι οὐκ ἐρχόμεθα ἐπὶ τοὺς κανόνας, οὐδὲ παραμετροῦμεν τούτοις αὐτά. — ΕΔ. 31, ἐμοὶ δὲ ΜΗ ἀρκῇ τὸ φαινόμενον;] Ἐξέκλεισεν ὁ πρὸ ἐμοῦ τὴν ἀπαγόρευσιν τοῦ κειμένου· ὁ μέντοι νοῦς (ἐρωτηματικῶς καὶ εἰρωνικῶς)· Μὴ κρείσσων εἰμὶ τοῦ Ἀγαμέμνονος καὶ τοῦ Ἀχιλλέως, ὥστε ἐκείνους μὲν ἀκολουθεῖν ἀπερισκέπτως τοῖς φαινομένοις, ἐμοὶ δὲ μὴ ἀρκεῖν τὸ φαινόμενον; Εἰ δὲ ὁριστικῶς στίζοις, τηνικαῦτα γραπτέον, Οὐκ ἀρκεῖ, μετὰ τῆς ἀρνήσεως, καὶ οὐ, Μὴ ἀρκῇ.

ΚΕΦΑΛΑΙΟΝ κϑ', ΕΔΑΦΙΟΝ 9, Ὑμεῖς οὖν οἱ φιλόσοφοι κ. τ. λ.] Ἀρχαῖον ἔθος τυράννων, καὶ τῶν τυράννοις χαριζομένων, τὸ διαβάλλειν τοὺς φιλοσόφους, ὡς στάσεως διδασκάλους. Οὕτως ὁ τοῦ Σωκράτους κατήγορος παρὰ τῷ τυράννῳ δήμῳ τῶν Ἀθηναίων, προσετίθει καὶ τοῦτο τοῖς ἄλλοις, ὅτι Σωκράτης, « Ὑπερορᾶν ἐποίει τῶν καθεστώτων νόμων τοὺς συνόντας » (Ξενοφ. Ἀπομν. Α, ΙΙ, 9). Καὶ αὐτὸν δὲ τὸν Χριστὸν ὁ σκληροτράχηλος τῶν Ἰουδαίων λαὸς, διδαχθέντες ὑπὸ τῶν ἀρχιερέων, κατηγόρει παρὰ τῷ Πιλάτῳ, ὡς « διαστρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρους διδόναι. » (Λουκ. κγ', 1-5). — ΤΩΝ ὧν ἐκεῖνοι ἐξουσίαν.] Ἢ διαγραπτέον τὸ ἄρθρον, ἢ τρεπτέον εἰς τὸ ΤΟΥΤΩΝ, ὡς τις παρήνει τῶν πρὸ ἐμοῦ. — ΕΔ. 12, αὐτὸ αὑτό.] Τὸ δόγμα ἐνίκησεν αὐτὸ ἑαυτό. Ἐν ἄλλοις δὲ φέρεται, Αὐτὸς αὑτὸν, τουτέστιν ὁ δοξάζων. — ΕΔ. 16, Σωκράτης οὖν ἵνα πάθῃ ταῦτα ὑπ' Ἀθηναίων;] Σημειοῦ τὸ σχετλιαστικὸν ΙΝΑ, ὃ ἴσην ποιεῖ τὴν φράσιν τῷ, Ἔδει οὖν (ἢ Δίκαιον ἦν) τὸν Σωκράτην παθεῖν ταῦτα· ὅπερ ἔσωσε καὶ ἡ παρ' ἡμῖν συνήθεια ἐν τῷ ΝΑ, οἷον Ὁ Σωκράτης νὰ πάθῃ ταῦτα ἀπὸ τοὺς Ἀθηναίους! — Τῷ σωματίῳ ΤΟΥ Σωκράτους.] ΔΓ (κομψοτέρα), ΤΩ. — Κἀκεῖνο ΑΠΟΨΥΓΗ] ΗΔ (λανθάνουσα τέως ἐν τῇ κακῇ ΔΓ, ἀποφυγῇ), ἀντὶ τοῦ ΑΠΟΨΥΧΗ· ἀορίστου γὰρ εἶναι χρεὶαν ἐνθάδε, δηλοῦσι καὶ οἱ πρὸ τούτου ἕτεροι ἀόριστοι. Αἰνίττεται δὲ ὅ φησι Πλάτων (Φαίδ. σελ. 117) περὶ τοῦ δόντος Σωκράτει τὸ κώνειον, ὅτι πιέσας Σωκράτους τὸν πόδα καὶ τὰς κνήμας, ἤρετο εἰ αἰσθάνοιτο, καὶ τοῖς ἄλλοις « ἐπεδείκνυτο, ὅτι ΨΥΧΟΙΤΟ τε καὶ πήγνυτο. » — ΕΔ. 18, Ἐμὲ δ' Ἄνυτος κ. τ. λ.]

Digitized by Google

Ἴδε τὰ εἰς τὸ Ἐγχειρίδιον (LIII, σελ. 142) σημειωθέντα. —— ΕΔ. 21, τὸν λύχνον ἀπώλισα] οὗ καὶ ἐν τοῖς πρόσθεν (I, ιή, 15) ἐμνημόνευσε. —— ΕΔ. 23, ποίαν ἔπραξα ἂν εἰσαγωγὴν,] ποίαν διδασκαλίαν ἠδυνάμην διδάξαι κ. τ. λ. ὥσπερ ἐξεδέξαντο οἱ πρὸ ἐμοῦ· ἀλλὰ διαγραπτέον τὸν δυνητικὸν, ἵνα τὸ Ποίαν ἔπραξα εἰσαγωγὴν, σημαίνῃ, Ποίαν διδασκαλίαν τοιαύτην ἐποιησάμην, Τίς μου ἤκουσέ ποτε εἰσηγουμένου, ὅτι οὐ χρὴ σύρεσθαι, κἂν ἰσχυρότερος ᾖ τοῦ συρομένου ὁ σύρων; —— περισπάσαντες] ΔΓ (ἴσως γνησιωτέρα), περιςάντες. —— ΕΔ. 26, Ἄφες αὐτὸν] τὸν κραυγάζοντα. —— ΕΔ. 28, Μέχρις ἂν οὗ ὁ λόγος αἱρῇ.] Ἐξηγησάμεθα ἐν ἄλλοις (Ἐγχειρδ. XXXII, σελ. 132) τὴν φράσιν, Ὁ λόγος αἱρεῖ, ἣν πολλάκις οἱ ἀντιγραφεῖς ἀγνοήσαντες, ἡμαύρωσαν, οἷον ἐν τῷδε Ἱπποκράτους τῷ χωρίῳ (Περὶ γον. § VII, σελ. 130), « Οὗτος ὁ λόγος ΕΡΕΕΙ καὶ τὸν ἄνδρα καὶ » τὴν γυναῖκα ἔχειν καὶ θῆλυν γόνον καὶ ἄῤῥενα· » ἔνθα γραπτέον, ΑΙΡΕΕΙ. —— ΕΔ. 32, ἐὰν δὲ μὴ τοῦτο ΘΕΛΗΣ.] Ἐξ εἰκασίας τῶν πρὸ ἐμοῦ, ἀντὶ τοῦ ΘΕΛΗ· Εἰ δὲ μὴ θέλοις ἐπικροτεῖν, λείπεταί σοι σιωπᾶν. —— ΕΔ. 34, ΝΕΟΣ γὰρ ἀπὸ σχολῆς.... ὅμοιός ἐστι τῷ κ. τ. λ.] Ἐκ ΔΓ καὶ παραινέσεως τῶν πρὸ ἐμοῦ, ἀντὶ τοῦ, ΝΕΩ. Ὁ νοῦς καὶ ἡ συνάρτησις, Νέος, ἔναγχος ἐξερχόμενος τῆς σχολῆς, καὶ ἀπιὼν εἰς περίστασιν, τουτέστιν εἰς ἀφορμὴν ἐμπεσὼν τοῦ δοῦναι δεῖγμα τῆς ἑαυτοῦ σοφίας, ὅμοιός ἐστι τῷ μελετῶντι συλλογισμοὺς ἀναλύειν. —— Κἂν τις... προτείνῃ] τῷ μεμελετηκότι συλλογισμοὺς ἀναλύειν. —— ΕΔ. 35, Οὗτός ἐστιν εὐφυὴς νέος.] Ἐπίκτητός ἐστιν ὁ λέγων ταῦτα, ὡς ἐξεδέξατο ὁ πρὸ ἐμοῦ· τουτέστιν, Ὁ οἷος ἕτοιμος εἶναι πρὸς τὸ γυμνάσασθαι, νέος ἐστὶν εὐφυής. —— Οὔ· ἀλλὰ καλέσαντος κ. τ. λ.] φήσει τις τῶν ἀκουόντων ὑμῶν, Οὐκ ἔστι τοῦτο εὐφυές· πρὸς ὃν ἀποκρίνομαι· ἀλλὰ τί ἔδει ποιεῖν τὸν νέαν, καλοῦντος τοῦ καιροῦ, μηδὲ διδόντος ἀναβολήν; ἔδει κλαίειν καὶ λέγειν κ. τ. λ.; —— ὥστ' ἔργῳ δεῖξαι.] Αἱ ἀρχαῖαι ἐκδόσεις καὶ πολλὰ τῶν ἀντιγράφων μετὰ τῆς ἀρνήσεως, Οὐχ ὥστ' ἔργῳ δεῖξαι· ὅθεν οὐκ ἀλόγως ὑπενόησεν ὁ πρὸ ἐμοῦ, μήποτε ἐξερρύη τι τοῦ χωρίου, γεγραμμένου πάλαι, Οὐχ ὥςε λόγῳ, ἀλλ' ἔργῳ δεῖξαι. —— ΕΔ. 36, τῶν καθημένων ἐνταῦθα] ἀκροατῶν μου. —— Ἐμοὶ... μὴ ἔρχεσθαι κ. τ. λ.] Ἐλλειπτικὸν οὐ λέξεως ἀλλ' ὅλου λόγου, τοιούτου, Οὐ δεινὸν, Οὐ σχέτλιον ἢ Οὐ δυστυχές ἐστι, τὸ μὴ δίδοσθαι νῦν ΕΜΟΙ ἀφορμὴν τοιαύτην, ὁποίαν δέδοται τούτῳ· κατὰ τὸ (Ἀριστοφάν. Νεφ. 268),

Digitized by Google

Τὸ δὲ μὴ κυνέην οἴκοθεν ἑλθεῖν ἘΜῈ τὸν κακοδαίμον' ἔχοντα!

—— ΕΔ. 36, Οὕτως ἔχειν ἔδει πάντας ὑμᾶς] τοὺς ἐμοὺς μαθητάς, ὥσπερ ἔχει ὁ ὠδίνων οὗτος συμμαθητὴς ὑμῶν. —— ΕΔ. 37, Ἐν τοῖς Καίσαρος μονομάχοις.] Ἰδίους γὰρ ἔτρεφον οἱ Καίσαρες μονομάχους εἰς τὰς θέας. —— οὐδὲ ζευγνύει] κατὰ δύο ἑκάστους —— καὶ εὔχονται τῷ θεῷ.] Θέας μονομάχων παρέχειν ἐφίλουν οἱ Καίσαρες (Πλουτάρχ. Καισ. § 55) προσποιούμενοι τὸν δῆμον. Καὶ ἦν ἡ περὶ τὰς μονομαχίας σπουδὴ τοσαύτη, ὥςε οὐ μόνους τοὺς θεωμένους ἐπικροτεῖν ταῖς βαρβάροις σφαγαῖς, ἀλλὰ καὶ αὐτοὺς τοὺς μονομάχους σπεύδειν ἀπονενοημένως ἐπὶ τὸν θάνατον. Καὶ τοῦτό ἐστιν ὃ λέγει, « Καὶ εὔχονται τῷ » θεῷ, καὶ προσέρχονται κ. τ. λ. » Πολλάκις δὲ καὶ μὴ παρόντων ἀγώνων συνετίθεντο περὶ τῆς σφαγῆς τῷ τυχόντι, ἐπὶ τιμήματι τοῖς τοῦ σφαγέντος οἰκείοις δοθησομένῳ, ὡς ἱστόρηκεν Εὐφορίων (παρὰ τῷ Ἀθην. σελ. 154), λέγων οὑτωσί· « Παρὰ δὲ τοῖς Ῥωμαίοις » προτίθεσθαι πέντε μνᾶς τοῖς ὑπομένειν βουλομένοις τὴν κεφαλὴν » ἀποκοπῆναι πελέκει, ὥστε τοὺς κληρονόμους κομίσασθαι τὸ ἆθλον· » καὶ πολλάκις ἀπογραφομένους πλείους, δικαιολογεῖσθαι καθ' ὃ » δικαιότατός ἐστιν ἕκαστος ΑὐΤΟΣ ἀποτυμπανισθῆναι· » ἔνθα γραπτέον ἴσως, ΠΡΩΤΟΣ. —— Τοῖς ἐπιτρόποις] τοῦ Καίσαρος. —— ΕΔ. 38, Ἤθελον πλεῦσαι κ. τ. λ.] ἀπὸ Νικοπόλεως εἰς Ῥώμην, ἵν' ἴδοιμι τίνι τρόπῳ μελετᾷ τὴν δοθεῖσαν αὐτῷ ὑπόθεσιν ὁ ἀθλητής μου· νόει δὲ τοῦτον ἕνα τῶν μαθητῶν Ἐπικτήτου. —— ΕΔ. 40, Σόν ἐστι προτεῖναι] ἀντὶ τοῦ παραιτεῖσθαι τὴν δοθεῖσαν ὑπόθεσιν, ἐχρῆν σε λέγειν τῷ διδόντι, Σοὶ προσήκει τὸ προτεῖναι ὁποιανδήποτε βούλει ὑπόθεσιν, ἐμοὶ δὲ τὸ μελετῆσαι καλῶς αὐτήν. Οὕτως ἐξηγήσαντο οἱ πρὸ ἡμῶν. —— μὴ τοιοῦτό μοι προβάλῃς τροπικόν.] Τροπικὸν ἐκάλουν οἱ καινοτόμοι περὶ τὰς λέξεις Στωϊκοὶ τὸ ἄλλως λεγόμενον Συνημμένον, περὶ οὗ ἔπιθι τὰ εἰς τὸ Ἐγχειρίδιον (XXXVI καὶ XLII, σελ. 137-138) σημειωθέντα. Καὶ ἐν πολλοῖς ἄλλοις δὲ διαλεκτικοῖς ὅροις διηνέχθησαν πρὸς τοὺς Περιπατητικούς, ἢ δῆλον ἐκ τοῦ ὑποκειμένου διαγράμματος, ὃ οἱ πρὸ ἐμοῦ μετέγραψαν ἐκ τοῦ Φιλοπόνου.

Digitized by Google

ΤΑ ΚΑΤΑ ΤΟΥΣ	ΕΚΑΛΟΥΝΤΟ ΥΠΟ ΤΩΝ
ΠΕΡΙΠΑΤΗΤΙΚΟΥΣ,	ΣΤΩΙΚΩΝ,
Πράγματα.....	Τυγχάνοντα,
Νοήματα.....	Ἐκφορικά,
Φωναί.....	Λεκτά,
Ἡγούμενον.....	Ἡγούμενον,
Ἑπόμενον.....	Λῆγον,
Συνημμένον.....	Τροπικὸν,
Μετάληψις.....	Πρόσληψις,
Συμπέρασμα.....	Ἐπιφορά.

— μὴ τοιαύτην ἐπενέγκῃς τὴν ὑποφοράν.] Μὴ τοιαύτην ἀντιλογίαν ἀντείπῃς μοι· ὡς ἐξηγήσατο ὁ πρὸ ἐμοῦ, ὃς καὶ τὸ ἐπενέγκῃς εἰς τὸ ὑπενέγκῃς τρεπτέον εἶναι ὑπενόει, οὐκ ἀλόγως, εἰ ἀραρότως ὀρθὴ ἦν ἡ γραφὴ τοῦ ὑποφοράν, μηδ' ἔδει μᾶλλον γράφειν, Ἐπιφοράν. — ΕΔ. 41, καὶ τὸ σύρμα.] Οὕτως ἐκάλουν ἑλληνίζοντες Syrma καὶ οἱ Ῥωμαῖοι τὴν τοῦ τραγικοῦ ὑποκριτοῦ στολὴν, παρὰ τὸ Σύρω, διὰ τὸ τηλικαύτην εἶναι τὸ μῆκος, ὥστε σύρεσθαι ἐξόπισθεν κατὰ γῆς. Ἡ δὲ παρ' ἡμῖν συνήθεια νῦν Σύρμα καλεῖ τὸν χρυσοῦν ἢ ἀργυροῦν μίτον (fil d'or ou d'argent). Ὁ δὲ νοῦς τοῦ προκειμένου, Ἴσως οἱ τραγῳδοὶ οἰήσονται, ἀρκεῖν αὐτοῖς τὰ τοῦ τραγῳδοῦ φέρειν σκεύη καὶ φορήματα εἰς τὸ τραγῳδοὺς τεχνικοὺς νομίζεσθαι, ὡς καὶ σὺ τυχὸν ἱκανὸν εἶναί σοι οἴει, εἰ φιλοσόφου σχῆμα φέρεις (οἷον ὑπήνην καὶ τριβώνιον, οἷς διεκρίνοντο οἱ φιλόσοφοι), καίπερ οὐδὲν ἄξιον φιλοσοφίας ἔχων ἐπιδείκνυσθαι. — ΕΔ. 42, κοινὰ γὰρ ἔχουσι κ. τ. λ.] Τὰς ἐμβάδας καὶ τὸ προσωπεῖον ὅ τε τραγῳδὸς καὶ ὁ γελωτοποιός. — ΕΔ. 43, καὶ ἐν εἰδώλῳ κ. τ. λ.] Οὔθ' ὡς τραγῳδὸν οὐθ' ὡς γελωτοποιὸν, ἀλλ' εἴδωλον μόνον τεθνηκότος, λαλοῦν ἐν τῇ σκηνῇ· οἷόν ἐστι τὸ Πολυδώρου εἴδωλον ἐν τῇ Εὐριπίδου Ἑκάβῃ. Οὕτως ἐξηγήσαντο οἱ πρὸ ἡμῶν. — προαγάγῃ] Ἐξ ΕΔ, ΑΤ, προσαγάγῃ. — ΕΔ. 45, πρόελθε.] Ἐξ ΕΔ, ΑΤ, πρόσελθε. — Πῶς οὖν ἀναβαίνεις] ἐπὶ τὴν σκηνὴν τοῦ βίου. — ΕΔ. 48, Κύριε.] Πρὸς τὸν θεὸν

Digitized by Google

τοῦτο. —— ΕΔ. 49, προαγαγεῖν.] Ἐξ ΕΔ, ΑΤ, προσαγαγεῖν. —— ΕΔ. 50, Κρίνω σε ἀσεβῆ,] ὥσπερ οἱ κρίναντες τὸν Σωκράτην. —— ΕΔ. 51, τὸ συνημμένον] ὁ ὑποθετικὸς συλλογισμός, Εἰ ἡμέρα ἐστὶ κ. τ. λ. —— ΕΔ. 53, περὶ τῆς νήτης, εἶναι ὑπάτην] εἰ τὴν ἐσχάτην χορδὴν ἰσχυρίζοιτο εἶναι τὴν ὑπερτάτην. Συνήρηται τὸ Νήτη παρὰ τὸ Νεάτη, ἢ δηλοῖ Φώτιος· « Νεάτην, οὐχὶ Νήτην λέγουσι, καὶ » Παρανεάτην καὶ Τριτονεάτην. » Ὑπάτη δὲ, ἡ ὑπερτάτη. —— ΕΔ. 54, Ὦ πολλῆς ἀδικίας τῶν πεπαιδευμένων!] Διττῶς ἐξηγήσαντο· Ὦ πολλῆς ἀδικίας τῆς γινομένης εἰς τοὺς πεπαιδευμένους παρὰ τῶν κακῶς αὐτοὺς κρινόντων· ἢ, Ὦ πολλῆς ἀδικίας ἦν ἀδικοῦσιν οἱ μὴ ταῖς ἀληθείαις πεπαιδευμένοι, ἄλλως δὲ σφετεριζόμενοι τὸ τῶν πεπαιδευμένων ὄνομα. Ἄμεινον τὸ δεύτερον. —— ΕΔ. 58, τοῦ σχολάζοντος] τοῦ σχολὴν ἔχοντος. —— ΕΔ. 59, ὡς οἱ δραπέται] ὡς δοῦλος φεύγων τὸν δεσπότην, καὶ περιτυχὼν θεάματι ἐν τῇ ὁδῷ, θεωρεῖ μὲν, ἀλλὰ σπεύδων ὅτι τάχιστα τῆς θεωρίας ἀπαλλαγῆναι, διὰ τὸ δεδοικέναι μὴ καταληφθῇ ὑπὸ τοῦ ἐπιδιώκοντος δεσπότου· —— οὐχ ὡς ἐκεῖνοι] οἱ δραπέται δοῦλοι. —— ἐπέστη] ὁ δραπέτης. Ἀπὸ τοῦ πλησιαστικοῦ εἰς τὸ ἐνικὸν, ὡς ἐν τοῖς ἑξῆς ἀπὸ τούτου πάλιν εἰς ἐκεῖνο. Καὶ τοῦτο πολὺ παρὰ τῷ Ἐπικτήτῳ. —— περιεβλέψατο] ἅμα θεωρῶν περιβλέπεται, καὶ ὧδε κἀκεῖσε στρέφει τοὺς ὀφθαλμοὺς, μή που λάθῃ παρὼν αὐτὸν ὁ δεσπότης —— ἂν τις φθέγξηται κύριον] ἐὰν μόνον ἀκούσῃ τινὸς ὀνομάζοντος τὸν δεσπότην, ἀποδρὰς ᾤχετο. —— σεσόβηνται] « Σεσο- » βημένος, ἄτακτος τὴν κίνησιν, τεθορυβημένος, τεταραγμένος » φησὶ Φώτιος. —— ΕΔ. 60, Ἀλλὰ θάνατος κ. τ. λ.] Τουτέστι τὰ περὶ θανάτου, ζωῆς, ἡδονῆς καὶ πόνου δόγματα (Ἐγχειριδ. V, XVI, καὶ XX) εἰσὶ τὰ κυριεύοντα τοῦ ἀνθρώπου —— ΕΔ. 65, Ὡς γενναίως ἡμᾶς ἀποδεδάκρυκε.] Σωκράτης ἔλεγε ταῦτα· « Ὡς ἀσεῖος ὁ ἄνθρωπος... καὶ νῦν ὡς γενναίως με » ἀποδακρύει. » (Πλάτ. Φαιδ. σελ. 116) —— ΕΔ. 66, διὰ τοῦτο τὰς γυναῖκας ἀπελύσαμεν.] Πρὸς τοὺς παρεστῶτας φίλους ὁ Σωκράτης κλαίοντας ἔλεγεν· « Οἷα ποιεῖτε, ὦ θαυμάσιοι· ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα » τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν. » (Πλατ. Φαιδ. σελ. 117). Καὶ σημειοῦ τὴν Ἐπικτήτου περὶ Σωκράτους φιλόσοφον κρίσιν· Τῷ μὲν δεσμοφύλακι, φησὶν, οὐκ εἶπε μὴ δεῖν δακρύειν, ἀλλὰ συγγνωμόνως καὶ ἀνεκτικῶς προσηνέχθη ὡς ἰδιώτῃ (τοῦτο γάρ ἐστι τὸ Συμπεριφέρεσθαι τοῖς ἰδιώταις), καὶ ἐπήνεσεν αὐτὸν ὡς ἐλεήμονα· τοῖς δὲ μαθηταῖς καὶ γνωρίμοις συμφιλοσοφεῖ, ἀποτρέπων αὐτοὺς τοῦ κλαίειν.

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ λ΄, ΕΔΑΦΙΟΝ 1, καὶ ἄλλος ἄνωθεν] ὁ πάνθ' ὁρῶν θεός. —— ΕΔ. 3, Ἐγώ; ἀδιάφορα] Ἐρωτηματικῶς ἔστιξα μετὰ τὴν ἀντωνυμίαν, διὰ τὸ σαφέστερον· ἔστι γὰρ σύνηθες ἐν ταῖς διαλέξεσι τὸ ἐπαναλαμβάνειν τὸν ἀποκρινόμενον τὴν ἐρώτησιν· ὥσπερ ἂν εἰ ἔλεγεν, Ἐρωτᾷς τί ἐγὼ, Ἐρωτᾷς ἐμέ, τί ἔλεγα ἐν τῇ σχολῇ κ. τ. λ.; Παράδειγμα τῶν τοιούτων ἐπαναλήψεων παρατιθέσθω ἐκ τοῦ Κωμικοῦ (Νεφ. 689 - 690),

ΠΩΣ ΑΝ καλέσειας, ἐντυχὼν Ἀμυνίᾳ;
ΟΠΩΣ Ἄν; ὠδί· Δεῦρο, δεῦρ', Ἀμυνία.

—— τὰ ἐξῆς· Τὰ ἀπροαίρετα οὐδὲν πρὸς ἐμέ.] Ἐκ ΔΓ προσέθηκά τὸ δεύτερον ἄρθρον· ἔστι γὰρ ἀπόκρισις πρὸς τὸ, Λέγε καὶ τὰ ἐξῆς· Λέγω ὅτι τὰ μὴ ἠρτημένα τῆς ἐμῆς προαιρέσεως, τὰ μὴ ἐπ' ἐμοὶ, οὐδὲν πρὸς ἐμέ (ils ne me regardent point). —— ΕΔ. 4, Τὸ σοὶ ἀκολουθεῖν] τῷ θεῷ. —— ΕΔ. 5, ΤΑΥΤΑ καὶ νῦν λέγεις.] Ἐξ ΕΔ, ἀντὶ τοῦ ΤΑΥΤΑ. —— Ἄπιθι λοιπὸν ἔσω] πρὸς τὸν ὑπερέχοντα, μετὰ τὸ σκέψασθαι ταῦτα πάντα. —— Τί ἐστι νέος] πόσου ἄξιός ἐστιν ὁ μεμελετηκὼς νέος, ἀναστρεφόμενος ἐν ἀνθρώποις μὴ μελετήσασι τὰ τοιαῦτα. —— ΕΔ. 6, ὅτι πείσῃ τὸ τοιοῦτον] ὅτι μέλλεις παθεῖν τὸ τοιοῦτον, μέλλεις αἰσθέσθαι, τῆς ἀνδρὶ ἐλευθέρῳ προσηκούσης μεγαλοφροσύνης. —— Τί οὕτω μεγάλα κ. τ. λ.] Ὁ νέος ταῦτα λέγει πρὸς ἑαυτὸν, μετὰ τὸ εἰσελθεῖν εἰς τὸν ὑπερέχοντα, καὶ κατιδεῖν αὐτοῦ τὴν τρυφὴν καὶ πολυτέλειαν. —— ΕΔ. 7, οἱ ἐπὶ τῆς μαχαίρας.] Τοὺς αὐτοὺς οἴεται ὁ Δουκάγγιος (σελ. 892) τοῖς καλουμένοις Μαχαιροφόροις, τοῦτο παρατιθέμενος Ἐπικτήτου τὸ χωρίον.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ά, ΕΔΑΦΙΟΝ 7, καὶ οὕτως ἅμα.] Ἐκ ΔΓ, ΑΤ, καὶ οὕτω μὴν ἅμα. —— ΕΔ. 8, φοβοῦνται φεύγουσαι, κ. τ. λ.] Τὸ ἐμὸν ΤΡ. φέρει προσγεγραμμένην ΔΓ, φοβοῦνται καὶ φεύγουσιν, γνησιωτέραν ἴσως. Ποικιλόχροα δὲ πτερὰ προτείνοντες οἱ κυνηγέται ἐκφοβοῦσι τὰς ἐλάφους, καὶ πρὸς τὰς ἄρκυς θεῖν αὐτὰς ἀναγκάζουσι —— ἐναλλάξασαι τὰ φοβερά κ. τ. λ.] πεφοβημέναι ἃ οὐκ ἔδει φοβεῖ-

Digitized by Google

σθαι, καὶ τεθαρρηκυῖαι πρὸς ἃ θαρρεῖν οὐκ ὤφειλον. —— ΕΔ. 13, Οὐ κατθανεῖν κ. τ. λ.] Ἐξ ἀδήλου δράματος Εὐριπίδου. —— ΕΔ. 15, μορμολύκεια ἐκάλει.] Ἴδ. Πλάτων. Φαίδων. σελ. 77. « Μορ» μολύκεια, τὰ τῶν τραγῳδῶν προσωπεῖα » φασὶν Ἡσύχιός τε καὶ Φώτιος. —— Πρὸς τὰς μορμολυκείας.] Λέγεται γὰρ τὸ μορμολυκεῖον, οὐδετέρως, καὶ ἡ μορμολύκη, θηλυκῶς (Ἴδ. Στραβ. τόμ. I, σελ. 19)· ἴσως δὲ καὶ Μορμολύκεια, πεντασυλλάβως, κατὰ τὸ Περσεφόνη καὶ Περσεφόνεια, καὶ Πηνελόπη καὶ Πηνελόπεια. —— ΕΔ. 19, τραχέως... εἶτα πάλιν λείως] λυπηρῶς, εἶτα ἡδέως, ὁτὲ μὲν λύπην, ὁτὲ δ' ἡδονὴν αἰσθάνεται τὸ σῶμα (Ἴδ. Μαρκ. Ἀντων. Δ΄ γ΄. Ε΄, κς΄, καὶ Ι΄, η΄) —— ΕΔ. 20, καὶ πράγμα οὐκ ἔχομεν.] « Πράγματα, δυσχέ» ρειαι » φησὶν Ἡσύχιος· —— ΕΔ. 24, τῇ αὐτῇ ὁδῷ.] ἅμα καὶ ἐν τῷ αὐτῷ χρόνῳ, ὡς ὀρθῶς ἐξηγήσατο ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 25, ὑμῖν πιστεύσομεν.] ΔΓ (προσγεγραμμένη τῷ ἐμῷ ΤΡ.) ἡμεῖς κ. τ. λ. Ἴσ. γρ. ἡμεῖς ὑμῖν πιστεύσομεν. —— ΕΔ. 26, Ὅταν οὖν στρέψῃ τις κ. τ. λ.] Ἔθος ἦν Ῥωμαίοις, τὸν βουλόμενον ἐλευθεροῦν τινα τῶν αὐτοῦ δούλων, ἄγειν αὐτὸν εἰς τὸ Στρατηγεῖον, κἀκεῖ μετὰ τὸ φάναι τῷ στρατηγῷ, Τὸν ἄνθρωπον τοῦτον ἐλεύθερον εἶναι βούλομαι (hunc hominem liberum esse volo), περιστρέφειν αὐτὸν τῇ χειρὶ λαβόντα. —— καὶ εἰκοστὴν κ. τ. λ.] Τὸ εἰκοστὸν μέρος τῆς τιμῆς τοῦ δούλου, ὃ ἔδει τελέσαι τῷ στρατηγῷ. —— ΕΔ. 28, ὁ ἄλλους στρέφειν δυνάμενος] ὁ μόνῃ τῇ περιστροφῇ καὶ περιδινήσει ἐξουσίαν ἔχων ἐλευθεροῦν οὕστινας βούλει τῶν σαυτοῦ δούλων. —— ΕΔ. 30, Ἀλλ' οὐκ ἀνέγνων σοι; κ. τ. λ.] Ὁ μαθητὴς ταῦτα λέγει πρὸς τὸν Ἐπίκτητον (Ἴδ. ἀνωτέρ. I, 26. 1). —— ΕΔ. 31, Ἐν λεξειδίοις. Ἔχε σου τὰ λεξείδια. Δεῖξον κ. τ. λ.] Ἐκ ΔΓ (προσγεγραμμένης τῷ ἐμῷ ΤΡ.) προσέθηκα τὰς τέσσαρας μέσας λέξεις, ΑΤ, « Ἐν Λε» ξειδίοις. Δεῖξον ». —— ἀπαλείψεις.] Ἴσ. γρ. καταλείψεις. —— ΕΔ. 32, Καὶ τίς τοσαῦτα;] Ἄπορον εἰκότως ἔδοξε τοῖς κριτικοῖς τὸ λεγόμενον Ἐπικτήτῳ, ὅτι Σωκράτης πολλὰ ἔγραψε, Σωκράτους μηδὲν ὅλως γράψαντος. Τὸ ἐχόμενον μέντοι « Ἀλλὰ πῶς; » ἀποχρώντως οἶμαι δηλοῦν τὸν νοῦν τοῦ Ἔγραψεν· Ἑαυτὸν καθ' ἑκάστην ἐξετάζων καὶ ἐπανορθούμενος ὁ Σωκράτης ἐνεχάρασσε τὰς ἐπανορθώσεις ἐν τῇ ἑαυτοῦ ψυχῇ, οἱονεὶ γράμματα ἐν δέλτῳ. —— ΕΔ. 33, ΤΑΥΤΑ γράφει φιλόσοφος.] Ἴσως ἐγράφετο ΤΟΙΑΥΤΑ· ὃ μᾶλλον ἂν ἥρμοσεν ἢ προειθέμεθα ἐξηγήσει τοῦ προτέρου χωρίου. —— λεξείδια δὲ καὶ

Digitized by Google

Η ΟΔΟΣ, ἣν λέγω κ. τ. λ.] Οὐκ ἔῤῥωται τὸ χωρίον, ὅπερ ἄλλοι ἄλλως διορθοῦν καὶ ἐξηγεῖσθαι ἐπεχείρησαν. Ἴσως γραπτέον, ΠΕΡΙΟΔΟΣ. —— ΕΔ. 34, Καὶ νῦν... ἐμπερπερεύσῃ;] Πρὸς τὸν μαθητὴν ταῦτα ὑπὸ τοῦ Ἐπικτήτου. Τὸ δὲ Ἐμπερπερεύεσθαι (οὗ τῷ ἁπλῷ ἐχρήσατο ὁ Μάρκος (Ε' ε'), καὶ πρὸ αὐτοῦ ὁ Ἀπόστολος Παῦλος ἐν τῷ « Ἡ ἀγάπη οὐ περπερεύεται » (Πρὸς Κορινθ. Α', ιγ', 4), ἐστὶ τὸ προπετῶς καταλαζονεύεσθαι (faire l'insolent). Καὶ τὸ πρᾶγμα Περπερεία, καὶ ὁ ἔχων αὐτὸ Πέρπερος. « Πέρπερος (φησὶ Φώτιος), » ὁ μετὰ βλακείας ἐπῃρμένος, οἷον λάλος, προπετὴς, μηδὲν λογισμῷ » ποιῶν. » —— ΕΔ. 36, Δόξον δὲ μηδεὶς εἶναι κ. τ. λ.] Παράβαλε ταῦτα τοῖς ἀλλαχοῦ (Ἐγχειρίδ. XIII). —— ΕΔ. 39, τίνα δύναται λογικὸν ἡγεμονικόν.] Ἴσως διαγραπτέον θάτερον τῶν δύο τελευταίων ἐπιθέτων· ἑκάτερον γὰρ ταὐτὸ σημαίνει παρὰ τοῖς Στωϊκοῖς, τὴν λογικὴν ψυχήν.

ΚΕΦΑΛΑΙΟΝ β', ΕΔΑΦΙΟΝ 1, καὶ ποῦ θέλεις ΑΝΥΣΑΙ.] Συνῆκε καὶ ὁ πρὸ ἐμοῦ τὴν ἀτοπίαν τοῦ τοπικοῦ ἐπιῤῥήματος Ποῦ (ΔΓ, τοῦ)· καὶ τὸ ἀνῦσαι δὲ οὐχ ἧττον ἄπορον ἐνθάδε. Ἴσως ἐγέγραπτο πάλαι, « καὶ ΤΙ ΟΥ̓ θέλεις ΑΠΟΔΕΣΑΙ. » —— ΕΔ. 2, πᾶσά σοι εὐμάρεια.] Ἐν τῷ ἐμῷ ΤΡ. Πᾶσα εὐμάρεια, διαγεγραμμένης τῆς ἀντωνυμίας. —— ΕΔ. 7, Τοῦτό σοι προοίμιον.... εὐδοκίμησις.] Τὸ μὲν Προοίμιον καὶ ἡ Δίηγησις, καὶ ἡ Πίστις, καὶ ὁ Ἐπίλογος, μέρη ὄντα τοῦ πολιτικοῦ λόγου, ἀπὸ τῶν ῥητορικῶν, ὡς παραδείγματα, παρείληπται· ἡ νίκη δ' ἄλλως καὶ ἡ ἐπὶ τέλους εὐδοκίμησις, ὡς ἀποτελέσματα τοῦ λόγου τέθειται, ἡ μὲν τῷ δικανικῷ ἁρμόζουσα, ἡ δὲ ἅπασι μὲν τοῖς τοῦ λόγου γένεσι, κατ' ἐξαίρετον δὲ τῷ ἐπιδεικτικῷ καλουμένῳ προσήκουσα, ἡ εὐδοκίμησις. —— ΕΔ. 8-9, Οὐ δοκῶ... οὔτε δημοσίᾳ ἔπραξα.] Εὑρήσεις τούσδε Σωκράτους τοὺς λόγους παρὰ τῷ Ξενοφῶντι (Ἀπολογ. Σωκράτ. § 3 καὶ Ἀπομνημ. Δ, VIII, § 4). —— ΕΔ. 14, ποῦ φύσις... ὅπου ἡ φύσις.] Τοῦθ' ὅλον τὸ χωρίον οὑτωσὶ γραπτέον· εἶναι πάνυ πιθανῶς εἰκασέ τις τῶν πρὸ ἐμοῦ, « Ποῦ φύσις κακῶν καὶ ἀγαθῶν; οὗ καὶ ἀλήθεια. Ποῦ » ἀλήθεια; οὗ καὶ φύσις· ἐκεῖ τὸ εὐλαβές, ἐκεῖ τὸ θαῤῥαλέον » διαγράφοντα τὰ λοιπά. —— ΕΔ. 16, ἐνταῦθα οὐ φέρει, ἀλλ' ἄλλη] οὐ φέρει ἐπὶ τὸ τηρῆσαι, ἀλλὰ μᾶλλον εἰς τὸ ἀπολέσαι τὴν ζωήν· ὁ γὰρ τηρῆσαι αὐτὴν ὀρεγόμενος οὐχ οὕτω μεγαλοφρόνως, ὥσπερ ὁ Σωκράτης, λαλεῖ τοῖς δικασταῖς. —— ΤΙ ΟΥ̓Ν ἐστιν, ὅτι οὐκ ἔχει

Digitized by Google

λόγον, καὶ προσερεθίζει;] Ἀσαφὲς τὸ εἰρημένον, ἄλλως τε καὶ ἐρωτηματικῶς ἐστιγμένον. Ἴσως ἐξερρύη τι ἐν ἀρχῇ τοῦ χωρίου. Γραφομένου γὰρ οὕτως ἀποφαντικῶς, ΑΛΛΟ ΤΙ ΟΥΝ ἐστιν ὅτι κ. τ. λ. ὁ νοῦς ἂν εἴη, ἄνωθεν ἀρξαμένοις, Οὐκ ἦν μωρὸς οὕτως ὁ Σωκράτης, ὥστε μὴ συνιδεῖν ὅτι οὕτως ἀπολογούμενος οὐκ ἔμελλε σωθῆναι· ἀλλ' ἄλλο τι ἦν τὸ κινῆσαν αὐτὸν οὐ μόνον ἐπὶ τὸ ἀλογῆσαι τῶν δικαστῶν, ἀλλὰ καὶ ἐπὶ τὸ προσερεθίσαι αὐτούς. —— ΕΔ. 17, Ὡς ὁ ἐμὸς Ἡράκλειτος] φίλος ἦ γνώριμος Ἐπικτήτου τις τῶν συγχρόνων. —— περὶ ἀγριδίου πραγμάτιον ἔχων.] Ὑποκοριστικῶς, ἀντὶ τοῦ, περὶ ἀγροῦ πρᾶγμα ἔχων, κατ' ἔθος στωϊκὸν τοῦ ἐκφαυλίζειν πάντα τὰ ἐκτὸς καὶ οὐκ ἐφ' ἡμῖν. Τὸ δὲ πρᾶγμα ἐνθάδε, ἐπὶ τῆς δίκης (καθὰ καὶ ἐν τῇ Γάλλων φωνῇ τὸ affaire ἰσοδυναμεῖ τῷ procès), καὶ Πρᾶγμα ἔχειν, ἐστὶ τὸ παρὰ τοῖς Γάλλοις être en procès, ἐφ' ἧς σημασίας ἐχρήσατο καὶ ὁ Ἀπόστολος (Πρὸς Κορινθ. Α, ϛ' 1) « Τολμᾷ τις ὑμῶν, πρᾶγμα ἔχων πρὸς τὸν » ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων κ. τ. λ. » —— κατέστρεψε τὸ πραγμάτιον] διέφθειρε τὴν δίκην (il perdit son procès). —— ΕΔ. 19, τί ἀναβαίνεις,] ΗΔ (ἐκ κακῆς προσεγεγραμμένης τῷ ἐμῷ ΤΡ. ΔΓ. ἀναβένεις) ΑΤ, ἀναμένεις. Ἡ δὲ φράσις κατ' ἔλλειψιν, Τί ἀναβαίνεις ἐπὶ τὸ βῆμα, ἢ τὸ δικαστήριον; Ἐχρήσατο καὶ ἀλλαχοῦ (I, κθ', 45] τῷ ῥήματι, « Πῶς οὖν ἀναβαίνεις νῦν; » —— τί ὑπακούεις;] τῷ καλοῦντί σε εἰς τὴν κρίσιν. —— ΕΔ. 20, τό γε παρ' αὐτὸν] ὅσον αὐτός γε δύναται, ὁ πεῖσαι βουλόμενος. —— ΕΔ. 22, Ἐπεὶ ἘΚΕΙΝΩ γε ὁμοιόν ἐσιν.] ΗΔ, ἀντὶ τοῦ ἘΚΕΙΝΟ. —— ΕΔ. 23, παρελθὼν ἐκεῖνος] ὁ μέλλων προβαλεῖν τὸ ὄνομα. —— ΕΔ. 26, Τίς δ' ἔστι κύριος.... τὴν ἐξουσίαν.] Παράβαλε ταῦτα τοῖς ἀλλαχοῦ (Ἐγχειριδ. XIV, § 2).

ΚΕΦΑΛΑΙΟΝ γ', ΕΔΑΦΙΟΝ 1, Καλῶς ὁ Διογένης κ. τ. λ.] Ἔχει δὲ ἡ ἀναφερομένη εἰς Διογένην ἐπιστολὴ οὕτως· « ΑΠΟΛΛΗΞΙΔΙ. Μηνό- » δωρον φιλόσοφον παρεκάλεσάν με συστῆσαί σοι Μεγαρικοὶ νεανίσκοι, » γελοιοτάτην σύστασιν. Ὅτι μὲν γὰρ ἄνθρωπός ἐστιν, ἐκ τῶν εἰκόνων » εἴσῃ· εἰ δὲ καὶ φιλόσοφος, διὰ βίου καὶ λόγου. Ὁ γὰρ καθ' ἡμᾶς » σπουδαῖος δι' ἑαυτοῦ συνίσταται. » —— ΕΔ. 4, Ἀλλ' ἐπὶ συλλο- γισμῶν.] Ἴσως ἐξερρύη ἕτερος συμπλεκτικὸς (Ἀλλ' ἐπὶ μὲν), ὥσπερ εἶκαζεν ὁ πρὸ ἐμοῦ.

ΚΕΦΑΛΑΙΟΝ δ', ΕΔΑΦΙΟΝ 1, Λέγοντος αὐτοῦ] τοῦ Ἐπικτήτου. —— ΕΔ. 8, Κἀγὼ λέγω.] Ἐν ἄλλοις (παρὰ Στοβ. σελ. VI, 82) Ἐπίκτητος ταῦτα λέγει περὶ τῆς τῶν γυναικῶν κοινότητος· « Ἐν Ῥώμῃ

Digitized by Google

» αἱ γυναῖκες μετὰ χεῖρας ἔχουσι τὴν Πλάτωνος πολιτείαν, ὅτι κοινὰς » ἀξιοῖ εἶναι τὰς γυναῖκας. Τοῖς γὰρ ῥήμασι προσέχουσι τὸν νοῦν, » οὐ τῇ διανοίᾳ τἀνδρὸς, ὅτι οὐ γαμεῖν κελεύων καὶ συνοικεῖν ἕνα » μιᾷ, εἶτα κοινὰς εἶναι βούλεται τὰς γυναῖκας· ἀλλ' ἐξαιρῶν τὸν » τοιοῦτον γάμον, καὶ ἄλλο τι εἶδος γάμου εἰσφέρων. Καὶ τὸ ὅλον, » οἱ ἄνθρωποι χαίρουσιν ἀπολογίας τοῖς ἑαυτῶν ἁμαρτήμασι πορίζοντες. » Ἐπεί τοι φιλοσοφία φησὶν, ὅτι οὐδὲ τὸν δάκτυλον ἐκτείνειν εἰκῇ » προσήκει. » Τοῦτο δ' ὅπερ ἐπὶ τελευτῆς φησιν Ἐπίκτητος, Ὅτι οὐδὲ τὸν δάκτυλον ἐκτείνειν εἰκῇ συγχωρεῖ ἡ φιλοσοφία, ἐναντιοῦσθαί πως ἔοικε τοῖς τῶν Στωϊκῶν, καὶ τούτων μάλιστα τοῖς Χρυσίππου δόγμασιν, ἐν τοῖς ἀδιαφόροις τάξαντος « Τὰ μήτε ὁρμῆς » μήτε ἀφορμῆς κινητικά· ὡς ἔχει τὸ ἀρτίας ἔχειν ἐπὶ τῆς κεφαλῆς » τρίχας ἢ περιττάς, ἢ ἐκτεῖναι τὸν δάκτυλον ἢ συστεῖλαι (Διογ. » Λαερτ. VII, 105), ἢ τὸ ἀνελέσθαι τι τῶν ἐμποδὼν κάρφος ἢ » φύλλον (Στοβ. Ἐκλογ. Μέρ. I, σελ. 142, Heeren) » —— Παρακειμένου.] ΔΓ, παρακατακειμένου. —— ΕΔ. 11, φιλόλογός εἰμι.] Οὕτως ἔγραψα, ἀντὶ τοῦ παροξυτόνου, φιλολόγος εἰμί. Περὶ δὲ τῆς τάσεως ἔπιθι τὰ ἐν τοῖς ἐξῆς (IV, δ', 42) σημειωθησόμεθα. —— καὶ Ἀρχέδημον νοῶ.] Στωϊκὸς φιλοσοφος ὁ Ἀρχέδημος (Διογ. Λαερτ. VII, 40), Ἀθηναῖος· ὃς, καθά φησι Πλούταρχος (Περὶ φυγ. § 14), « Εἰς τὴν Πάρθων μεταστὰς, ἐν Βαβυλῶνι Στωϊκὴν διαδοχὴν » ἀπέλιπε. » —— Τί γὰρ διαφέρει;] ΔΓ (ἐν τῷ ἐμῷ ΤΡ.) Τί γὰρ κωλύει; γνησιωτέρα ἴσως τῆς τέως ἐκδεδομένης, παραπλήσιος δ' οὖν οἷς Κέβης (σελ. 98) λέγει· » Οὐδὲν γὰρ κωλύει, εἰδέναι μὲν » γράμματα, καὶ κατέχειν τὰ μαθήματα πάντα, ὁμοίως δὲ μέθυ- » σον καὶ ἀκρατῆ εἶναι.... καὶ τὸ πέρας, ἄφρονα. »

ΚΕΦΑΛΑΙΟΝ ε', ΕΔΑΦΙΟΝ 6, καὶ ταύτῃ παρὰ τὴν φύσιν.] Καὶ ταύτῃ, ἢ κακόν ἐστι, καὶ διὰ τοῦτο, διότι κακόν ἐστι, ἐστὶ καὶ παρὰ φύσιν. —— ΕΔ. 8, ἐκεῖ οὔτε κωλύσαι μέ τις δύναται.] ΔΓ (ἐκ τοῦ παρ' ἐμοὶ ΤΡ) ἐκεῖ οὔτε κωλύσαι μέ τις ΕΙΝΑΙ δύναται· δηλονότι πρὸς τὸ ἐπίῤῥημα, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Οὔτε κωλύσαι μέ τις εἶναι ἐκεῖ δύναται.—— ΕΔ. 10, Τί μοι δύναται;] Τί μοί ἐστι δυνατόν. —— ΕΔ. 13, οὐ γάρ εἰμι αἰών.] Ὁ πρὸ ἐμοῦ παρατίθησι τὸν Βωσόβρον (Beausobre, *Histoir. du Manichéism.* tom. I, pag. 573), οὕτως ἐξηγούμενον τὸ χωρίον τόδε: « AION veut dire dans cet endroit, un Dieu, un immortel. » —— ΕΔ. 15, περὶ τοῦ

Digitized by Google

ἁρπαστοῦ.] Παιδιᾶς εἶδος τὸ Ἁρπαστὸν, ὅπερ καὶ Διὰ τῆς σφαίρας ἁρπαστὸν, καὶ Φαινίνδα ἐκαλεῖτο, κατὰ τὸν Ἀθήναιον (σελ. 12). Παραπλήσιόν τι ἔοικεν εἶναι καὶ ὁ μικρὸν ἀνωτέρω ὁ αὐτὸς Ἀθήναιος λέγει· « Τὸ ΦΟΥΛΛΙΚΛΟΝ καλούμενον (ἦν δὲ, ὡς ἔοικε ΣΦΑΙΡΙΣΚΟΝ τι) » εὗρεν Ἀττικὸς Νεαπολίτης κ. τ. λ. » Ἔνθα γραπτέον ΦΟΥΛΛΙΚΛΟΝ, καὶ ΣΦΑΙΡΙΚΟΝ, ἢ τὸ μήπω γνωστὸν τοῖς Λεξικογράφοις ΣΦΑΙΡΙΣΚΙΟΝ. Εἰκὸς γὰρ τὸν Ἀθήναιον παρασχηματίσαι τὸ παρὰ Ῥωμαίοις folliculus (σφαιρίσκιον) εἰς τὸ Φούλλικλον ἢ Φόλλικλον, κατὰ συγκοπὴν συνήθη, περὶ ἧς ἔπιθι ὧν εἰς τὸν Μάρκον Ἀντωνῖνον προσέθηκα Πίνακα (λέξ. Τοῦσκλα). —— ΕΔ. 16, ἵν' ἐγὼ μηδ' ἂν τὸν κόλπον ἐκτείνω, ΔΥΝΑΜΑΙ κ. τ. λ.] ΗΔ, ἀντὶ τοῦ ΔΥΝΩΜΑΙ. Οὐ σύνδεσμος ἐνθάδε τὸ Ἵνα, ἀλλ' ἐπίρρημα τοπικὸν (συνώνυμον τοῦ Ὅπου) ἀναφορικῶς πρὸς τὸ προηγησάμενον, Ἐν τούτῳ· Ἐν τούτῳ οἱ σφαιρισταὶ, ἐν τῷ βκλεῖν καὶ δέχεσθαι ἐπιδείκνυνται τὴν πᾶσαν τέχνην, ὅπου ἐγὼ οὐ δύναμαι δέξασθαι τὸ ἁρπαστὸν, οὐδ' ἂν ἐκτείνω τὸν κόλπον. Μαρτυρεῖ δὲ καὶ τὸ ἐχόμενον, Λαμβάνει, ὁριστικῶς πεφρασμένον. —— ΕΔ. 17, μίαν ἔβαλες.] Προσυπακουομένου τοῦ Σφαῖραν, ὡς ἔδοξε τῷ πρὸ ἐμοῦ. Ἴσως ἄμεινον προσυπακούειν τὸ Βολὴν, τουτέστιν ἅπαξ ἔβαλες, καθὰ καὶ ἐν τῇ συνηθείᾳ ἀνελλιπῶς φαμὲν, Μίαν βολὰν, δύο βολὰς (une fois, deux fois). —— ΕΔ. 18, Ἄνυτε, πῶς με φῄς κ. τ. λ.] Ὁ δὲ Πλάτων (Ἀπολογ. Σωκράτ. σελ. 27) πρὸς Μέλιτον (οὐ πρὸς Ἄνυτον) ποιεῖ ταῦτα τὸν Σωκράτην λέγοντα. —— ΕΔ. 20, τὴν μὲν ἐπιμέλειαν] ποιώμεθα τοιαύτην οἵαν καὶ οἱ ἀγαθοὶ σφαιρισταί. —— ΕΔ. 24, καθήξει], συμβήσεταί ποτε καὶ πηλῷ μολύναι τὸν πόδα. —— Οὐκέτι ΕΣΤΙ ποῦς.] ΔΓ (ἐκ τοῦ ἐμοῦ ΤΡ), ΕΣΤΑΙ. —— ΕΔ. 30, Εὖ σοι γένοιτο!] εἰρωνικῶς πρὸς τὸν ἀπειλοῦντα κρινεῖν, ὁ ἀπειλούμενος. —— Ἔστι γάρ τι κἀκείνου] ἔστι κίνδυνος καὶ τοῦ σὲ μὴ ποιῆσαι τὸ σόν· κινδυνεύεις καὶ σὺ ἀμελῆσαι τοῦ σοὶ καθήκοντος.

ΚΕΦΑΛΑΙΟΝ ς', ΕΔΑΦΙΟΝ 2, Μήτ' οὖν.] Ἐκ ΔΓ, ΑΤ, Μή ποτ' οὖν. —— ΕΔ. 3, πλεῖόν σου ἔχουσιν.] ΔΓ, ἔξουσιν. —— ΕΔ. 7, λάλησον αὐτῷ.] ΔΓ (ἐκ τοῦ ἐμοῦ ΤΡ.) λάλησον αὐτοῖς. —— ΕΔ. 8, μέμνησο ὅ, τι σὸν καὶ τί ἀλλότριον.] Γραπτέον, οἶμαι, ΤΙ ἀντὶ τοῦ, Ὅ, ΤΙ. —— ΕΔ. 9, τὰ ἐξῆς] τὰ μέλλοντα. —— ΕΔ. 10, ὥρμα ἂν ἐπὶ τὸ πηλοῦσθαι] εἰ ᾔδει ὅτι καθείμαρτο αὐτῷ πηλωθῆναι. —— ΕΔ. 11, ςάχυες; Οὐχ ἵνα.... καὶ θερισθῶσιν;] Αἰνίττεται τὰ τοῦ Εὐριπίδου, ἐξ οὗ σωζομένου

Digitized by Google

δράματος, τῆς Ἰψιπύλης, οὕτως ἔχοντα παρὰ τῷ Οὐαλκενήρῳ (VALCKENAER, *diatrib.* pag. 213),

Ἔφυ μὲν οὐδείς, ὅστις οὐ πονεῖ, βροτῶν,
Θάπτει τε τέκνα, χ' ἅτερ' αὖ κτᾶται νέα,
Αὐτός τε θνήσκει. Κᾆτα δ' ἄχθονται βροτοὶ,
Εἰς γῆν φέροντες γῆν. Ἀναγκαίως δ' ἔχει
Βίον θερίζειν, ὥστε κάρπιμον στάχυν·
Καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή. Τί ταῦτα δεῖ
Στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν;
Δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς·

ἃ καὶ Μάρκος Ἀντωνῖνος (Ζ, μ') ἠνίξατο. —— ΕΔ. 13, Οὕτως ἱστέον.] ΔΓ, Οὕτως ἴστε. —— ΕΔ. 15, Χρυσάντας.] Ἡ ἱστορία παρὰ τῷ Ξενοφῶντι (Κύρ. παιδ. IV, 1, § 3). —— ΕΔ. 16, καὶ περιστάσεις] δυσχερείας, ἀηδῆ καὶ ἀβούλητα πράγματα (Ἰδ. ἀνωτέρ. σελ. 321) —— ΕΔ. 18, ἡ ΤΡΟΧΟΣ.] Ὄργανον βασανιστήριον ὁ τροχὸς (roue) οὗ μνημονεύσει καὶ ἐν τῷ τέλει τῶν Διατριβῶν (IV, ιγ', 22). Ἀλλ' ἐκεῖ μὲν ὀρθῶς ἔχει· ἐνθάδε δέ μοι δοκεῖ κακῶς γεγράφθαι ἀντὶ τοῦ ΒΡΟΧΟΣ. —— ΕΔ. 22, ἂν εἰς Γύαρα.] Ἴδε ἀνωτέρω (σελ. 324). —— Ἂν σοι ποιῇ.] Ἂν σοι συμφέρῃ. Γαλλιστὶ ἐξηγήσατο ταῦτα ὁ πρὸ ἐμοῦ, διὰ τοῦ Si cela fait votre affaire; si cela vous accommode. Ἔζι δὲ τὸ Ποιεῖν ἰατρικὴ μᾶλλον λέξις, ἰσοδυναμοῦσα τῷ συμφέρειν, χρήσιμον εἶναι, οἷον ἐπὶ φαρμάκων ἁπλῶν ἢ συνθέτων φιλοῦσι λέγειν, Ποιεῖ πρὸς ὀφθαλμῶν ὀδύνας· Ποιεῖ πρὸς ἕλκη, καὶ τὰ παραπλήσια. —— ΕΔ. 23, ὡς ἐπὶ μεγάλα ἀνέρχῃ] εἰς τὴν Ῥώμην. Πρὸς μαθητὴν γὰρ ταῦτα λέγει Ἐπίκτητος ἢ φίλον, ὀρεγόμενον μὲν τῆς εἰς Ῥώμην ἀποδημίας, εὐλαβούμενον δὲ καὶ τὴν τοῦ Δομιτιανοῦ πρὸς τοὺς φιλοσόφους δυσμένειαν. —— γεροντίῳ] τῷ Ἐπικτήτῳ. —— ΕΔ. 26, παιδάνας γράφειν] ὡς ἔγραφε Σωκράτης ἐν τῇ φυλακῇ (Διογ. Λαερτ. II, 42) —— ΕΔ 27, ἐν τούτοις γάρ μοι ἐστίν;] Οὕτω μοι καλῶς ἔχειν οἴει τὰ πράγματα, ὥστε σου ἀκούειν παιδάνας ἀνακινώσκοντος;

ΚΕΦΑΛΑΙΟΝ ζ', ΕΔΑΦΙΟΝ 7, Διὰ τί ἐν γραμματικοῖς οὐ λέγεις] τί τὸ συμφέρον καὶ τί τὸ ἀσύμφορον. Ἐξερρύηκέναι τε τοῦ χωρίου μετὰ τὰ ῥήματα ταῦτα, ἔδοξε τῷ πρὸ ἐμοῦ, κἀμοὶ συνδοκεῖ. —— ἐνθάδ' οὖν, ὅπου πάντες κ. τ. λ.] Ὕποπτος ἡ γραφή. Ἴσως ἦν Ἐνθάδε

Digitized by Google

δὲ (ἢ, δ' οὖν), ὅπου πάντες, ἢ Ἔνθα δὲ (ἢ, δ' οὖν) πάντες, δίχα τοῦ Ὅπου. —— ΕΔ. 8, τῇ Γρατίλλῃ.] Τῶν ἐπισήμων ἐν Ῥώμῃ γυναικῶν ἦν ἡ Γρατίλλα (Gratilla), ἐξορισθεῖσα μετὰ καὶ ἄλλων οὐκ ἀσήμων γυναικῶν ὑπὸ Δομιτιανοῦ. —— Τὸ πλοῖον τῶν ἐπιμηνίων] ἃ κατὰ μῆνα ἔπεμπεν ἡ φίλη τῇ Γρατίλλῃ ζωάρκια, τὸν ἄλλως Ἐπιμήνιον σῖτον λεγόμενον (Πλούταρχ. Τ. Κ. Φλαμιν. § 5), ὁπόταν ςρατιῶται μετρῆται. —— Κατὰ τὸν εἰπόντα.] Ὤφειλεν εἶναι, Πρὸς τὸν εἰπόντα, ἢ γοῦν, Κατά τινος εἰπόντος. —— ἵν' ἐκεῖνος αὐτὰ ἀφέληται, ἢ ἐγὼ μὴ πέμψω.] Τὸ ἐμὸν ΤΡ. διπλασιάζει τὸν σύνδεσμον, Ἢ ἵν' ΕΓΩ· οἰκειοτέρως, οἶμαι, οὐ μόνον τῷ παρακμάζοντι ἑλληνισμῷ, ἀλλὰ καὶ τῷ αὐτοσχεδιασμῷ τῆς Ἐπικτήτου ὁμιλίας. Ὡσαύτως διπλασιάζεται καὶ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ, οἷον ἐπὶ τῆς ἑρμηνείας τοῦ προκειμένου, Κάλλιον θέλω (ἢ Προτεμῶ) νὰ τ' ἁρπάσῃ ἐκεῖνος, παρὰ νὰ μὴ τὰ πέμψω ἐγώ. —— ΕΔ. 10, Δεῖ δίχα ὀρέξεως κ. τ. λ.] Παρατίθει ταῦτα τοῖς ἀλλαχοῦ (Ἐγχειριδ. XXXII, § 2) —— ΕΔ. 12, τὸν ὀρνιθάριον.] Οὕτως ὁ πρὸ ἐμοῦ ἐξ ἀντιγράφου, ἀρσενικῶς, (ὅπερ ἐν τοῖς ἀμφιβαλλομένοις ἔταξεν ὁ Συεῦέρος) ἀντὶ τοῦ παρ' ἅπασι τοῖς λοιποῖς οὐδετέρου, Τὸ ὀρνιθάριον. Εἴη δ' ἂν Ὀρνιθάριος, ὁ τοὺς ὄρνεις σκοπῶν, ὁ οἰωνοσκόπος. Τὸ δὲ Κρατοῦμεν, ταῖς χερσὶ κατέχομεν, καθάπερ καὶ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ. —— Ἐξελθεῖν] τῆς περιστάσεως· ὥσπερ καὶ ἀνωτέρω (II, ε', 23), οὕτως ἐκδεξαμένων τῶν πρὸ ἡμῶν.

ΚΕΦΑΛΑΙΟΝ η', ΕΔΑΦΙΟΝ 2, Φήμη.] ΔΓ Κώμη. —— ΕΔ. 7, Ὁ ὄνος ἐπὶ τί γέγονε; μή τι προηγουμένως;] Ἐξ ἑτέρων διορθώσεως καὶ στίξεως, ἀντὶ τοῦ, « Ὁ ὄνος ἐπεὶ γέγονε μή τι προηγουμένως; » —— ΕΔ. 8, εἰ δὲ καὶ ΑΥΤΟ' που.] ΗΔ, ἀντὶ τοῦ ΑΥΤΟΣ. Φέρεται δὲ ἐπὶ τὸ ἑξῆς, οἷον Αὐτὸ τὸ παρακολουθεῖν. —— Τὸ παρακολουθεῖν.] Ἐκ παρακινέσεως τοῦ πρὸ ἐμοῦ προσείληφα τὸ ἄρθρον —— φαντασιῶν, δῆλον ὅτι.] ΗΔ, ΑΤ, φαντασιῶν· καὶ δῆλον ὅτι. —— ΕΔ. 9, ἐκεῖ ζητεῖν... οὐ μὴ παρόντος κ. τ. λ.] ἐν ἐκείνῳ ζητεῖν, δηλονότι ἐν τῷ λογικῷ, οὗ λογικοῦ μὴ παρόντος, ἐπ' οὐδενὸς τῶν ἄλλων ζώων θέλεις λέγειν ἀγαθόν τι ὑπάρχειν. Σημειοῦ καὶ πάλιν τὴν διάλυσιν τοῦ μέλλοντος, Λέξεις, εἰς τὸ Θέλεις λέγειν· ὅθεν ἡ συνήθεια παραλαβοῦσα καὶ καταχρησαμένη, ἀπέστη τῆς τῶν ἁπλῶν μελλόντων χρήσεως. —— ΕΔ. 11, Τί οὖν ἀγνοεῖς σου τὴν ΕΥΓΕΝΕΙΑΝ;] ΔΓ (ἐκ τοῦ ἐμοῦ ΤΡ.) ΣΥΓΓΕΝΕΙΑΝ, γνησιωτέρα ἴσως. —— ΕΔ. 16, οὐκ οἶδεν αὐτοῦ

Digitized by Google

θεὸν.] Ἴσως τοπικὸν ἐπίρρημα ἐκδεκτέον τὸ αὐτοῦ καθάπερ ὑπετόπασεν ὁ πρὸ ἐμοῦ· ἐν ἐκείνῳ δηλονότι τῷ τόπῳ ἢ τῇ χώρᾳ, εἰς ἣν ἐκπέμπεται. —— Σὲ ἤθελον ἔχειν] τὸν διδάσκαλον σὲ μετ' ἐμοῦ ἤθελον ἔχειν ἐφ' ἃς ἐκπέμπομαι πράξεις. —— ΕΔ. 18, ἡ Ἀθηνᾶ,] ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν ἀντὶ τοῦ, Ἡ Ἀθηνᾶ. Λέγει δὲ τὴν ἐν Ἀθήναις. —— ἢ ὁ Ζεὺς] ὁ ἐν Ὀλυμπίᾳ. —— ΕΔ. 20, καὶ ποῖον ἔργον εὐθὺς κ. τ. λ.] Τὸ εὐθὺς ὁ πρὸ ἐμοῦ ἐξεδέξατο οὐκ ἐπὶ τοῦ Παραχρῆμα, ἀλλ' ἐπὶ τοῦ, Παραδείγματος χάριν, κατὰ τὰ ἀνωτέρω (σελ. 317) σημειωθέντα —— τὴν νίκην ἐπ' αὐτῆς δεξαμένη.] Ἴδε τὸν Παυσανίαν (Ι, κε', § 7), καὶ τὸν Πλούταρχον (Περικλ. § 13). Περὶ δὲ τοῦ Διὸς, αὖθις τὸν Παυσανίαν (V, ια', § 1-2) —— ΕΔ. 22, καὶ καταισχυνεῖς.] Ἐξ ΕΔ, ΑΤ, καὶ καταισχύνεις. Ἴσως δὲ καὶ ὁ σύνδεσμος διαγραπτέος ἐστί. —— ΕΔ. 24, Πόθεν ἡμῖν οὗτος ὀφρὺν ἐνήνοχε;] Ἐπιθι τὰ ἐν τῷ Ἐγχειριδίῳ (§ XXII). —— σεμνοπροσωπεῖ] ὃ ἡ παρ' ἡμῖν συνήθεια, Κάμνει τὸν Βαρὺν, λέγει. —— ΕΔ. 25, σιλπνωθῇ,] τὸ ἐν τῇ συνηθείᾳ Στιλβωθῇ (χυδ. σκλιβωθῇ), παρὰ τὸ Στιλβόω (στιλβόνω). —— ΕΔ. 26, Οὐ γὰρ ἐμὸν] ἐκ τῆς Ἰλιάδος (α', 526).

ΚΕΦΑΛΑΙΟΝ Γ', ΕΔΑΦΙΟΝ 6, ἐφ' ὧν.] Ἐξ ΕΔ, ΑΤ, Ἀφ' ὧν. —— Λέων ΜΕ ΚΑΙ φαγέτω.] Ὁ πρὸ ἐμοῦ εἶκαζε γραπτέον, Λέων ΜΕ' ΓΕ φαγέτω. Παροιμία, ἧπερ ἂν χρήσαιτό τις, ἐπὶ τῷ ὑπὸ μικρῶν θηριδίων, οἷον τυράννων ἀνοήτων καὶ χαμερπῶν, ἢ συκοφαντῶν, καὶ τοιούτων ἄλλων ἀνδραρίων, ἀδικεῖσθαι σχετλιάζων· ὁμοία τῇ, « Ἐξ » ἀξίου γοῦν τοῦ ξύλου κἂν ἀπάγξασθαι » (Σχολιαστ. Ἀριστοφαν. Βατρ. 736). —— ΕΔ. 7, ἡ τοῦ ἀνθρώπου ἐπαγγελία] ὃ ἐπαγγέλλεται ἡ τοῦ ἀνθρώπου φύσις. —— συμπεπλεγμένον... διεζευγμένον.] « Συμπεπλεγμένον δέ ἐσιν ἀξίωμα, ὃ ὑπό τινων συμπλεκτικῶν συν- » δέσμων συμπλέκεται· οἷον Καὶ ἡμέρα ἐσὶ καὶ φῶς ἐσι. » Διεζευγμένον δέ ἐστιν, ὃ ὑπὸ τοῦ Ἤτοι, διαζευκτικοῦ συνδέσμου, » διέζευκται· οἷον, Ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ ἐστιν » (Διογ. Λαερτ. VII, 72). —— ΕΔ. 12, αἱ ἀκατάλληλοι λήψεις καὶ δόσεις] τὸ σπουδάζειν μεγάλα λανθάνειν, ἐλάχιστα δὲ διδόναι. —— ΕΔ. 14, καὶ τὰς ἐναντίας... εἴχομεν.] ΗΔ, ΑΤ; ἔχομεν· πλὴν εἰ μή τις τὸ κατ' ἀόριστον προαιροῖτο, ἔσχομεν. Ὁ νοῦς, Πολλῷ χρόνῳ ὑπολήψεις εἴχομεν ἐναντίας ταῖς ὀρθαῖς ὑπολήψεσι. —— ΕΔ. 17, ἀπὸ τῶν χειλῶν αὐτόθεν] ἀπὸ μόνων τῶν χειλῶν. —— ΕΔ. 20, Τί ὑποκρίνῃ Ἰουδαίους, ὢν Ἕλλην;] ΔΓ, Τί ὑποκρίνῃ, Ἰουδαῖος ὤν, Ἕλληνας. Ὅπα-

Digitized by Google

τέρως δ' ἂν γράφῃς, ἠπόρηται εὐλόγως τοῖς κριτικοῖς, τίνας ἐνθάδε καλεῖ Ἰουδαίους ὁ Ἐπίκτητος· καὶ φασί τινες τοὺς Χριστιανοὺς εἰκὸς εἶναι νοεῖσθαι. Πολλοὶ γὰρ τῶν κατ' ἐκεῖνο καιροῦ συγγραφέων, Ἑλλήνων τε καὶ Ῥωμαίων, συνέχεον τοὺς Χριστιανοὺς τοῖς Ἰουδαίοις —— ὅταν δὲ ἀναλάβῃ τὸ πάθος κ. τ. λ.] ὅταν δὲ καταπεισθῇ περὶ τῆς ἀληθείας τῆς αἱρέσεως, ὥσπερ καὶ ὁ ἐκ γενετῆς τοῖς Ἰουδαίοις συγκατειλεγμένος, καὶ οἱονεὶ δευσοποιῷ βαφῇ βεβαμμένος, τότε κ. τ. λ. Ἴσως μέντοι καὶ τὸ βεβαμμένου ὧδε ἴσον δύναται τῷ βεβαπτισμένου, ὡς ἐστιν εἰκάσαι ἐκ τῶν ἑξῆς, εἴ τε τὸ Χριστιανῶν βάπτισμα αἰνιττομένου, εἴτε καὶ τοὺς βαπτισμούς, οἷς ἐχρῶντο οἱ Ἰουδαῖοι. —— ΕΔ. 21, παραβαπτισταί.] Τῶν τις κριτικῶν ἠβούλετο διορθοῦν, Παραβαπτιστοί. Ὁ δ' οὖν νοῦς, Νόθοι καὶ οὐ γνήσιοι μεταξὺ τῶν ὄντως βεβαπτισμένων, τουτέστι τῶν οὐ μόνον τὸ βάπτισμα, ἀλλὰ καὶ τὸν ἀκούλουθον καὶ προσήκοντα τῷ βαπτίσματι βίον παραδεξαμένων. Οἱ δὲ παρ' ἡμῖν ἐκκλησιαστικοὶ συγγραφεῖς Παραβαπτίσματα καὶ Παραφωτίσματα ἐκάλουν τὰ τῶν αἱρετικῶν, ἢ τῶν ἄλλως ὁπωσοῦν ἀπεσχισμένων τῆς καθολικῆς ἐκκλησίας βαπτίσματα (SUICER. *Thesaur. ecclesiast.* tom. II, p. 590). —— ἀσυμπαθεῖς πρὸς τὸν λόγον] ἀσυμφώνους τῷ λόγῳ, ἄλλα λέγοντας, καὶ ἄλλα πράττοντας. —— ΕΔ. 22, τὸν τοῦ Αἴαντος λίθον.] Ἐκ τῆς Ἰλιάδος (η', 268).

ΚΕΦΑΛΑΙΟΝ ι', ΕΔΑΦΙΟΝ 1, ταύτην δ' ἀδούλευτον.] « Ἀδούλευτος, » οἰκέτης ἐνὶ δεδουλευκὼς, καὶ μὴ παλέμπρατος » φησὶν Ἡσύχιος. —— ΕΔ. 7, τοῦ πατρὸς... ὅτι καὶ ἀδελφὸς εἶ.] Ἐπιθι τὸ Ἐγχειρίδιον (§ XXX). —— ΕΔ. 9, Θίδρακος.] Ἀποκατέστησεν ὁ πρὸ ἐμοῦ τὴν ἀρχαίαν γραφὴν Θίδρακος, εἰς τὴν χώραν τῆς ἐν ἄλλοις Θρίδακος, οὐχ ὡς ἕτερόν τι σημαίνουσαν, ἀλλ' ὡς ἀμφοτέρως λεγόμενον (κατὰ τὸ Καρδία, Κραδία)· κατὰ γὰρ τὸν Ἡσύχιον, « Θριδακίνη, Θίδραξ καὶ » Θρίδαξ. » Διστάζει δ' οὖν οὐκ ἀπεικότως ὁ πρὸ ἐμοῦ, τί βούλεται ἐν τῷ προκειμένῳ χωρίῳ ἡ Θίδραξ ἢ Θρίδαξ. Ἐῤῥέθη μὲν γὰρ καὶ ἄλλοθι (Ἐγχειρίδ. XXV, § 3) τοὔνομα τῆς Θρίδακος· ἀλλ' ἐκεῖ μὲν καλῶς εἶχεν, ἐνταῦθα δ' ἄτοπον ἔοικεν, ἄλλως τε καὶ συναπτόμενον τῷ ἑξῆς καθέδρας. Μή ποτ' ἐγίγραπτο, Θόρνακος, ἢ Θρανίου; ὧν τὸ μὲν, « Θόρναξ, ὑποπόδιον » τὸ δὲ, « Θρανίον, δίφρος, ὑποπόδιον.... » Θρόνος » σημαίνει, καθ' Ἡσύχιον; Οὐκοῦν ἀποφήνασθαι. —— Ὅση ἡ πλεονεξία!] ὅσον κέρδος λήψῃ ἐκ τῆς εἰς τὸν ἀδελφὸν εὐγνωμοσύνης.

Digitized by Google

— ΕΔ. 10, πόλεώς τινος εἶ.] ΔΓ (ἀμείνων) πόλεως εἶ. — ΕΔ. 11, ὑπογράφει τὰ οἰκεῖα ἔργα.] Ἔπιθι τὸ Ἐγχειρίδιον (XXX). — ΕΔ. 13, οὐδὲν ἀντ' οὐδενὸς ἠλλάχθαι φανῇς.] Κατ' ἔλλειψιν, Βούλει, ἵνα φανῇς οὐδὲν ἀντ' οὐδενὸς ἠλλάχθαι· πλὴν εἰ ἐγέγραπτο πάλαι « Οὐδὲν » ἂν ἀντ' οὐδενὸς ἠλλάχθαι ἐφάνης ». — ΕΔ. 15, ζημίαν ἡγοῦ.] Ἰσ. γρ. ζημίαν ἂν ἡγοῦ. — καταστολὴν] κοσμιότητα, εὐταξίαν, εὐσχημοσύνην, οἷαν καὶ Ἱπποκράτης (Περὶ εὐσχημοσ. § V-VII) τοῖς ἰατροῖς παρκγγέλλει, « Ἐντροπὴ, ἐρυθρίησις καταστολή· » καὶ αὖθις, « Μελετᾶν δὲ χρὴ ἐν ἰητρικῇ ταῦτα μετὰ πάσης καταστολῆς. » — ΕΔ. 17, Ὁ δὲ διατιθεὶς] ὁ τὰ τοῦ κιναίδου ἐνεργῶν. — ΕΔ. 19, Οὐδεὶς δίχα ἀπωλείας καὶ ζημίας κακός ἐστι.] Ἄριστον ἄριστα ἐκπεφρασμένον ἀπόφθεγμα, ἄξιον τοῦ παροιμιῶδες καὶ δημοτικὸν γενέσθαι· ὥσπερ ἐστὶν ἀντιστρέψαντα φάναι, Οὐδεὶς ἀγαθὸς ἐστίρηται κέρδους, ὅ, τις τῶν Γάλλων φιλοσόφων οὕτως ἐξέφραζε, Tout bien calculé, il y a du profit à être honnête homme. — ΕΔ. 20, ὁ τὴν ῥῖνά σοι ἀπολλύων.] Ἴσον δύναται ἡ ἀντωνυμία (σοι) τῷ Κατά σέ. — ΕΔ. 21, τὴν ὀσφρασίαν αὐτὴν] τὴν ὄσφρησιν μόνην, ὡς ὀρθῶς ἐξηγήσατο ὁ πρὸ ἐμοῦ. — ΕΔ. 22, τῶν πρὸς αὐτὸν] τῶν αὐτῷ προσηκόντων. — ΕΔ. 27, ὅπου τε σωματικὸν ἐλάττωμα, ἢ εἰς κτῆσιν.] Ἐξ ΕΔ προσέθηκα τὸν διαζευκτικόν· ὁ γὰρ νοῦς, Ὅπου τις βλάβη συμβαίνει εἰς σῶμα ἢ εἰς κτῆσιν. — ΕΔ. 28, ἐξαπατηθείς.] Ἴσως, φησὶν ὁ πρὸ ἐμοῦ, ἐγέγραπτο, Ἐξαπατήσας. — ΕΔ. 29, οὐδ' ἐγγὺς διαφερόμεθα] οὐδὲν ἡμῖν ὅλως διαφέρει, οὐδὲν φροντίζομεν. Τὸ Οὐδ' ἐγγὺς ταὐτὸ δύναται τῷ Πολλοῦ γε καὶ δεῖ.

ΚΕΦΑΛΑΙΟΝ ιά, ΕΔΑΦΙΟΝ 1, κατὰ Θήραν.] ΗΔ, ΑΤ, κατὰ τὴν Θύραν. ΔΓ, κατὰ Θύρας. Ἑτέρα ΔΓ ἐκ τοῦ ἐμοῦ ΤΡ, κατὰ Θύραν. Ὁ νοῦς τῆς ἡμετέρας διορθώσεως· Τοῖς ἁπτομένοις φιλοσοφίας, οὐκ ἐν παρέργῳ καὶ κατὰ πάροδον, ἀλλὰ κατὰ τοὺς θηρεύοντας καὶ κυνηγετοῦντας, τουτέστιν ἐσπουδασμένως καὶ προσπεπονθότως αὐτῇ προσέχουσιν, ὥσπερ οἱ θηρεύοντες προσπεπόνθασι τῷ κυνηγεσίῳ, μεταθέοντες καὶ ἀνιχνεύοντες τὸ θήριον. Εἴρηκε δέ που καὶ Πλάτων, « Ἡ γὰρ » φιλοσοφία θήρα τῆς ἀληθείας ἐστί. » — ΕΔ. 2, διέσεως.] Τεταρτημόριον τόνου ἡ δίεσις ἐν τῇ ἀρχαίᾳ μουσικῇ, ἕτερον τῆς τῷ αὐτῷ ὀνόματι νῦν καλουμένης διέσεως (dièse). — ΕΔ. 3, τοῦ ἀποβάλλοντος] τοῦ μὴ ἐπιβάλλοντος, τοῦ μὴ προσήκοντος. — ΕΔ. 6, τὴν οἴησιν] τὸ οἴεσθαι καὶ ὑπολαμβάνειν αὐτὰ οὕτως ἔχειν. — ΕΔ. 8,

Digitized by Google

καὶ ἡ οἴησις.] ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου. —— ΕΔ. 10, Ἐπεὶ δοκεῖς.] ΔΓ ἐκ τοῦ ἐμοῦ ΤΡ, ἐπειδὴ δοκεῖς. —— ΕΔ. 13, Ἠδ' ἀρχή.] ΗΔ, ΑΤ, Ἰδ' ἀρχή. ΔΓ, Εἰδ' ἀρχὴ, ὅ τινες παρήνουν τρέπειν εἰς τὸ, Εἶτη δ' ἀρχὴ, ἢ Ἡ δ' ἀρχή. Ἡ ἡμετέρα ἀντωνυμία λέγει, ὃ μικρὸν ὑποθὰς ἐπαναλαμβάνει Ἐπίκτητος, « Τοῦτ' ἐστιν ἀρχὴ φιλο» σοφίας. » —— ΕΔ. 14, Πάντα καλῶς ἔχει.] Ἐξ εἰκασίας τοῦ πρὸ ἐμοῦ, ΑΤ, ἔχειν. —— ΕΔ. 20, Ἀβεβαίῳ τινί.] Ἐν τῷ ἐμῷ ΤΡ. Ἀβεβαίῳ οὖν τινι.—ΕΔ. 22, ὀξὺ βλέπεις.] ΗΔ (ἦν συνῆκε καὶ ὁ πρὸ ἐμοῦ) ΑΤ ὀξυβλεπτεῖς, ἢ ὀξυβλεπεῖς. —— ἔν σοι ζυγόν.] Ἀνωτέρω δὲ ἐπὶ τοῦ παρόντος κεφαλαίου (§ 13) τὸν ζυγὸν, ἀρσενικῶς εἴρηκε. Λέγεται γὰρ ἀμφοτέρως· τὸ δὲ οὐδέτερον τοῦ παρακμάζοντος ἑλληνισμοῦ μᾶλλόν ἐςιν, οἷον καὶ τὸ παρὰ τοῖς Ἑβδομήκοντα (Λευιτ. ιθ', 36) « Ζυγὰ δίκαια, καὶ στάθμια δικαία. » Παρὰ τὸ ὑποκοριστικὸν Ζυγάριον ἔπλασεν ἡ παρ' ἡμῖν συνήθεια τὸ θηλυκὸν Ζυγαρία (balance)· τὸ δὲ καθιέμενον εἰς θάτερον τοῦ ζυγοῦ μέρος βαρύ τι σῶμα ἐκ μετάλλου ἢ τινος ἑτέρας ὕλης, ᾧ παραβάλλεται τὸ σταθμώμενον, δι' ἑτέρου ὑποκοριστικοῦ σημαίνει, τοῦ Ζύγιον (poids).

ΚΕΦΑΛΑΙΟΝ ιβ', ΕΔΑΦΙΟΝ 1, ὑπὸ τῶν ἡμετέρων] τῶν Στωϊκῶν. —— ΕΔ. 5, Τοὺς μὲν ἄλλους ἐῶ χαίρειν κ. τ. λ.] Σωκράτους ῥήματα (Πλάτ. Γοργ. § 29, σελ. 180 ἡμετ. ἐκδ). —— ΕΔ. 6, Ἀρά γε ὁ φθονῶν χαίρει;] Καὶ ταῦτα ἀπὸ τῶν Σωκράτους. (Ἀπομνημ. Γ, IX, § 8, σελ. 95). —— ΕΔ. 9, οὐ γὰρ' ἀνταπολουθεῖ τῷ κεφαλαιώδει τὸ ὁρικόν.] ΗΔ, ΑΤ, τὰ ὁρικὰ· ὅπερ ὁ πρὸ ἐμοῦ ἐξ ΕΔ ἀπεδέξατο ἀντὶ τοῦ παρ' ἅπασι τέως φερομένου, τῷ ὁρικῷ. Ὁ νοῦς οὐκ ἀντιστρέφει ὁ ὁρισμὸς τῷ ὁριστῷ, ὅπερ ἦν τὸ Κεφαλαιῶδες, τουτέστιν, ἐν ἑνὶ ῥήματι συντόμως καὶ ἐν κεφαλαίῳ ἐδήλου τὸ πρᾶγμα, ἢ τὸ πρόσωπον. Πιστοῦται τὴν ἡμετέραν διόρθωσιν, ἡ ἐν τῷ ἐμῷ ΤΡ. κακὴ ΔΓ, τὸ ὡρκόν. —— ΕΔ. 10, τεχνικὰ... φορτικὰ] τὸ κεφαλαιῶδες δηλονότι καὶ τὸ ὁρικὸν, ἃ διὰ τοῦτο παρέλειπεν ὁ Σωκράτης, ἁπλῶς διαλέγεσθαι βουλόμενος, καὶ οὐχ ὡς οἱ τεχνολόγοι ἢ οἱ σοφισταί. —— ΕΔ. 14, πρόσενέγκασθαι.] Τυπογραφικῶς ἡμαρτῆσθαι ἔοικε τὸ Προσενέγκασθαι τοῦ πρὸ ἐμοῦ. —— ΕΔ. 16, Αἶψά τε καὶ μέγα.] Ἐκ τοῦ Ἡσιόδου (Θεογον. 87). Τὸ δὲ Αἶψα ἡ παρ' ἡμῖν συνήθεια μετεσχημάτισεν εἰς τὸ Ἀψὰ ἐπίῤῥημα, ἀπὸ πληθυντικοῦ οὐδετέρου· οὗ τὸ ἀρσενικὸν Ἄψος, ἢ Ἀψὺς, τὸν ταχὺν ἢ ὀξὺν, καὶ ἰδιαιτέρως τὸν ὀξύθυμον σημαίνει, ὃν καὶ Ἀψόθυμον καλοῦμεν. Εἰκὸς δὲ καὶ παρὰ τοῖς ἀρχαίοις

Digitized by Google

τοιοῦτόν τι ἐπίθετον ὑπάρξαι Αἰψὸς, ἥπερ ἐστι τεκμήρασθαι ἐκ τοῦ παραγώγου, Αἰψηρός. —— ΕΔ. 18, ΑΡΑ τῷ τυχόντι.] Ἐν τῷ ἐμῷ ΤΡ (ἴσως ἄμεινον) ΕΙΤΑ. —— ΕΔ. 20, ἢ καὶ ἄλλο τι ἐκτήσω ΤΟΥΤΩΝ ἄμεινον;] Ε ΕΞ ΕΔ, ἀντὶ τοῦ ΠΑΝΤΩΝ. —— ΕΔ. 24, τί δέ σοι, βέλτιστε ΜΕΛΕΙ;] Ἐκ τοῦ ἐμοῦ ΤΡ προσέθηκα τὸ ῥῆμα —— ΚΡΙΤΗΣ ΜΟΥ ΕΙ;] ΗΔ, ἀντὶ τοῦ, ΤΙΣ ΜΟΥ *ΕΙ, ὥπερ ἀστερίσκον ἐπέγραψεν ὁ πρὸ ἐμοῦ, τὸ ἡμαρτημένον τοῦ χωρίου δηλῶσαι βουλόμενος.

ΚΕΦΑΛΑΙΟΝ ιγ', ΕΔΑΦΙΟΝ 4, Τί ἐστιν ὄχλος, ἢ τί ὄχλου ἔπαινος.] Παράθες τούτοις τὰ τῷ Σωκράτει πρὸς τὸν Χαρμίδην εἰρημένα (Ἀπομνημ. Γ, VII). —— ΕΔ. 11, Μή τι περὶ τοῦ μὴ ψεῦδος ὑπολαβεῖν.] Ἔν τισι τῶν ἀντιγράφων λείπει τὸ δεύτερον τῶν ἀπαγορευτικῶν μορίων. —— ΕΔ. 13, Μετοκλάζει.] Ἐκ τῆς Ἰλιάδος (ν', 281). —— ΕΔ. 15, Ἀντίγονος... ἠγωνία.] Κατεχώρισα εἰς τοῦ Ἐγχειριδίου τά τε Προλεγόμενα (σελ. μϐ') καὶ τὰς σημειώσεις (σελ. 136), ἐκ τοῦ Συμπλικίου παρειλημμένας, τὸ ὑπὸ τοῦ τῆς Συρίας βασιλέως Ἀντιγόνου εἰρημένον περὶ Ζήνωνος. Τῶν δὲ κριτικῶν τις πλημμελῶς φησι τὸν Συμπλικίον συγχέαι τὸν Ἀντίγονον τοῦτον μετὰ τοῦ τῆς Μακεδονίας βασιλέως Ἀντιγόνου, τοῦ ἐπικληθέντος Γονατᾶ· τοῦτον γὰρ εἶναι τὸν προσομιλήσαντα πολλάκις τῷ Ζήνωνι. —— ΕΔ. 17, Πῶς μ' ἀποδέξεται.] Ἴδε τὸ Ἐγχειρίδιον (XXXIII, § 13). —— ΕΔ. 19, Εἶτ' οὐκ ΕΣΤΙ σοι, ὡς θέλεις.] Ἐκ ΔΓ, ΑΤ, Εἶτ' οὐκ ἔστι γάρ, ὡς θέλεις. Ἐν τῷ ἐμῷ ΤΡ. γράφεται ΕΞΕΣΤΙ. —— ΕΔ, 24. ὁ πρὸς τοὺς πειρατάς, ὁ πρὸς τὸν ὠνησάμενον.] Ἐρεῖ ταῦτα καὶ ἐν τοῖς ἑξῆς (IV, ά, 115-116). —— ΕΔ. 25, Ἐκείνοις μεμελέτηται, τοῖς θαῤῥοῦσι.] ΗΔ, ΑΤ, Ἐκείνοις, οἷς μεμελέτηκε, τοῖς θαῤῥοῦσι. Ὁ νοῦς, Σωκράτει καὶ Διογένει, καὶ τοιούτοις ἄλλοις θαῤῥαλέοις ἀνδράσι, μεμελέτηται τὸ λέγειν. —— ΕΔ. 27, Οὐκ ἔστι δ' ἐν σοὶ κ. τ. λ.] Οὐκ εἶ σὺ ἄξιος ἄρχων πόλεως γενέσθαι, οὐκ ἐνορῶ ἐν σοὶ ἄνδρα τοιαύτης ἀρχῆς ἄξιον.

ΚΕΦΑΛΑΙΟΝ ιδ', ΕΔΑΦΙΟΝ 4, Καὶ γάρ, σκυτεὺς .... ἀτερπίς.] Ἡ συνάρτησις, Καὶ γὰρ ἀτερπὲς παρεῖναι καὶ παρακολουθεῖν, πῶς τις μανθάνει σκυτεὺς εἶναι. Τινὰ δὲ τῶν ἀντιγράφων ἀντὶ τοῦ Σκυτεὺς φέρει Σκυτέως ὥπερ εἰ συνάπτοις τὸ ἄρθρον (τὴν σκυτέως) εὐοδωτέραν ποιήσεις τὴν σύνταξιν, ὡς ἐσημειώσατο ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 11, Ζητοῦμεν.] Ἴσ. γρ. προστακτικῶς, Ζητῶμεν. ——

Digitized by Google

ποῖοί τινες εἰσὶν,] οἱ θεοί· καὶ περ ἀνωτέρω ἐνικῶς φήσας, θεόν. Σύνηθες γὰρ ὅτι μάλιστα Ἐπικτήτῳ ἐν ταῖς Διατριβαῖς μεταβαίνειν ἀπὸ τῶν ἐνικῶν εἰς τὰ πληθυντικά, καὶ ἀνάπαλιν. —— ΕΔ. 16, ἀγαθὸν καὶ κακόν.] Λείπουσιν αἱ τρεῖς αὗται λέξεις ἔν τισι τῶν ἀντιγράφων. Ἐξαλείφει ταύτας καὶ ὁ παραβαλὼν ἀντιγράφοις τὸ ἐμὸν ΤΡ. —— ΕΔ. 17, τὰς τρεῖς στρατείας.] Τρὶς ὤφειλεν ἐστρατεῦσθαι ὁ βουλόμενος τῆς Συγκλήτου γενέσθαι· κατά γε ὃν ἐθέου χρόνον Ἐπίκτητος. Τοῦτο γὰρ ἄλλοτ' ἄλλως συνέβαινε κατὰ τὸ βούλημα τῶν κυρίων. —— ΕΔ. 20, ἀνασχέσθαι μου.] ΔΓ, ἀνέχεσθαί μου. —— ΕΔ. 22, ἐπιβολαὶ ἀνομολουγούμεναι] αἱ ἐγχειρήσεις σου ἀσύμφωνοι, καὶ αὐταὶ ἑαυταῖς μαχόμεναι. —— ΕΔ. 27, ἆρά γ' ἔχομεν κ. τ. λ.] Ἐν τῷ ἐμῷ ΤΡ. εἶτα ἔχομεν· ἐπίρρημα κακῶς ὀξεῖα ἀντὶ περισπωμένης (εἶτα) ταθέν· ὅθεν δηλοῦται ΔΓ οὐκ ἀπίθανος Εἶτε, ἀνταποδοτικῶς πρὸς τὸν ἐχόμενον διαζευκτικόν, « Εἴτε ἔχομέν τινα ... » σχέσιν, ἢ οὐδεμίαν. »

ΚΕΦΑΛΑΙΟΝ ιε', ΕΔΑΦΙΟΝ 4, ἀποκαρτερεῖν,] ἀποχῇ τροφῆς ἑκουσίῳ ἐξάγειν ἑαυτὸν τοῦ βίου. —— ΕΔ. 8, Τί ποιεῖς ἄνθρωπε; οὐ πᾶσιν.] Κακῶς ἐπλεόνασαν αἱ πέντε λέξεις αὗται. —— τὴν ἀρχὴν ΥΠΟΣΤΗΣΑΙ.] ΗΔ, ἀντὶ τοῦ ΠΟΙΗΣΑΙ. ΔΓ, στῆσαι. —— ΕΔ. 9, ἂν δὲ σαπρὸν ὑποστήσῃς καὶ καταπίπτον οἰκοδόμημά τι, οὐχ ὅσῳ ἂν πλείονα κ. τ. λ.] ΗΔ, ΑΤ, ... καὶ καταπίπτον· οὐκ οἰκοδομημάτιον, ὅσῳ ἂν πλείονα κ. τ. λ. —— ΕΔ. 10, καὶ τῆς μεγάλης καὶ τῆς μικρᾶς.] Ζήτει τὴν ἐξήγησιν ἀνωτέρω (II, ε', 26). —— ΕΔ. 13, οὔτε πεῖσαι οὔτε ῥῆξαι] οὔτε πεισθοῖ οὔτ' ἀνάγκη μεταθεῖναι. —— ΕΔ 17, μεταθέσθαι.] ΔΓ, μετατίθεσθαι. —— ΟΥΤΟΙ μανικοὶ τόνοι κ. τ. λ.] Ἐκ ΔΓ, ἀντὶ τοῦ, ΟΥΤΟΙ ΟΙ. Τὸ ἀμετάπειστον τοῦτο, νοσοῦντός ἐστι μανία, οὐχ ὑγιαίνοντος ἰσχύς.

ΚΕΦΑΛΑΙΟΝ ις' ΕΔΑΦΙΟΝ 2, ἔξω] τῆς σχολῆς. —— ΕΔ. 4, ἐκεῖ κρείττων ΓΙΝΗ.] Τοῦτο προειλόμην τὸ ἐν ταῖς προτέραις ἐκδόσεσι τοῦ ΓΕΝΗ. —— ΕΔ. 9, στατὸν ἔχει καλὸν] τὸν ἄλλως ὀρθοστάδιον καλούμενον χιτῶνα, αὐληταῖς καὶ κιθαρῳδοῖς οἰκεῖον, ὡς ἐσημειώσαντο οἱ πρὸ ἡμῶν. « Ὀρθοστάδιοι χιτῶνες, οἱ στατοί, ὑπόκομμα μὴ ἔχοντες· » οἱ δὲ συρόμενοι, συρτοί, » φησὶν Ἡσύχιος. —— Ὄχλου βοή] ἡ ἐν τῇ συνηθείᾳ παρ' ἡμῖν συνθέτως γραφομένη καὶ προφερομένη, Ὀχλοβοή (rumeur). Οἱ δ' ἀμελέστεροι καὶ Ἀχλαβοὴν λέγουσι. —— ΕΔ. 14, ἐνταῦθα] ἐπὶ τῶν μειζόνων, ἢ τὸ ἐκ τῶν μυξῶν παράδειγμα. ——

Digitized by Google

ΕΔ. 17, Τίς ἡμῶν ἐνεκοιμήθη ὑπὲρ ἐνεργείας.] Διέγραψα τὸ πρὸ τοῦ ῥήματος ἀρνητικὸν μόριον, παραινεσάντων τοῦτο καὶ τῶν πρὸ ἐμοῦ. Ἐνεκοιμῶντο ἐν τοῖς ναοῖς τῶν Θεῶν, καὶ κατ' ἐξαίρετον τοῦ Ἀπόλλωνος, οἱ βουλόμενοι δι' ἐνυπνίων μαντείαν λαβεῖν περὶ τῶν μελλόντων. Ἴδε τὸν Ἡρόδοτον (VIII, 134) καὶ τὰς εἰς ἐκεῖνον σημειώσεις τῶν κριτικῶν. —— ΕΔ. 18, τετρίμμεθα] γεγυμνάσμεθα. —— ΕΔ. 20, κατάγλωσσοι] λάλοι· οὓς συνηθέστερον Γλωσσάργους ἢ Γλωσσάλγους καὶ Στομάργους ἐκάλουν· παρὰ δὲ τῷ Ἀρκαδίῳ (σελ. 76) καὶ « Γλωσσὸς, » ὁ λάλος » εὕρηται. Ἐν δὲ τῇ παρ' ἡμῖν συνηθείᾳ καλεῖται Γλωσσᾶς. —— ΕΔ. 24, τί ἐστι τὸ βαροῦν ἄλλο ἢ ΔΟΓΜΑΤΑ.] Ἄμεινον ἂν ἦν, ὧδέ γε, ἐνικῶς, ΔΟΓΜΑ. —— ΕΔ. 26, Θέλεις ΣΕ ΟΥ̓Ν καὶ ἡμεῖς παιδίοις ΟΜΟΙΩΜΕΝ;] Γραπτέον, οἶμαι, « Θέλεις ΟΥ̓Ν καὶ ἡμεῖς παιδίοις ΟΜΟΙΩΘΩ̃ΜΕΝ; » ὡς ὑπονοεῖν παρέχει ἡ ἑξῆς διάφορος γραφή. ——ἀξιῶ.] ΔΓ, ἀξιοῦμεν. —— ΕΔ. 28, Τίς δ' ὁ νόμος.] Ἐκ ΔΓ ὁ πρὸ ἐμοῦ, ΑΤ, Τί δ' ὁ νόμος ——ΕΔ. 29, κλάειν τὴν τίτθην καὶ μάμμην] μετὰ δακρύων ἐπικαλεῖσθαι τὴν τροφὸν καὶ τὴν μητέρα. Ἐπὶ τοῦ μαστοῦ ἐξεδέξατο ὁ Σνειδέρος (λέξ. Μάμμα) τὸ ἐνθάδε, καὶ ἐν τοῖς ἑξῆς (§ 43) Μάμμην· ἐπεὶ καὶ τοῖς Ῥωμαίοις τὸ Mamma καὶ τὸν μαστὸν σημαίνει. —— ΕΔ. 30, Ἄλλος ἐλθὼν, ὅτι κ. τ. λ.] Ἄλλος, ἐλθὼν τυχὸν ἀφ' Ἑλλάδος, κλαύσεται, ὅτι οὐκέτι μέλλει πίνειν τὸ ὕδωρ τῆς ἐν Βοιωτίᾳ κρήνης, τῆς Δίρκης (Ἰδ. Στράβων. σελ. 408). —— ΕΔ. 31, Θερμάς τε τὰς,] Θερμαὶ, ϑηλυκῶς, κατὰ τοὺς Ῥωμαίους, Thermæ. Τὸ δ' οὐδέτερον, Θερμὰ, (Thermes), προσυπακουόμενον ἔχει τὸ Ὕδατα, ἢ Λουτρά. —— Πράγματα τὰ τυγχάνοντ' ἐμπέσῃ.] Ἑλληνικώτερον ἂν εἶπε, πράγματα τύχῃ ἐμπεσόντα, ἢ πράγματα τὰ τυχόντ' ἐμπέσῃ. —— ΕΔ. 32, τοῦ ἡλίου, τῆς σελήνης τῶν κύκλων.] Προσέθηκα τὰς τελευταίας δύο λέξεις (τῶν κύκλων) ἐκ ΔΓ προσεγραμμένης τῷ ἐμῷ ΤΡ. —— ΕΔ. 33, ἔτι ποθεῖς;] Ἰσ. γρ. τί ἔτι ποθεῖς; —— ΕΔ. 34, Εἰσαγωγὰς ἔπραξε,] ἐπραγματευσάμην, ὡς ἐξηγήσαντο οἱ πρὸ ἐμοῦ ὧδέ τε καὶ ἀνωτέρω (I, κϑ', 23). Ἴσως ὧδέ τε κἀκεῖ γραπτέον, ΕΓΡΑΨΑ. —— Χρυσίππεια] Χρυσίππου συγγράμματα. —— ΕΔ. 37, ΕΤΙ οὗτος ἀνιᾶται μένων;] Ἴσως ἐγράφετο, ΤΙ, ἢ γοῦν, ΤΙ ΕΤΙ. —— ΕΔ. 38, Ταχύ γ' ἂν ὁ τοιοῦτος...ΦΥΓΕΙΝ εἰς ἅπαντα κ. τ. λ.] Ἴσως, ΦΥΓΩΝ, ὅπερ ὑπενόησε καὶ ὁ πρὸ ἐμοῦ. Ὁ νοῦς, ὁ ἐν τοῖς οὕτω μικροῖς ὑπομεῖναι μὴ δυνάμενος, ἢ πού γε ὑπομείναι φυγαδευθεὶς φυγὴν εἰς ἅπαντα τὸν χρόνον (τὴν συντομώτερον λεγομένην

Digitized by Google

ἀειφυγίαν) κ. τ. λ.—ΕΔ. 41, τὸ λεγόμενον τοῦτο, Ἀπονοήθητι κ. τ. λ.] Ἐπειδὴ ἡ ἀπόνοια, ἐπὶ κακοῦ λαμβάνεται, οὐδὲν ἄλλο οὖσα ἢ ἄκρα θρασύτης, ἐνταῦθα τὸ Ἀπονοεῖσθαι ὑπὲρ εὐροίας, τουτέςιν εὐδαιμονίας, δηλονότι καταχρηςικῶς ἐκληπτέον, τουτέςιν, Ἄραι πόλεμον κατὰ παθῶν ἄσπονδον, καὶ μάχου τούτοις ὡς ἐκμαινόμενος ὑπὸ τοῦ τὴς εὐδαιμονίας ἔρωτος· ἔνθεν εἰκὸς καὶ εἰς παροιμίαν ἐκπεσεῖν, τὸ Ἀπονενοημένως φέρεσθαι πρὸς τὰ καλά. —ΕΔ. 43, ἐν βοὸς κοιλίᾳ καθήμενος, ἐκδέχου σοῦ τὴν μάμμην κ. τ. λ.] Συναπορῶ καὶ αὐτὸς τοῖς κριτικοῖς, τί σημαίνει τὸ Ἐν βοὸς κοιλίᾳ καθῆσθαι. Ὁ πρὸ ἐμοῦ, λῦσαι βουλόμενος τὸ ἀπορούμενον, τοῦτο μὲν, παρέθετο τὸ τοῦ Ἡροδότου (II, ρκθ'), ὃς φησι τὸν ἐν Αἰγύπτῳ βασιλεύσαντα Μυκερῖνον, τὴν μόνην αὐτῷ οὖσαν θυγατέρα, ἀποθανοῦσαν, « Βου- » λόμενον περισσότερόν τι τῶν ἄλλων θάψαι, ποιήσασθαι βοῦν ξυλίνην » κοίλην· καὶ ἔπειτα καταχρυσώσαντά μιν ταύτην, ἔσω ἐν αὐτῇ » θάψαι ταύτην δὴ τὴν ἀποθανοῦσαν θυγατέρα. » Τοῦτο δὲ, ὑπελάμβανε τὴν Μάμμην ἐνθάδε ἐκδεκτέον εἶναι, οὐκ ἐπὶ τοῦ μητέρα, ἀλλ' ἐπὶ τοῦ μαστοῦ, κατὰ τὸ Ῥωμαϊκὸν mamma, ἵν' ᾖ ὁ νοῦς, Ὡς μόσχος τῇ κοιλίῃ τῆς βοὸς πρασισχόμενος, ἐκδέχου τὸν μαςὸν, μέχρις σε χορτάσῃ.] —ΕΔ. 45, ἀντὶ Προκρούστου καὶ Σκίρωνος.] Ἔπιθι τὸν Πλούταρχον (Θησ. § 10-11). —ΕΔ. 47, μηδέ ποθ' εὑρεῖν.] Ἐκ ΔΓ (κακῶς ἐψιλωμένης εὑρεῖν) ΑΤ, εὑροεῖν.

ΚΕΦΑΛΑΙΟΝ ιζ', ΕΔΑΦΙΟΝ 3, μαθεῖν θέλομεν, Οἱ ΜΕΝ ὡς κομψά κ. τ. λ.] Προσέθηκα τὰ δύο μόρια, ἐξ εἰκασίας τοῦ πρὸ ἐμοῦ. —Περιποιήσωνται] χρήματα. —ΕΔ. 5, Θεόπομπον] τὸν Χῖον, τὸν Ἰσοκράτους μαθητήν. —ὌΣ ΠΟΥ καὶ Πλάτωνι κ. τ. λ.] ΗΔ, ἀντὶ τοῦ ὍΠΟΥ. ΔΓ ὥς που. —ΕΔ. 6, Οὐδεὶς ἡμῶν πρὸ σοῦ...τὰς φωνάς;] Θεοπόμπου τὰ ῥήματα ταῦτα ἀποτεινομένου πρὸς Πλάτωνα, ἐκ τοῦ ἐπιγραφομένου Κατὰ τῆς Πλάτωνος διατριβῆς συγγράμματος· ἐν ᾧ Θεόπομπος, καὶ τῶν προκατειλεγμένων μακρῷ δεινότερα ὀνειδίζει τῷ Πλάτωνι, οἷόν ἐστι καὶ τόδε, « Τοὺς πολλοὺς » τῶν Διαλόγων αὐτοῦ ἀχρείους καὶ ψευδεῖς ἄν τις εὕροι· ἀλλοτρίους » δὲ τοὺς πλείους, ὄντας ἐκ τῶν Ἀριστίππου διατριβῶν, ἐνίους δὲ κἀκ » τῶν Ἀντισθένους, πολλοὺς δὲ κἀκ τῶν Βρύσωνος τοῦ Ἡρακλεώτου. » (παρ' Ἀθην. XI, σελ. 508). —Ἐφθεγγόμεθα.] Ἐξ ΕΔ, ΑΤ, φθεγγόμεθα. —ΕΔ. 9, ἀνάτεινον] ὑπέρθες, ἀνάβαλε τὴν τροφὴν, ὡς ἐξηγήσατο ὁ πρὸ ἐμοῦ. Χρήσεται κἀν τοῖς ἑξῆς (III, κδ', 73) τῷ

Digitized by Google

ῥήματι· ἐφ' ἧς σημασίας ἐχρήσατο καὶ ἕτερός τις (παρὰ τῷ Ἀθην. σελ. 156) εἰπών, « Ἀνέτεινες γὰρ ἡμᾶς ὥσπερ νηστείαν ἄγοντας. » Τὸ δ' ἐξ αὐτοῦ ὄνομα, τὴν Ἀνάτασιν, εὑρήσεις παρὰ τῷ Πλουτάρχῳ (Πῶς ἂν τις διακρ. τὸν κολ. τοῦ φίλ. § 20) ἀντικειμένην τῇ τροφῇ, « Διστάζοντα περὶ λουτροῦ καὶ τροφῆς, ὁ μὲν φίλος ἐφέξει.... ὁ δὲ κόλαξ εἰς » τὸ βαλανεῖον ἕλκει, καὶ κελεύει νεαρόν τι παρατιθέναι, καὶ μὴ » κακοῦν ἀνατάσει τὸ σῶμα. » —— Σικύασον.] Ἐνί ῥήματι τὰ δύο, Πρόσβαλε σικύας· καθάπερ καὶ οἱ Γάλλοι, Appliquer des ventouses, καὶ Ventouser. —— ΕΔ. 10, Οὕτως ἔχει καὶ ἐνθάδε· ΠΕΡΙ τῶν κατὰ τὸν βίον ΑΓΑΘΩΝ καὶ ΚΑΚΩΝ, καὶ ΣΥΜΦΟΡΩΝ καὶ ΑΣΥΜΦΟΡΩΝ, τίς ἡμῶν οὐ λαλεῖ;] ΗΔ ἥ τε γραφὴ καὶ ἡ διάστιξις, ΑΤ, « Οὕτως ἔχει καὶ ἐνθάδ', ΕΠΙ τῶν κατὰ τὸν βίον. ΑΓΑΘΟΝ καὶ » ΚΑΚΟΝ, καὶ ΣΥΜΦΕΡΟΝ καὶ ΑΣΥΜΦΟΡΟΝ, τίς ἡμῶν οὐ λαλεῖ; » ΔΓ ἐν ταῖς ἀρχαίαις ἐκδόσεσι μόνη αὕτη φέρεται, « Ἀγαθῶν καὶ » κακῶν », ἀφ' ἧς ὁρμώμενος διεσκεύακα καὶ τὰ λοιπά. Ἡ αὐτὴ δὲ ΔΓ προσγέγραπται κἀν τῷ ἐμῷ ΤΡ, οὐ μέντοι ὡς διάφορος γραφὴ, ἀλλ' ὡς διόρθωσις, προηγουμένου τοῦ Ῥωμαϊκοῦ forte (ἴσως). —— ΕΔ. 14, δυσροεῖς] κακοδαιμονεῖς. —— ΕΔ. 15, τὸν δεύτερον τόπον] τὸν ἕνα τῶν τριῶν, περὶ ὧν ἐν τοῖς ἑξῆς (III, β', 1-2) —— ΕΔ. 16, καὶ σχεδὸν αἰσθητὴν παρέχοντος κ. τ. λ.] Ἡ περιαιρετέον τὸν σύνδεσμον, ἢ γραπτέον, « Καὶ σχεδὸν αἰσθητὴν παρέξω (ἢ παρέξει) σοι. » —— ΕΔ. 20, Εἶτα ΟΥ̓ τιμωρήσομαι.... ὑβρίσαντα;] ΗΔ, ἀντὶ τοῦ, « Εἶτα ΟΥ̓ΤΩ τιμωρήσομαι.... ὑβρίσαντα. » —— Ἀποκτείνω ΜΟΥ τὰ τέκνα.] ΗΔ, ἀντὶ τοῦ ΜΕΝ. Εἰσὶ δ' οἱ καὶ τὸ ῥῆμα εἰς τὸν μέλλοντα Ἀποκτενῶ τρεπτέον εἶναι ᾠήθησαν. Ἀλλ' ἐκδεκτέον τὸ Ἀποκτείνω προστακτικῶς, πρὸς ἑαυτὴν παρακελευομένης τῆς Μηδείας. —— ΕΔ. 22, οὐ μᾶλλον.] Ἴσως (ὥσπερ εἶκαζεν ὁ πρὸ ἐμοῦ) γρ. Οὐδεὶς οὐ μᾶλλον. —— ΕΔ. 24, ἀποτεύξῃ, περιπτώσεις.] Οὕτως ἐξέδωκεν ὁ πρὸ ἐμοῦ, ΑΤ, « ἀποτεύξει, περιπτώσει » ἐξ ἀντιγράφων μὲν μεταποιήσας τὸ πρῶτον (ἀποτεύξει) εἰς μέσου ῥήματος μέλλοντα δευτεροπρόσωπον, προσθεὶς δὲ τὸ σ̄ τῷ δευτέρῳ, ὡς μέλλοντι δῆθεν (παρὰ τὸ Περιπτόω) συνωνύμῳ τῷ Περιπεσῇ. Ἄμεινον ἄν, οἶμαι, ἐγράφετο, Περιπτώσῃ, κατὰ μέσον μέλλοντα, τοῦ κατ' Ἐπίκτητον μὲν ἑλληνισμοῦ, οὗ γε μὴν παρὰ τὴν ἀναλογίαν, ἐπεὶ καὶ ὁ ἀνώμαλος παρακείμενος τοῦ Πίπτω, ὁ Πέπτωκα, μέλλοντα ὑπαγορεύει Πτώσω καὶ Πτώσομαι (κατὰ τὸ Κεχρύσωκα, Χρυ-

Digitized by Google

σώσω καὶ Χρυσώσομαι) —— ἁπλῶς ἄν τινι τῶν ἀπροαιρέτων] χαρίσῃ. —— ΕΔ. 26, ταλαίπωρε.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφήν, τῶν πρὸ ἐμοῦ γραψάντων ἐκ ΔΓ (προσεσημειωμένης καὶ ἐν τῷ ἐμῷ ΤΡ) Ἀταλαίπωρε. Κέχρηται μὲν καὶ τῷ στερητικῷ ἀλλαχοῦ Ἐπίκτητος· ἀλλ' οὐκ εἰκὸς χρήσασθαι ἐνταῦθα, ἔνθα μικρὸν ὑποβάς (ΕΔ. 34) ἐρεῖ, « Οὐκ ἀπάγξῃ. . .τάλας; —— ΕΔ. 28, ΘΕΛΟΝΤΟΣ, μηδὲν οὐκ ἔχαι.] Προσγραπτέον ἴσως ἐκ δευτέρου τὸ ἐπίρρημα, ΠΩΣ ΘΕΛΟΝΤΟΣ. Ὁ νοῦς, Πῶς μηδὲν γενήσεται, ὧν μὴ θέλεις γενέσθαι, πῶς μηδὲν μὴ γενήσεται, ὧν θέλεις μὴ γενέσθαι. —— ΕΔ. 29, κατὰ ταύτην τὴν ἐπιβολήν] μετὰ ταύτης τῆς ἐπιβολῆς (dessein). —— ΕΔ. 33, καὶ οἰνωμένος, καὶ ἐν μελαγχολίᾳ.] Ἔπιθι τὰ ἐν τοῖς πρόσθεν (I, ιή, 23) σημειωθέντα. —— ΕΔ. 34, Οὐκ ἀπάγξῃ.] Παραπλήσιον ὥπερ ὁ πολὺς ὄχλος λέγει παρ' ἡμῖν, Δὲν ΠΑΣ νὰ χαθῇς! ἀντὶ τοῦ ΥΠΑΓΕΙΣ. —— ΕΔ. 35, καὶ σὺ μεγάλως, εἰς τὸν Ξενοφῶντος χαρακτῆρα.] Εἰκὸς ταῦτα διὰ τὸν Ἀρριανὸν, παρόντα τότε, ὑπὸ τοῦ διδασκάλου, εἰρωνευομένου μετ' ἀστειότητος λελέχθαι. Ἀρριανὸς γάρ ἐστιν ὁ μάλιστα τὸν Ξενοφώντειον χαρακτῆρα παράδειγμα προβαλόμενος. —— ΕΔ. 36, ὁρμᾶτε, ἐπιβάλλεσθε, προτίθεσθε.] Ἴδε τὰ ἐν τοῖς πρόσθεν (I, δ' 14) σεσημειωμένα. —— ΕΔ. 37, Εἰς οἵαν περίστασιν ΑΠΕΡΧΗ ΜΟΙ, τέκνον κ. τ. λ.] ΗΔ ἀντὶ τοῦ ΑΠΕΡΧΟΜΑΙ, οὗ τὸ ἄτοπον κατανενοήκασι καὶ οἱ πρὸ ἡμῶν. Ἔστι δὲ ὡς ἀπὸ τοῦ μαθητοῦ τὰ λεγόμενα, κατὰ τοῦ διδασκάλου Ἐπικτήτου· Ἀφιλόστοργος, φησὶ, γέρων, ὅστις ἐξερχομένου μου οὐκ ἔκλαυσεν, οὐδ' εἶπεν, Εἰς οἵους κινδύνους, τέκνον, μέλλεις ἐμβαλεῖν σεαυτόν; —— ἄψω λύχνους] λυχνοκαΐαν ποιήσω ἐπὶ τῇ σωτηρίᾳ σου. Λυχνοκαΐαν ἐκάλουν οἱ ἀρχαῖοι, τὴν παρὰ τοῖς μεταγενεστέροις, καὶ παρ' ἡμῖν νῦν ἐν τῇ συνηθείᾳ, σημαντικωτέρως καλουμένην Φωτοχυσίαν (illumination). —— ΕΔ. 39, ἀποβάλλοντας.] Γραπτέον, οἶμαι, ἀποβαλόντας. —— ΕΔ. 40, εἰσαγωγάς.] Ἐξ εἰκασίας τοῦ πρὸ ἐμοῦ, παραβάλλοντος τοῖς ἐν τοῖς πρόσθεν (II, ις', 34), ἀντὶ τοῦ ΣΥΝΑΓΩΓΑΣ. —— μετὰ τῶν Ἀντιπάτρου καὶ Ἀρχεδήμου διέλθωμεν.] Ἐμνημόνευσε τοῦ Ἀρχεδήμου καὶ ἀνωτέρω (II, δ', 11)· μνημονεύσει δ' ἐν τοῖς ἑξῆς (II, ιθ', 2) καὶ δεύτερον Ἀντιπάτρου τοῦ Ταρσέως, Στωϊκοῦ φιλοσόφου τῶν οὐκ ἀσήμων.

ΚΕΦΑΛΑΙΟΝ ιή, ΕΔΑΦΙΟΝ 2, γνώσῃ τὸ γινόμενον] ὅτι ἀπώλεσας τὴν ἕξιν τοῦ ἀναγινώσκειν. —— ΕΔ. 3, κἂν ἀναπέσῃς] ἢ ἀνακλινθεὶς, ἢ ἄλλως ἀμελήσας τοῦ βαδίζειν. Ἐκ ΔΓ εἰλήφασιν οἱ πρὸ

Digitized by Google

ἐμοῦ τὸ Ἀναπέσῃς, ἀνθ' ἧς ἔφερον αἱ ἀρχαῖαι ἐκδόσεις γραφῆς, ΔΙΑΠΕΣΗΣ· ὑπὸ ταύταις λανθάνειν ἔμοιγε δοκεῖ ἑτέρα βελτίων γραφή, ΔΙΑΝΑΠΑΥΣΗ. —— ΕΔ. 4, εἴ τι....ἐκτικὸν] εἴ τι ἐπιθυμεῖς γενέσθαι σοι ἐν ἕξει, καὶ ἑπομένως εὔκολον. Ἐκτικὸν ἐστὶ τὸ τῇ Γάλλων φωνῇ habituel. —— ΕΔ. 8, τὰ ἀῤῥωστήματα...οἱ φιλόσοφοι] οἱ Στωϊκοὶ δηλονότι, οἱ διήρουν τὰ ἁμαρτήματα εἰς νοσήματα καὶ ἀῤῥωστήματα. Ἄξιον δὲ καὶ αὐτὰς παραθεῖναι τὰς λέξεις τοῦ ἱστορήσαντος Διογένους τοῦ Λαερτίου, ἄλλως τε καὶ διότι οὐ πάνυ τι συνάδειν ἐοίκασιν οὔτε τοῖς ὑπὸ τοῦ Στοβαίου, οὔτε τοῖς ὑπὸ τοῦ Κικέρωνος λεγομένοις. Ὁ μὲν γὰρ Διογένης (VII, 115) φησίν· « Ὡς δὲ λέγεται ἐπὶ τοῦ σώματος » ἀῤῥωστήματα, οἷον ποδάγραι καὶ ἀρθρίτιδες, οὕτω κἀπὶ τῆς ψυχῆς, » φιλοδοξία, καὶ φιληδονία, καὶ τὰ παραπλήσια. Τὸ γὰρ ἀῤῥώστημα, » ἐστὶ νόσημα μετὰ ἀσθενείας· τὸ δὲ νόσημα, οἴησις σφόδρα δο- » κοῦντος αἱρετοῦ. Καὶ ὡς ἐπὶ τοῦ σώματος εὐεμπτωσίαι τινὲς λέγον- » ται, οἷον κατάῤῥους καὶ διάῤῥοια, οὕτω κἀπὶ τῆς ψυχῆς εἰσιν εὐκατα- » φορίαι, οἷον φθονερία κ. τ. λ. » Καὶ ταῦτα μὲν ὁ Διογένης. Τὰ δὲ τοῦ Στοβαίου (Ἐκλογ. ἠθικ. σελ. 182 Heeren) τοιαῦτα· « Εὐεμ- » πτωσίαν δ' εἶναι εὐκαταφορίαν εἰς πάθος, ὡς εἴς τι τῶν παρὰ φύσιν » ἔργων, οἷον ἐπιλυπίαν, ὀργιλότητα, φθονερίαν, ἀκροχολίαν καὶ τὰ » ὅμοια. Γίγνεσθαι δὲ εὐεμπτωσίας καὶ εἰς ἄλλα ἔργα τῶν παρὰ » φύσιν, οἷον εἰς κλοπὰς καὶ μοιχείας καὶ ὕβρεις, καθ' ἃς κλέπται τε » καὶ ὑβρισταὶ καὶ μοιχοὶ λέγονται. Νόσημα δ' εἶναι δόξαν ἐπιθυμίας » ἐῤῥυηκυῖαν εἰς ἕξιν, καὶ ἐνεσκῤῥωμένην, καθ' ἣν ὑπολαμβάνουσι τὰ » μὴ αἱρετὰ σφόδρα αἱρετὰ εἶναι, οἷον φιλογυνίαν, φιλοινίαν, φιλαρ- » γυρίαν...τὰ δὲ νοσήματα [τὰ] μετ' ἀσθενείας συμβαίνοντα, ἀῤῥω- » στήματα καλεῖσθαι. » Ὥρα δὲ παραθεῖναι καὶ τὰ τοῦ Κικέρωνος, καὶ αὐτοῦ τοῖς Στωϊκοῖς, καὶ ἐξαιρέτως Χρυσίππῳ, ἀνατιθέντος τὰς τοιαύτας λεπτολογίας. Ex perturbationibus autem primum MORBI conficiuntur, quæ vocant illi νοσήματα... deinde ÆGROTATIONES, quæ appellantur a Stoicis ἀῤῥωστήματα...Hoc loco nimium operæ consumitur à Stoicis, maxime à Chrysippo, dum morbis corporum comparatur morborum animi similitudo...Definiunt autem Ægrotationem, opinationem vehementem de re non expetenda, tanquam valde expetenda sit, inhærentem et penitus insitam...Ægrotationi autem talia quædam subjecta sunt, avaritia, ambitio, mulierositas,

Digitized by Google

pervicacia, liguritio, vinolentia, cupedia, et si qua similia. ...ut sunt alii ad alios morbos procliviores (itaque dicimus gravedinosos quosdam, quosdam torminosos, non quia jam sint, sed quia sæpe sint); sic alii ad metum, alii ad aliam perturbationem: in aliis anxietas, unde anxii, in aliis iracundia dicitur: quæ ab ira differt, estque aliud iracundum esse, aliud iratum... Ergo et invidi et malevoli et lividi et timidi, et misericordes, quia proclives ad eas perturbationes, non quia semper feruntur. Hæc igitur proclivitas ad suum quodque genus, similitudine corporis, Ægrotatio dicitur, dum ea intelligatur ad ægrotandum proclivitas. (CICER. *Tusculan.* IV, 10-12) Τούτων οὕτω παρατεθειμένων, δῆλον ὅτι ὁ Διογένης τε καὶ Στοβαῖος καλοῦσιν ἀῤῥώστημα, τοῦτο τῷ Κικέρωνι καλεῖται Ægrotatio, ὥσπερ τὸ ὑπ' ἐκείνων νόσημα, Morbus· καὶ ὃ παρ' ἐκεῖνοις, Εὐεμπτωσία ἢ Εὐκαταφορία εἰς πάθος, τοῦτο ὑπὸ τοῦ Κικέρωνος λέγεται ad ægrotandum proclivitas, ὅπερ ἐστὶν, Εὐκαταφορία εἰς ἀῤῥώστημα. Ἀλλὰ παρὰ μὲν τῷ Διογένει τὸ Νόσημα ὁρίζεται, « Οἴησις ΣΦΟΔΡΑ δοκοῦντος αἱρετοῦ » ᾧ συνάδει καὶ ὁ Στοβαῖος, ὁριζόμενος αὐτὸ, « Δόξαν ἐπιθυμίας ἐῤῥυηκυῖαν εἰς » ἕξιν καὶ ἐνεσκιῤῥωμένην, καθ' ἣν ὑπολαμβάνουσι τὰ μὴ αἱρετὰ; » σφόδρα αἱρετὰ εἶναι. » Ἐξ ἐναντίας δὲ ὁ Κικέρων τὸν ὁρισμὸν τοῦτον οὐ τῷ Νοσήματι, ἀλλὰ τῷ Ἀῤῥωστήματι ἀποδίδωσιν Ægrotationem, opinationem VEHEMENTEM de re non expetenda, tanquam VALDE expetenda. Καὶ ὥς ἐστιν ἴσως διορθοῦσθαι τὸν παρὰ τῷ Διογένει ὁρισμὸν ἐκ τοῦ Κικέρωνος, γράφοντα, « Οἴησις » ΣΦΟΔΡΑ, ΣΦΟΔΡΑ δοκοῦντος αἱρετοῦ » οὐκ ἔστιν ὡσαύτως καὶ τὸ ὁριστὸν, Νόσημα, αἰτιασάμενον τὴν γραφὴν, οὔτε παρὰ τούτῳ οὔτε παρὰ τῷ Στοβαίῳ, τρέπειν εἰς τὸ Ἀῤῥώστημα. Ὅπως δέ ποτ' ἂν ἔχῃ τὰ περὶ τούτων ἀπορούμενα, ἐκεῖνό μοι δηλοῦσθαι δοκεῖ, ὅτι τὰ μὲν Νοσήματα παρείκαζον οἱ Στωϊκοὶ τοῖς ὀξέσι λεγομένοις ὑπὸ τῶν ἰατρῶν τοῦ σώματος πάθεσι· τὰ δὲ ἀῤῥωστήματα τοῖς καλουμένοις χρονίοις· οἷον ἐλυπήθη τις ἐπ' εὐτυχίᾳ τινὸς, τοῦτο Νόσημά ἐστι, καλούμενον ΦΘόνος· ἀλλὰ διατελεῖ λυπούμενος ἐπὶ τῇ ἑκάστου εὐπραγίᾳ, τοῦτο ἤδη ἀῤῥώστημα γίνεται, καλούμενον ΦΘονερία· ἐθυμώθη τις ἄπαξ, ἀδικηθεὶς ἢ δόξας ἠδικῆσθαι, Ὀργὴ τοῦτο· ἀλλ' ἔστι καὶ εὐκατόφορος ἐπὶ τὸ θυμοῦσθαι, ὥστ' ἐν ἕξει αὐτῷ τὴν ὀργὴν γενέσθαι,

Digitized by Google

Ὀργιλότης ἤδη τοῦτο λέγεται. Δῆλον δὲ καὶ ἐξ οὗ φέρει Ἐπίκτητος παραδείγματος τῆς φιλοχρηματίας· οὐ γὰρ τὸ ἅπαξ ἀργυρίου ἐπιθυμῆσαι, ἀλλὰ τὸ ἐκτικῶς ἐπτοεῖσθαι περὶ ἀργύριον, Φιλαργυρίαν ὀνομάζει, καὶ τοῦτο φησὶν εἶναι τὸ Ἀῤῥώστημα. —— ΕΔ. 9, ὑπὸ τῆς καταλλήλου φαντασίας.] Ἔπιθι Μαρκ. Ἀντων. Z, β'. —— Τυλοῦται] ἐς τὸ ἐν τῇ συνηθείᾳ Πετσιάζει, ἢ Κοντριάζει (s'endurcir)· ὧν τὸ μὲν παρὰ τὸ πετσίον (peau) παρεσχημάτισται ἐκ τοῦ Πεσκίον, ὑποκοριστοῦ τοῦ Πέσκος, καθάπερ ἐν ἄλλοις σεσημείωται· τὸ δὲ, παρὰ τὸ Χονδριάω καὶ Χονδριάζω. —— ΕΔ. 11, ἐξαλείψει.] ΗΔ, ΑΤ, ἐξαλείψῃ. —— ΕΔ. 12, καὶ τὰς ἡμέρας ἀριθμει κ. τ. λ.] Παράθες τούτοις τὰ τοῦ καθ' ἡμᾶς φιλοσόφου Φραγκλίνου παραγγέλματα περὶ τῆς Ἠθικῆς βελτιώσεως (Plan d'amélioration morale). —— ΕΔ. 14, κομψῶς σοί εστι] καλῶς σοί ἐστι, ῥᾴον ἔχεις ἀπὸ τῆς νόσου· παραπλησίᾳ φράσει τῇ τοῦ Εὐαγγελιστοῦ (Ἰωάνν. δ', 52), ὡς ἐσημειώσατο ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 15, ὁ γὰρ τοῦτ' εἰπὼν, Μακάριος κ. τ. λ.] ὃς γὰρ ἂν εἴπῃ, Μακάριος ὁ ἀνὴρ αὐτῆς, οὗτος οὐδὲν ἀπέχει τοῦ φάναι καὶ Μακάριος ὁμοιχὸς αὐτῆς. Τῇ λέξει μόνῃ διενήνοχε τοῦ, εὐαγγελικοῦ (Ματθ. ε', 28) παραγγέλματος « Πᾶς ὁ βλέπων γυναῖκα κ. τ. λ. » τὸ Ἐπικτήτειον τοῦτο. —— ΕΔ. 17, τοῦ Κυριεύοντος.] Ἓν καὶ τοῦτο τῶν πολλῶν παραλογισμῶν καὶ σοφισμάτων εἶδος ὁ καλούμενος Κυριεύων, καθάπερ καὶ ὁ ἑξῆς (18) Ψευδόμενος, καὶ Ἡσυχάζων, οὓς ἐν πολλοῖς Ἐπίκτητος, καλῶς ποιῶν, διαπαίζει, καίπερ Χρυσίππου οὐκ ὀλιγάκις περὶ τὰς τοιαύτας ματαιοτεχνίας ἠσχολημένου. —— ΕΔ. 18, ἀπόσχωμαι.] Ὁ πρὸ ἐμοῦ, ἀπίσχωμαι, οὐκ οἶδ' ὅθεν εἰληφώς. —— ΕΔ. 20, Πλάτων μέν.] Προσυπακουστέον τὸ, φήσει ἢ κελεύσει σοι. Ἡ δὲ ῥῆσις ἐκ τῶν Πλάτωνος Νόμων (IX, σελ. 854). —— ΕΔ. 21, ΑΡΚΕΙ, κἂν ἐπὶ τὰς τῶν κ. τ. λ.] Ἐκ ΔΓ (ἤ τις προσγέγραπται καὶ ἐν τῷ ἐρῷ ΤΡ.) ἀντὶ τοῦ ΑΡΚΟΥΝ. —— ΕΔ. 22, πόστος ἀφ' Ἡρακλέους ἐγένετο.] Ἡρακλέους εἰσηγησαμένου τὸν Ὀλυμπιακὸν ἀγῶνα, καὶ πρώτου νικήσαντος, τοὺς ἑξῆς πάλιν ἅμα καὶ παγκράτιον νικῶντας τῶν ἀθλητῶν, ἀπ' ἐκείνου ἀριθμουμένους ἀναγράφειν ἐφίλουν· οἷον, « ὁ δεῖνα, » τρίτος, ἢ τέταρτος ἀφ' Ἡρακλέους κ. τ. λ. » Ἔπιθι τὰ διὰ μακρῶν σημειωθέντα ὑπὸ τῶν πρὸ ἐμοῦ. —— Χαῖρε, παράδοξε.] Παραδόξους ἐκάλουν τῶν ἀθλητῶν τοὺς ἡμέρᾳ μιᾷ πάλῃ ἅμα καὶ παγκρατίῳ νικήσαντας. Ἴδε Βίους Πλουτάρχ. τόμ. 3, σελ. 408 ἐμ. ἐκδ. ——

Digitized by Google

τοὺς σαπροὺς τούτους ΠΎΚΤΑΣ.] Ἐξ ΕΔ, ἀντὶ τοῦ ΠΑΪ́ΚΤΑΣ. —— ΕΔ. 23, νικήσεις...ΟΥ̓Χ ἑλκυσθήσῃ] Γραπτέον ΟΥ̓Δ. —— ΕΔ. 24, Ἐκδέξαί με.] Κατὰ τὰ ἀλλαχοῦ (Ἐγχειριδ. XXXIV) εἰρημένα. —— ΕΔ. 25, οἴχεταί σ' ΕΛΚΟΥΣΑ ὅπου ἂν θέλῃ.] ΗΔ, ἀντὶ τοῦ ΕΧΟΥ̓ΣΑ —— ΕΔ. 32, τὸ τοῦ Ἡσιόδου.] Ἐκ τῶν ἔργων καὶ ἡμερῶν (413). Ἀμβολιεργὸς δέ, ὁ ἀναβαλλόμενος τὰ ἔργα· ἔνθα σημειούσθω καὶ τοῦτο, ὅτι Ἐπίκτητος, οὐ πάνυ τι φροντίζων τῆς Στωϊκῆς περὶ τὰς λέξεις λεπτολογίας, ἀδιαφόρως πολλάκις χρῆται τῷ Ἀναβάλλεσθαι καὶ τῷ Ὑπερτίθεσθαι. Οἱ δὲ Στωϊκοὶ, καὶ μάλιστα οἱ περὶ τὸν Χρύσιππον, οὐδὲ τοῦτο ἀφῆκαν ἀκαταζήτητον· κατὰ γὰρ τὸν Στοβαῖον (Ἐκλογ. ἠθ. σελ. 240, Heeren), ἔλεγον, « Οὐδ' ΑΝΑΒΑΛΛΕΣΘΑΪ̓ δέ » ποτε τὸν σπουδαῖον οὐδὲν, εἶναι γὰρ τὴν ἀναβολὴν ὑπέρθεσιν ἐνεργείας δι' ὅκνον· ΥΠΕΡΤΙΘΕΣΘΑΙ δέ τινα μόνον, ἀνεγκλήτου τῆς » ὑπερθέσεως οὔσης. Ἐπὶ γὰρ τὸ (γρ. τοῦ) ἀναβάλλεσθαι τὸν Ἡσίοδον » ταῦτ' εἰρηκέναι,

» Μηδ' ἀναβάλλεσθαι ἐς τ' αὔριον, ἐς τ' ἔννηφιν·

» καὶ,

» Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτηισι παλαίει. »

ΚΕΦΑΛΑΙΟΝ ιθ', ΕΔΑΦΙΟΝ 1, Ὁ κυριεύων λόγος κ. τ. λ.] Κυριεύοντά φασι κληθῆναι τὸν λόγον τοῦτον, ἀπὸ τῆς ἀξίας, οἱονεὶ κρείττονα, ἢ ὑπερέχοντα τῶν ἄλλων. —— Κοινῆς γὰρ οὔσης μάχης κ. τ. λ.] Δύο γάρ ἄστινας τῶν τριῶν τούτων προτάσεων ἀληθεῖς εἶναι φήσας, ψευδῆ τὴν καταλειπομένην ἀποδείξεις, καθάπερ ἐξηγήσασθαι ἐσπούδασεν ὁ Ἄγγλος Ἄρρις (Harris), οὗ τὴν μακροτάτην σημείωσιν εὑρήσει ὁ βουλόμενος ἐν ταῖς τοῦ πρὸ ἐμοῦ σημειώσεσι —— τῷ, πᾶν παρεληλυθὸς κ. τ. λ.] Οὕτως ὁ πρὸ ἐμοῦ, τὸ μὲν ἐξ ΕΔ, τὸ δὲ καὶ ἐκ ΔΓ, ΑΤ (διὰ διπλοῦ ἄρθρου), « τῷ τὸ πᾶν παρεληλυθός. » Τὸ δ' ἐμὸν ΤΡ ἔχει καὶ διάφορον γραφὴν τῆς τελευταίας λέξεως, ΠΑΡΕΛΗΛΥΘΟΤΙ, ἀσαφέστερον ποιοῦσαν, τὸ καὶ τέως μὴ πάνυ σαφὲς χωρίον τοῦτο. —— Διόδωρος] ὁ διαλεκτικὸς, ὁ ἐπικληθεὶς Κρόνος, οὗ μνημονεύει Διογένης ὁ Λαέρτιος (II, 111) καὶ Στράβων (σελ. 658 καὶ 838). —— ΕΔ. 2, φέρεσθαι.] Πιθανῶς ὁ πρὸ ἐμοῦ ἐξηγήσατο τὸ ἐνθάδε κἀν τοῖς ἑξῆς (IV, α', 125) φέρεσθαι, ὡς συνώνυμον τοῦ Οἴεσθαι· καὶ αὐτὸ γὰρ τὸ Οἶομαι, φέρομαί ἐστιν, ἢ δῆλον ἀπὸ τοῦ

Digitized by Google

ἐνεργητικοῦ μέλλοντος, Οἴσω. —— ΕΔ. 4, κοινὴν εἶναι αὐτῶν τὴν μάχην.] ΗΔ ἡ τοῦ ἄρθρου προσθήκη· ἢ συνηγορεῖ καὶ ἡ ΔΓ, κοινὴν εἶναι τὴν μάχην αὐτῶν. —— ΕΔ. 5, οἱ δὲ περὶ Πανθοίδην] τὸν διαλεκτικόν (Ἰδ. Διογ. Λαέρτ. V, 68, VII, 193). —— ΕΔ. 7, Ἑλλάνικος,] ὁ Ἱστορικὸς, ὁ πρὸς ἄλλοις καὶ τὰ Τρωϊκὰ συγγράψας, καὶ, ὧν ἐν τοῖς ἑξῆς (14) Ἐπίκτητος μνημονεύσει, τὰ Αἰγυπτιακά. —— ΕΔ. 11, τῆς ἱστορίας κρατεῖν.] Ἴσον ὧδε δύναται τὸ Κρατεῖν τῷ Εἰδέναι, ἐπίστασθαι, ἀνθ' οὗ, ἡ παρ' ἡμῖν συνήθεια χρῆται τῷ συνωνύμῳ Κατέχειν. —— ΕΔ. 12, Ἰλιόθεν με φέρων κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσ. ί, 39. Ὅλον δὲ τουτὶ τὸ χωρίον Ἐπικτήτου ἀπὸ τοῦ, « Εἰπέ μοι περὶ ἀγαθῶν καὶ κακῶν » ἄχρι τοῦ, « Καὶ τούτους ἐκλε» λυμένους (20) » αὐτοῖς ῥήμασιν ἑλληνικοῖς ἀπεγράψατο Γέλλιος (A. GELL. *Noct. Attic.* 1, 2), θαυμάζων τὸν ἄνδρα, ὡς τοῖς ἠθικοῖς μάλιστα τῶν Στωϊκῶν παραγγέλμασι, προσέχειν ὑποτιθέμενον τοῖς νέοις, χαίρειν φράσαντας ταῖς διαλεκτικαῖς αὐτῶν τερθρείαις. —— ΕΔ. 13, κακὰ δὲ, κακίαι.] Οὕτω φέρεται καὶ παρὰ τῷ Αὔλῳ Γέλλῳ (*Noct. Attic.* I, 2)· ἄμεινον γ' ὅμως ἂν γράφοιτο μετὰ τοῦ ἄρθρου, Κακὰ δ', αἱ κακίαι; —— ΕΔ. 14, Διογένης] ὁ Βαβυλώνιος, Στωϊκὸς καὶ οὗτος φιλόσοφος. —— ΕΔ. 15, κακόσχολος.] Κυρίως μὲν ὁ κακῶς τῇ σχολῇ χρώμενος· « Κακοσχόλου, κακοῦ κατὰ τὴν » σχολὴν » φησὶν Ἡσύχιος. Λέγεται δὲ καὶ Κακόσχολον ὄνομα τὸ βωμολόχως ἐξευρημένον ἐπὶ τῷ σημαίνειν τι τῶν αἰσχρῶν, οἷον τὸ παρὰ τῷ αὐτῷ Ἡσυχίῳ· « Ἱπποκλείδης· οὕτω κακοσχόλως τὸ τῆς γυ» ναικὸς μόριον Ἀριστοφάνης εἶπεν. » Ἐν δὲ τῷ προκειμένῳ χωρίῳ, οὐκ ἂν ἀτυχῶς ἑρμηνεύσαις τὸν Κακόσχολον Γαλλιστὶ, mauvais plaisant. —— Λέγε μοι, τοὺς θεούς σοι.] Ἀντὶ τοῦ παρὰ τοῖς ἀρχαίοις, Πρὸς τῶν θεῶν· ὡσαύτως καὶ ὁ Ἀντωνῖνος (Μάρκ. Ἀντων. Ζ', ιζ') « Ἀπέρχου, τοὺς θεούς σοι! » καὶ πρὸ τούτων Ἀνακρέων (Μέλ. 31)·

> Ἄφες με, τοὺς θεούς σοι,
> Πιεῖν, πιεῖν ἀμυστί.

Καὶ ἐνικῶς δὲ ἐν τοῖς ἑξῆς τοῦ παρόντος βιβλίου (III, ζ', 19), Τὸν θεόν σοι, ἐλλειπτικῶς ἑκατέρωθι προθέσεως, ἢ δῆλον καὶ ἐκ τῆς σωσάσης τὴν πρόθεσιν παρ' ἡμῖν συνηθείας, Εἰπέ με, εἰς τὸν θεόν σου! —— ΕΔ. 21, Ποῦ γὰρ ΙΝ' ὑμεῖς... ΥΠΟΛΑΒΗΤΕ;]

Digitized by Google

Οὐ κεκολόβωται ἡ γραφὴ, ὥς τινες τῶν κριτικῶν ὑπενόησαν. Ὁ νοῦς, Ποῦ γὰρ οἷον τ' ἔσται τοῦτο, ὥστε ὑμᾶς ὑπολαβεῖν. Ἴσως γε μὴν ἐγέγραπτο πάλαι (τὸν αὐτὸν ἔχον νοῦν) Ποῦ γὰρ ἂν ὑμεῖς.... ΥΠΟΛΑΒΟΙΤΕ. —— ΕΔ. 22, Τὰ γὰρ Ἐπικούρεια ΑΥΤΟΙ οὗτοι χεῖρον λέγουσι;] Ἴσως ἐγέγραπτο, ΜΗ ΤΙ. —— ΕΔ. 28, κυβεύετε] μεταφορικῶς ἀντὶ τοῦ χλευάζετε. « Κυβεῦσαι, παῖξαι, ταβλίσαι, χλευάσαι » φησὶν Ἡσύχιος. —— ΕΔ. 30, οὐκ ἀνύεται.] Ἐκ ΔΓ, ΑΤ, ἀνύετε. Τὸ παθητικὸν ὑπελάμβανε πιθανώτερον καὶ ὁ πρὸ ἐμοῦ. —— Τὸ ἔργον; Εἰ καὶ ὑμεῖς ἔχετε ἐπιβολὴν, οἵαν ΔΗ κἀγὼ, ΚΑΙ ΠΡΟΣ τῇ ἐπιβολῇ καὶ παρασκευὴν οἵαν δεῖ, τί τὸ λεῖπόν ἐστιν;] ΗΔ, ΑΤ (γεγραμμένου καὶ ἐστιγμένου), « τὸ ἔργον, εἰ καὶ ὑμεῖς ἔχετε ἐπιβολὴν οἵαν ΔΕΙ, κἀγὼ ΠΡΟΣ τῇ ἐπιβολῇ, καὶ παρασκευὴν οἵαν δεῖ; » Τί τὸ λεῖπόν ἐστιν; » Μόνον τὸν σύνδεσμον (ΚΑΙ) προσέθηκα. Τὸ δὲ δεύτερον « Οἵαν δεῖ » τῆς προεκδεδομένης γραφῆς ἀστερίσκους δεῖν ἔγνων διαλαβεῖν, ὡς παραλελειμμένον καὶ ἔν τινι τῶν ἀντιγράφων. —— ΕΔ. 33, οὐκ ἀνύεται] τὸ ἔργον. Ἀποκατέστησα τὴν γραφὴν τῶν προτέρων ἐκδόσεων, ἀντὶ τοῦ, Οὐκ ἀνύετε. —— παρ' ἐμὲ οὐκ ἀνύεται.] Κἀνταῦθα προειλόμην τὸ παθητικὸν τοῦ ἐνεργητικοῦ, Οὐκ ἀνύετε. Τῷ ἐμῷ ΤΡ προσγέγραπται ΔΓ, παρ' ἐμὲ γίνεται. —— παρ' ἐμέ ἐστιν.] Τούτῳ μᾶλλον ᾠκειῶσθαι ἔοικεν, ἢν φθὰς παρεθέμην ΔΓ τὴν, Παρ' ἐμὲ γίνεται.

ΚΕΦΑΛΑΙΟΝ κ', ΕΔΑΦΙΟΝ 3, οὐδὲ τοῦτο] οὐδὲ τὸ « Οὐδέν » ἐστι καθολικὸν ἀληθὲς » ὁ ἀναγκάζῃ προφέρειν ὡς ἀληθές. —— ΕΔ. 4, ἄνθρωπε.] ΔΓ, ὦ ἄνθρωπε. —— ΕΔ. 5, τίνες ποτέ; οἱ ΑΚΑΔΗΜΑΪΚΟΥΣ ΑΥΤΟΥΣ λέγοντες; Ὦ ἄνθρωποι κ. τ. λ.] Δεινῶς συγκέχυται ταῦτα. Ἴσως διαγράφοντα τὰς δύο μέσας λέξεις μετὰ τῆς ἑπομένης ἐρωτηματικῆς στίξεως, γραπτέον, « τίνες ποτέ; οἱ λέγοντες, » Ὦ ἄνθρωποι κ. τ. λ. » —— Ὦ ἄνθρωποι.] Ἐξαλήλιπται ἐν τῷ ἐμῷ ΤΡ. τὸ κλητικὸν μόριον. —— ΕΔ. 7, οὐκ ἔστι φυσικὴ κοινωνία.] Ἐν τῷ ἐμῷ ΤΡ. σεσημείωται ΔΓ, οὐκ ἔστι ΦΗΣΙ κοινωνία. Γραπτέον, οἶμαι, ΦΥΣΕΙ. —— ΕΔ. 8, Τί οὖν σοι μέλει;] Αὐτῷ γὰρ τούτῳ τῷ μέλειν σοι καὶ φροντίζειν ὑπὲρ ἡμῶν ὁμολογεῖς εἶναι ἡμῖν φυσικὴν πρὸς ἀλλήλους κοινωνίαν. —— Καὶ πολὺ κρεῖσσον καὶ ἀσφαλέστερον] ἀπαλλάξεις. —— ΕΔ. 10, βαλὼν κἀθευδε] κατ' ἔλλειψιν τοῦ Σεαυτόν. —— ῥέγκε.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ἀνθ' ἧς ὁ πρὸ ἐμοῦ ἐξέδωκεν ἐξ ἑτέρων ἀντιγράφων, Ῥέγχε. —— ΕΔ. 11, κερδησόμενα,

Digitized by Google

καὶ ... κατακοπησόμενα.] Ἔνθεν ὁρμηθεῖσα καὶ ἡ παρ' ἡμῖν συνήθεια, Κουράδια (παρὰ τὸ Κείρειν) καὶ Κοπάδια (παρὰ τὸ Κόπτειν) καλεῖ τῶν προβάτων τὰς ἀγέλας, ὥσπερ ἕκαστον αὐτῶν ἐν μέρει Σφακτὸν (παρὰ τὸ Σφάττειν). —— ΕΔ. 14, τῶν ταῦτα διειληφότων] ὑπολαβόντων, νομισάντων. —— ΕΔ. 15, τὸ ἐγεῖρον αὐτὸν] ἐκ τοῦ ὕπνου τὸν Ἐπίκουρον. —— ΕΔ. 16, Ὅτι γὰρ δοκεῖ σοι ταῦτα τὰ ἀκοινώνητα κ. τ. λ.] Κακῶς ἐπλέόνασε τὸ ἄρθρον· ἡ γὰρ συνάρτησις, Ῥάψον, ὅτι σοι δοκεῖ ταῦτα [τὰ λογικὰ ζῶα] ἀκοινώνητα. —— ΕΔ. 17, τοὺς Γάλλους] τοὺς ἱερεῖς τῆς Κυβέλης. —— ΕΔ. 18, ἀνίκητόν ἐστιν ἡ.] ΔΓ. προσεγεγραμμένη ἐν τῷ ἐμῷ ΤΡ. ἀνίκητόν τι ἡ. —— ΕΔ. 19, οἱ ἀποκοπτόμενοι] οἱ εὐνουχιζόμενοι, οἷοι ἦσαν οἱ Γάλλοι. —— ΕΔ. 20, ταλαίπωροι.] Ἐξ ΕΔ, ΑΤ. ἀταλαίπωροι. —— ΕΔ. 21, οὐ προσφιλοτεχνεῖ.] Εὐλόγως ἀπήρεσκε τῷ πρὸ ἐμοῦ ἡ ἐνθάδε πρόθεσις. Ἴσως γραπτέον, Οὔ πως φιλοτεχνεῖ. —— ΕΔ. 23, Ἐπεὶ οὖν ταῦτά σοι ΛΙΑΝ ἀρέσκει.] ΔΓ (προσεγεγραμμένη ἐν τῷ ἐμῷ ΤΡ) ἀποφατικῶς, ΟΥ ΛΙΑΝ. —— ΕΔ. 24, ἀνεκτήσω τοὺς νέους ΡΕΠΟΝΤΑΣ ἤδη πρὸς καταφρόνησιν τῶν θείων.] Ἐκ ΔΓ ἀρίστης, προσεγεγραμμένης ἐν τῷ ἐμῷ ΤΡ, ἀντὶ τοῦ ΑΠΑΝΤΑΣ. —— ΕΔ. 26, ταῦτα τὰ πείσματα ἐνεποίησεν κ. τ. λ.] Οὕτως ἀνέπεισε τοὺς νέους, καὶ πιστεύειν ἐποίησε, ὅτι οὐκ αἰσχρὸν τὸ δουλεύειν κ. τ. λ. Εἰρωνικῶς δὲ ταῦτα. —— ΕΔ. 27, καθιστᾶσιν αὐτούς.] Ὃ πρὸ ἐμοῦ ἔγραψεν (ἐπὶ τοῦ αὐτοῦ σημαινομένου), Καθιστᾶσιν αὐτοὺς, ἐκ ΔΓ, ἀντὶ τοῦ Καθιστᾶσιν αὐτοῖς (ἢ αὐτοῖς). Οὐ μέντοι κακῶς ἔχειν μοι δοκεῖ καὶ τὸ κατὰ δοτικήν· τουτέστιν, ἱερεῖς ἑαυτοὺς ἀναδεικνύουσιν —— ἐξηγῶνται.] ΗΔ, ΑΤ, ἐξηγοῦνται. —— ΕΔ. 28, λουόμενος, ποῦ ἐμβαίνεις;] Ἴσως μετὰ τὰ ῥήματα ταῦτα ἐξερρύη ἡ ἀπόκρισις· Εἰς πύελον. —— ΕΔ. 29, ἔβαλον ἂν γάριον.] Γάριον, ὑποκοριστικὸν παρὰ τὸν Γάρον ἢ τὸ Γάρον. Ἔπιθι τὰ περὶ τοῦ Γάρου διὰ μακρῶν σημειωθέντα εἰς τὸν Ξενοκράτην (Περὶ τῆς ἀπὸ τῶν ἐνύδρ. τροφ. σελ. 183), οἷς προστίθει καὶ τὸ ἐν τοῖς ἑξῆς (§ 30) Ὀξύγαρον. —— ΕΔ. 30, Πτισάνην] τὸ τῶν ἐπτισμένων κριθῶν ἀφέψημα. Ἔγραψα δὲ ἐνθάδε καὶ μετ' ὀλίγα δι' ἑνὸς σ. —— ὀξυγάρου.] Τὸ Ὀξύγαρον ταὐτὸν ἔοικεν εἶναι καὶ τὸ μνημονευθὲν ἐν ταῖς εἰς τὸν Ξενοκράτην σημειώσεσιν Γαρέλαιον. Εἰκὸς γὰρ τὸ Γάρον ὄζειν καὶ ἐλαίῳ μιγνύντας ἔσθ' ὅτε (ὡς καὶ παρ' ἡμῖν νῦν σκευάζεται τὸ Χαβιάριον (caviar), γάρῳ παραπλήσιόν τι ὄν, τὸ μίγμα τοὺς μὲν Ὀξύγα-

Digitized by Google

ρον, τοὺς δὲ Γαρέλαιον ὀνομάσσι. —— ΕΔ. 31, τρεῖς, τέσσαρας.] ΔΓ (μετὰ τοῦ συνδέσμου) τρεῖς ἢ τέσσαρας· ἣν ἀπεδεξάμην ἂν διά γε τὸ κατάλληλον τῆς συντάξεως, εἰ ἐπεπείσμην οὕτω φῆσαι τὸν Ἐπίκτητον, μὴ τοὐναντίον δὲ μᾶλλον ἀσυνδέτως προενεγκεῖν, ἀκολουθήσαντα, τῷ παρακμάζοντι ἑλληνισμῷ, ᾧ καὶ παρ' ἡμῖν μέχρι δεῦρο ἀκολουθεῖ ἡ συνήθεια· τρεῖς τέσσαρες, γὰρ λέγειν φιλοῦμεν, τέσσαρες πέντε, καὶ καθεξῆς οὕτως, ὑπονοοῦντες, οὐκ ἐκφράζοντες τὸν σύνδεσμον (Ἴδε τὰς εἰς τὸν Ἰσοκράτ. σημ. σελ. 179). —— εἰ ἔσχον.] Γραπτέον, οἶμαι, εἰ εἶχον. —— ΕΔ. 32, εἰ ἔστι τις Δημήτηρ. κ. τ. λ.] Θεὸς μὲν ἔστι· Δήμητρα δὲ καὶ Κόρην καὶ Πλούτωνα, οὐδ' αὐτὸς ἐπίστευες εἶναι, ἄριστε Ἐπίκτητε. Ἔπιθι τὰς εἰς τὸν Κλεάνθους ὕμνον σημειώσεις (σελ. 159). —— ΕΔ. 35, παράσχωμεν.] Παράσχωσι, ὤφειλεν εἰπεῖν, ὡς ἐσημειώσαντο καὶ οἱ πρὸ ἡμῶν. Ἀλλὰ συχνὴ παρ' Ἐπικτήτῳ ἡ τοιαύτη μετάβασις ἀπὸ προσώπου εἰς πρόσωπον, ἀπ' ἀριθμοῦ εἰς ἀριθμόν, καὶ ἀπὸ γένους εἰς γένος ἕτερον. Ὃ δὲ μάλιστα σημειώσεως ἄξιον· ἡ γὰρ διδασκαλία ὧν φησιν Ἐπίκτητος Σκεπτικῶν φιλοσόφων, παραπλησία ἦν τῇ διδασκαλίᾳ τῶν Ἰησουϊτῶν, καὶ οὐδὲν ἧττον ἐλυμαίνετο τοὺς νέους. —— ΕΔ. 36, αἰσχρὸν ἢ καλόν;] Τὴν πρώτην μόνην λέξιν προσέθηκα, ἀναγκαίαν εἶναι κριθεῖσαν καὶ ὑφ' ἑτέρων· τὰ λοιπὰ ἐκ τῶν ἀρχαίων ἐκδόσεων. Ὁ πρὸ ἐμοῦ παρέλιπε καὶ τὰς τρεῖς. —— ΕΔ. 37, ἐλπίσαι.] Ἐκ ΔΓ (προσγεγραμμένης τῷ ἐμῷ ΤΡ.) ΑΤ, ἐλπίσει.

ΚΕΦΑΛΑΙΟΝ κα', Περὶ ἀνομολογίας] Περὶ τῆς ἔν τισιν ἀσυμφωνίας περὶ ὧν διαφέρονται οἱ ἄνθρωποι. —— ΕΔΑΦΙΟΝ 3, ἐλεήμονα οἱ πλεῖστοι] ὁμολογήσουσιν. Ἐπὶ κακοῦ ὧδε ὁ Ἐλεήμων, κατὰ τὴν τῶν Στωϊκῶν δόξαν. Οὐκ ἂν οὖν ὀρθῶς ἑρμηνεύσαις ἐν τῇ Γάλλων φωνῇ, miséricordieux ἢ compatissant, ἀλλὰ μᾶλλον, trop sensible. —— ΕΔ. 8, συνεχῶς.] Ἐν τῷ ἐμῷ ΤΡ προσγέγραπται ΔΓ, συνεχές. —— ΕΔ 9, μὴ καὶ αὐτὸς λέγω... ὅτι εἰς τὸ ἐπιὸν πεπαίδευμαι.] Οὐ πάνυ τι σαφὲς τὸ χωρίον. Οἱ πρὸ ἐμοῦ ἐξηγήσαντο τὸ Εἰς τὸ ἐπιὸν, εἰς πᾶν τὸ συμβαῖνον, ἢ εἰς πᾶσαν ἐνδεχομένην περίστασιν (ad omnem ingruentem casum). Οὔ γε μὴν τοῦτον εἶναι τὸν νοῦν τοῦ λεγομένου μοι δοκεῖ· τὸ γὰρ Εἰς τὸ ἐπιὸν οὐδὲν ἕτερον σημαῖναι ἔχει, ἢ εἰς τὸν ἐπιόντα χρόνον, τοῦ λοιποῦ, τὸ ἐξῆς. —— ΕΔ. 10, ἔχω ἣν δεῖ κ. τ. λ.] ἔχω, ἣν ἔχειν δεῖ συναίσθησιν τὸν μηδὲν εἰδότα, ἣν ἔχειν ὀφείλει ὁ μηδὲν εἰδώς. —— ΕΔ. 11, δου-

Digitized by Google

λαρίῳ.] Οὐκ οἶδ', εἰ ἐπὶ ἄῤῥενος δούλου ἐχρήσατο ἐνθάδε τῷ ὀνόματι Ἐπίκτητος, ἢ (ὃ καὶ πιθανώτερον), ἐπὶ θεραπαινίδος, οὗ τὴν χρῆσιν ἐν ἄλλοις (Στράϐ. Γεωγρ. σημ. τόμ. Δ', σελ. 44) ἐσημειωσάμην. —— καὶ ἔρχῃ μοι ΚΑΤΑΣΤΟΛΑΣ ΠΟΙΗΣΑΣ ὡς σοφός.] Καὶ τυφλῷ δῆλον ὅτι ἡμάρτηται τοῦ χωρίου ἡ γραφή. Οἱ πρὸ ἐμοῦ ἡρμήνευσαν, Καὶ ἔρχῃ πρός με ἐν καταστολῇ, τουτέστι σχήματι, σοφοῦ. Ἀλλ' οὐ τοῦτο λέγει τὸ κείμενον, ὥσπερ νῦν ἔχει. Ἴσως διαγράφοντας τὸ ποιήσας, ἀναγνωστέον, « Καὶ ἔρχῃ μοι κατασταλεὶς ὡς σοφὸς » ἢ, « Καὶ ἔρχῃ μοι καταστείλας σαυτὸν », τουτέστι, Καὶ μεθ' ὧν ἐποίησας οἴκοι θόρυβον, ἔρχῃ νῦν εὐτακτῶν καὶ εὐσχημόνων, ὡς σοφός. Ἢ γραπτέον (τοῦ αὐτοῦ μένοντος νοῦ), « Καὶ ἔρχῃ μοι ΕΝ ΚΑΤΑΣΤΟΛΗ ΠΑΣΗ, ὡς σοφός ». Καὶ τοῦτο τὸ ἐν καταστολῇ πάσῃ δηλοῦται καὶ διὰ τοῦ ἑξῆς (§ 12) Τεταπεινωμένος. —— ΠΡΟΣ τί ποτ' ἐφλυάρησα τὰ ἐπελθόντα μοι.] ΗΔ, ἀντὶ τοῦ, ΠΩΣ τί ποτ' ἐφλυάρησα κ. τ. λ. Ὁ νοῦς, Τίνος ἕνεκα, τί βουλόμενος, ἢ διανοούμενος, ἐφλυάρησα ὅ, τι μου ἐπὶ γλῶτσαν ἐπῆλθε. —— ΕΔ. 12, καὶ κάθῃ] σὺ ὁ μαθητὴς ἐνθάδε, ἐν τῇ σχολῇ. —— ΕΔ. 14, ΗΘΕΛΟΝ πώς ποτε ΠΑΝΤΑ μαθὼν ἐπανελθεῖν.] Ἴσως ΤΑΥΤΑ. Τὸ δ' ΗΘΕΛΟΝ ἰσοδυναμεῖ ἐνθάδε τῷ εὐκτικῷ Οφελον, ἢ Εἴθε· Εἴθε ποτὲ πάντα μαθὼν ἐπανέλθοιμι οἴκαδε! —— ἐν οἴκῳ κακῶς, καὶ ὧδε κακῶς.] Ὁ πρὸ ἐμοῦ ἐξηγήσατο, Ἐν τῷ ἐν Νικοπόλει οἴκῳ ἢ καταλύματι, ὅπου ᾤκει ὁ μαθητὴς, ὁ ταῦτα λέγων. Ἴσως ἐκδεκτέον ἐπὶ τοῦ ἐν Ῥώμῃ πατρῴου οἴκου, ὅθεν ἐληλύθει εἰς τὴν Νικόπολιν· ἄλλως γὰρ, τί βούλεται τὸ, « Οὐδεὶς οὐδὲν πέμπει », εἰ μή τις ἐκδέχοιτο ἐπὶ τῆς Ῥώμηθεν πεμπομένης ὑπὸ τῶν οἰκείων χορηγίας τῷ νέῳ; —— ΕΔ. 15, Τίς γὰρ ἔρχεται εἰς σχολὴν ὡς σχολάσων;] ΗΔ ἡ προσθήκη τῶν δύο τελευταίων λέξεων· ἀνθ' ὧν ὁ πρὸ ἐμοῦ προσυπακούει ἐκ τοῦ προηγουμένου τὸ, Ὡς ὠφεληθησόμενος. —— ΤΙΣ συναισθησόμενος.] Ἰσ. γρ. ΤΙΣ ΩΣ. —— ΕΔ. 17, οὐ συλλογισμούς;] Ἐξ ΕΔ προσέθηκα τὴν ἐρωτηματικὴν ἄρνησιν. —— οὐκ ἐφοδεύετε κ. τ. λ.] οὐ πραγματεύεσθε λήμματα τοῦ καλουμένου ψευδομένου συλλογισμοῦ;—— ΕΔ. 18, ἂν ἀποθάνῃ κ. τ. λ.] Ἐντεῦθέν ἐστι συλλογίσασθαι, ὡς ἐσημειώσατο καὶ ὁ πρὸ ἐμοῦ, ὅτι οὐ μόνον νέοι, ἀλλὰ καὶ ἄνδρες, καὶ γεγαμηκότες, ἐφοίτων εἰς τὴν Ἐπικτήτου σχολήν. —— Τί με ταῦτα.] Οὕτως ὀρθῶς ἐξ ἀντιγράφων ὁ πρὸ ἐμοῦ, ἀντὶ τῆς κακῆς γραφῆς, Τί μετὰ ταῦτα· ἢν ἕτεροι διορθοῦντες, ἠβούλοντο γράφειν, Τί με τὰ τοιαῦτα, ὅπερ

ἄμεινον ἴσως. — ΕΔ. 19, σαυτῷ.] Ἐκ ΔΓ, ΑΤ, σαυτοῦ. — καὶ ταύτην κοινῇ] μετὰ τῶν συμπεριπατούντων σοι. — ΕΔ. 20, κολλύρια.] Ἰατρικὴ λέξις ἐνθάδε τὸ Κολλύριον, (ὃ καὶ Κολλούριον ἐλέγετο). Κυρίως γάρ, ὑποκοριστικὸν ὂν τοῦ Κολλύρα (ἄρτου περιφεροῦς οὕτω καλουμένου), ἐσήμαινε τέως τὴν μικρὰν κολλύραν, ἣν ἡ συνήθεια Κουλούραν, ὥσπερ καὶ τὸ ὑποκοριστικὸν, Κουλούριον ἔτι καὶ νῦν ὀνομάζει. Οἱ ἰατροὶ δὲ, καὶ φάρμακα τινὰ σύνθετα οὕτως ὠνόμασαν διαφόροις σχήμασι πεπλασμένα, ὁτὲ μὲν παραπλήσια τοῖς τροχίσκοις (pastilles), ὁτὲ δὲ βλανοειδῆ ἢ πεσσοειδῆ (suppositoires, pessaires), εἰς σύριγγας (fistules) καὶ ὑστερῶν πάθη χρήσιμα. Ἐχρήσαντο δὲ τῇ λέξει μάλιστα ἐπὶ τῶν ἐγχριομένων τοῖς ὀφθαλμοῖς. — μαλάγματα.] Οὕτως ἐκάλουν οἱ ἰατροὶ τὰ μαλάσσειν ἐπιτήδεια φάρμακα (médicaments émollients)· οἷον τὸ παρὰ τῷ προφήτῃ Ἡσαΐᾳ (ά, 6) « Οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, » οὔτε καταδέσμους. » Κατεχρήσαντο δὲ καὶ ταύτῃ τελευταῖον τῇ λέξει καὶ ἐπὶ τῶν ξηρῶν καταπλασμάτων ἢ ἐπιθεμάτων. — ἀλτῆρες.] Ἐξηγησάμεθα τοὺς ἀλτῆρας ἀνωτέρω (σελ. 304). — ΕΔ. 21, Πῶς ἐμὲ οὖν οὔ τι ὠφελήκασιν;] Ὁ πρὸ ἐμοῦ, « Πῶς ἐμὲ οὖν τι ὠφε- » λήσουσιν; » Καὶ τὴν μὲν ἄρνησιν αὐτὸς προσέθηκα· ἡ δὲ τοῦ ῥήματος χρονικὴ τροπὴ, ΔΓ ἐστὶ, προσγεγραμμένη ἐν τῷ ἐμῷ ΤΡ. — ΕΔ. 22, θεραπεύσατε.] Ἐκ ΔΓ, ΑΤ, θεραπεύετε.

ΚΕΦΑΛΑΙΟΝ κϛ', ΕΔΑΦΙΟΝ 8, Ὁ δ' εὐμεταπτώτως.] Ἐκ ΔΓ, ΑΤ, Ὁ δὲ μεταπτώτως. Δηλοῖ δὲ καὶ ἡ τάσις τοῦ ἐπιῤῥήματος τὸ ἡμαρτημένον τῆς γραφῆς· ὤφειλε γὰρ περισπᾶσθαι, Μεταπτωτῶς. — ΕΔ. 11, καὶ ΑΥΤΟΣ ὁ γέρων φίλει.] Διώρθωκα, παρακινέσαντος τοῦ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, ΑΥΤΟ. Καὶ σὺ ὁ γέρων φίλει τὸ κορασίδιον. — κἀκεῖνος ὁ νέος] φιλείτω. — Χαίρεις ὁρῶν κ. τ. λ.] Ἐκ τῆς Εὐριπίδου Ἀλκέστιδος (691) ὁ πρῶτος οὗτος στίχος· τὸν δ' ἑξόμενον, ὅθεν εἰσερρύη εἰς τὸ κείμενον, εἶθ' ὑπ' αὐτοῦ Ἐπικτήτου ὡς ἐπεξήγησις τοῦ προτέρου, εἶθ' ὑφ' ἑτέρου τινὸς, οὐκ εὐχερὲς ἀποφήνασθαι. — ΕΔ. 13, συμπεπωκότες.] Ἐξ ΕΔ ὁ πρὸ ἐμοῦ, ΑΤ, συμπεπτωκότες. Ἴσως ἄμεινον ἂν γράφοιτο συμπεπαιχότες, ὃ καί τις τῶν λατίνων μεταφραστῶν ἡρμήνευσε διὰ τοῦ simul luserunt. — ΕΔ. 14, Ποῦ ποτε στήσῃ κ. τ. λ.] Ἐξ Εὐριπίδου (Φοινισσ. 624). — ΕΔ. 15, προβάλλεται] ἀποστρέφεται, φυλάσσεται· « Προβάλλεσθαι, ἀντὶ τοῦ » μισεῖν καὶ ἀποτρέπεσθαι » (Bekker. *Anecd. Græc.* pag. 60).

Digitized by Google

Ἀπὸ μεταφορᾶς τῶν προβαλλομένων τι, ἀσφαλείας ἕνεκα πρὸς τὰς ἀπὸ τοῦ ἀντιπάλου πληγάς· ὅθεν καὶ « Πρόβαλος, ἀσπὶς » παρ' Ἡσυχίῳ τε καὶ Φωτίῳ· —— ΕΔ. 17, Ἀλέξανδρος... τοῦ ἐρωμένου] τοῦ Ἡφαιστίωνος ἀποθανόντος, ἐκέλευσεν Ἀλέξανδρος ἐμπρησθῆναι τοὺς ναοὺς τοῦ Ἀσκληπιοῦ, ὡς ἰσόρηκεν αὐτὸς οὗτος ὁ τὰς Ἐπικτήτου Διατριβὰς γραφῇ παραδοὺς Ἀρριανὸς (Ἀλεξ. Ἀναβασ. VII, 14). —— ΕΔ. 19, Ὅπου γὰρ ἂν ᾖ τὸ Ἐγὼ κ. τ. λ.] Ἐκ ΔΓ προσέθηκα τὸ ὑπαρκτικὸν ῥῆμα. —— ἐκεῖ εἶναι· εἰ ἐν τοῖς ἐκτὸς, ἐκεῖ.] Οὕτως ἔγραψα διὰ τὸ τοπικὸν ἐπίῤῥημα, συναινοῦντος καὶ τοῦ πρὸ ἐμοῦ (ἐν ταῖς Ἐπισημειώσεσι), ἀντὶ τῆς διττῆς ἀντωνυμίας, Ἐκεῖνο... ἐκεῖνο. —— ΕΔ. 20, οὕτω μόνος] ΔΓ (προσεγεγραμμένη ἐν τῷ ἐμῷ ΤΡ) οὕτω καὶ μόνως. —— ΕΔ. 21, ἢ μηδὲν εἶναι τὸ καλὸν, ἤ, εἰ ἄρα, τὸ ἔνδοξον.] ΗΔ ἡ προσθήκη τοῦ συναπτικοῦ, ἵν' ᾖ ὁ νοῦς ἢ μὴ ὑπάρχειν ὅλως τὸ λεγόμενον καλὸν, ἤ, εἴπερ ἄρα ὑπάρχει, ὑπάρχειν τὸ δοξαζόμενον ὑπὸ τῆς τῶν πολλῶν φήμης. Παραπλησίως ἐν τοῖς ἑξῆς (III, κϚ', 80) ἐρεῖ, « Οὐδὲν μιμοῦνται ἐκείνους, ἤ, εἰ ἄρα, » ὅτι πόρδωνες γίνονται. » —— ΕΔ. 24, μὴ αὐτόθεν ΑΠΟΦΗΝΗ] μὴ αὐτίκα καὶ ἐκ τοῦ παραχρῆμα εἴπῃς. ΗΔ, ἀντὶ τοῦ, ΑΠΟΦΑΙΝΗ. Τὸ ἐμὸν ΤΡ. φέρει προσεγεγραμμένην ΔΓ, ἀποφήνει. —— ΕΔ. 25, τὸ τοῦ φαύλου ἡγεμονικόν.] Ἐκ ΔΓ (προσεγεγραμμένης ἐν τῷ ἐμῷ ΤΡ), ΑΤ, τοῦ φαύλου ἡγεμονικόν· ἀνθ' οὗ ὁ πρὸ ἐμοῦ ἔγραψε τοῦ φαύλου τὸ ἡγεμονικὸν ἐξ ΕΔ ἴσως. —— ΕΔ. 28, καὶ τὰς ἐρημίας καταλαμβάνειν, ἢ τὰς ἀγοράς, ὡς τὰ ὄρη, κ. τ. λ.] Ἀσαφὲς τὸ λεγόμενον. Ὁ πρὸ ἐμοῦ παραφράζων ἐξηγήσατο, Καταλαμβάνειν οὐ μόνον τὰς ἐρημίας, ἀλλὰ καὶ τὰς ἀγοράς, ἔνθα δάκνετε ἀλλήλους, ὡς ἐν τοῖς ὄρεσι ποιεῖ τὰ θηρία. Ἴσως ἡμάρτηται ἡ γραφὴ, οὖσα πάλαι· « Καὶ τὰς ἀγορὰς καταλαμβάνειν, ὡς τὰς ἐρημίας ἢ τὰ ὄρη, » ὃ καὶ ἕτεροι πρὸ ἡμῶν ὑπενόησαν. Ἀγορὰς γὰρ ἐνθάδε λέγει ἐκεῖνο τῆς ἀγορᾶς τὸ μέρος, ὅπου, καὶ δικαίως κἀδίκως ἤγον ἀλλήλους οἱ συκοφάνται, οἱ καὶ διὰ τοῦτο Ἀγοραῖοι καλούμενοι ὑπὸ τοῦ Θεοφράστου (Χαρακτηρ. VI). Ἔνθεν καὶ τὸ « Ἀγοραίαν, δικαιολογίαν » τοῦ Ἡσυχίου, καὶ τὸ « Ἀγορητὴς, δημηγόρος. » Δηλώσει δ' ἐν τοῖς ἑξῆς (IV, θ', 13) καὶ Ἐπίκτητος, « Οὐκ ἀποκτεῖναί τινα δεῖ, οὐ δῆσαι, οὐχ ὑβρίσαι, οὐκ « εἰς ἀγορὰν προελθεῖν. » —— ΕΔ. 30, δόσις.] Ἰσ. γρ. διάδοσις, ὥσπερ εἶκασεν ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 34, αὐτός ΤΙΣΙΝ.] ΗΔ ἀντὶ τοῦ ΤΙΣ. Ὁ πρὸ ἐμοῦ εἴκαζεν γραπτέον εἶναι ΤΙΝΟΣ. —— ΕΔ.

Digitized by Google

36, παντὶ ἁπλῶς.] Ἴσως κατ' ἔλλειψιν τῆς προθέσεως (ἐν παντί), πλὴν εἰ μή τις τὸ παντὶ προαιροῖτο συνάπτειν τῷ Ὁμοίῳ.

ΚΕΦΑΛΑΙΟΝ κγ', ΕΔΑΦΙΟΝ 1, ἀναγνῷη καὶ ῥᾷον.] ΗΔ, ΑΤ, ἀναγνῷ ἢ καὶ ῥᾷον. —— Πᾶς ἄν τις ῥᾷον ΑΚΟΥΣΑΙ.] ΗΔ, ἀντὶ τοῦ ΑΚΟΥΣΗ. ΔΓ, ἀκούσει. —— ΕΔ. 3, καὶ ποῖος ἄγγελος.] Ἐκ ΔΓ (προσγεγραμμένης, καίπερ ἀμυδρῶς πάνυ, ἐν τῷ ἐμῷ ΤΡ.) προσέθηκα τὸν σύνδεσμον. —— ΕΔ. 4, Εἰκῆ δὲ καί.] Διαγράφει τὸν δεύτερον σύνδεσμον τὸ ἐμὸν ΤΡ. —— ἔντονον.] ΔΓ (κακὴ, προσγεγραμμένη ἐν τῷ ἐμῷ ΤΡ.) ἔντεκνον. Μῶν ἦν, ἔντεχνον; —— ΕΔ. 6, δοκιμάσον.] Τυπογραφικὸν ἁμάρτημα τὸ δοκιμάζον, ἐν τῇ πρὸ ἐμοῦ ἐκδόσει. —— ΕΔ. 8, ἀποκρίνεται.] Ἴσ. γρ. ἀποκρινεῖται. —— ΕΔ. 10, πευθῆνες] πολυπράγμονες, φιλοῦντες πάντας περὶ πάντων ἐρωτᾶν, καὶ τὰ μηδὲν αὐτοῖς προσήκοντα ἐξετάζειν· καὶ μηδὲ μέχρι τούτου ἐφιστάμενοι, ἀλλὰ καὶ παρακούειν αἰσχρῶς τῶν ἄλλων τὰ ἀπόῤῥητα τολμῶντες. « Πευθῆνες, ἐπήκοοι, φησὶ » Φώτιος. —— ΕΔ. 11, καὶ τὰς ἄλλας.] Ἐκ ΔΓ, ΑΤ (διπλῷ συνδέσμῳ), καὶ τάς τ' ἄλλας. —— καὶ αὐτὴ μέλλει κ. τ. λ.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν εἰς χώραν ἧς ὁ πρὸ ἐμοῦ ἐκ ΔΓ προείλετο (δίχα συνδέσμου) αὐτὴ μέλλει, καίπερ οὐδὲν μᾶλλον ἐκείνης ὀρθὴν οἰόμενος εἶναι. Γραπτέον οἶμαι· Μὴ αὐτὴ μέλλει, ἢ μᾶλλον, Μὴ αὖτη μέλλει κ. τ. λ. —— ΕΔ. 14, Ἡ δὲ φραστικὴ...εἴ τις ἄρα ἰδία δύναμις.] Φραστικὴ δύναμις ἐστὶν ἡ Γαλλιστὶ λεγομένη, le talent de la parole. Ἐκφαυλίζει δ' αὐτὴν Ἐπίκτητος, διὰ τοῦ εἴ τις ἄρα (si toutefois), τὴν τῶν σοφιστῶν αἰνιττόμενος ἐν τῷ λέγειν εὐχέρειαν, ἥπερ ἦν ἀληθὴς λογοδιάῤῥοια. —— Οἱ κομμωταί.] Τοῦτ' ἂν εἰκότως ὀνομάζοιντο οἱ παρὰ τοῖς νεωτέροις perruquiers καλούμενοι. —— ΕΔ. 16, καὶ δύναται.] Ἄμεινον ἂν ἐλέγετο, Μὴ δύναται· καὶ ἴσως οὕτως ἐγέγραπτο πάλαι. —— ΕΔ. 17, κατὰ κρημνοῦ.] ΔΓ, καὶ κατὰ κρημνοῦ. —— ΕΔ. 21, τὸ περὶ Τέλους], οὕτως ἐπιγραφόμενον σύγγραμμά τι τῶν Ἐπικούρου. —— Τὰ φυσικά.] ΗΔ (κρινάντων τοῦτο καὶ τῶν πρὸ ἐμοῦ) ΑΤ, τὰς φυσικάς. —— Τὸ περὶ Κανόνος.] Τρίτον Ἐπικούρου σύγγραμμα τοῦτο, Κανών, ἐπιγραφόμενον. —— Τὴν ΤΕΛΕΥΤΑΙΑΝ κ. τ. λ.] Ἐκ τῆς πρὸς Ἡδομενέα ἐπιστολῆς Ἐπικούρου (Διογ. Λαερτ. X, 22), ἧς ἡ ἀρχή· « Τὴν μακαρίαν ἄγοντες καὶ ἅμα ΤΕΛΕΥΤΩΝΤΕΣ » ἡμέραν τοῦ βίου κ. τ. λ. » Ἔνθα σημειοῦ καὶ τὴν διαφορὰν τῆς γραφῆς τοῦ Τελευτῶντες πρὸς τὸ Τελευταίαν· ὅπερ μνημο-

Digitized by Google

νικὸν ἁμάρτημά τις ἂν ἔφησεν Ἐπικτήτου, εἰ μὴ καὶ Κικέρων καὶ Σενέκας, μεταφράζοντες τὰ ἐκ τῆς Ἐπικούρου ἐπιστολῆς, δῆλοι ἦσαν ἀμφότεροι, Τελευταίαν, ἀνεγνωκότες. Ὁ μὲν γὰρ (Cicer. *De fin. bon. et malor.* II, 30) ἡρμήνευσε Cum ageremus vitæ beatum et eundem *supremum* diem· ὁ δὲ (Senec. *Epistol.* 92) Beatissimum hunc et *ultimum* diem ago. Ἴσως οὖν ἐκ τούτων διορθωτέος ἐστὶν ὁ Λαέρτιος, ὡς ᾤετο ὁ πρὸ ἐμοῦ. —— Ἐᾶ. 23 μηδεμίαν εἶναι χρείαν ἢ προαγωγὴν κ. τ. λ.] Διὰ τὸ ἀδιάφορον πρὸς εὐδαιμονίαν εἶναι τὴν φραστικὴν δύναμιν, οὐ διὰ τοῦτο, φησὶν, ἀποβάλλω αὐτὴν, καὶ ἐν τοῖς ἀποπροηγμένοις τίθημι· ἔστι μὲν οὖν τῶν προηγμένων, τουτέστι τῶν αἱρετῶν (τοῦτο γὰρ βούλεται τὸ προαγωγὴν αὐτῆς εἶναι, κατὰ τὴν τῶν Στωϊκῶν λέξιν), ἀλλ' ἐφ' ὅσον ἐχὶν ἀξία. Παρατεθείσθω καὶ αὐτὸ τὸ δόγμα, ἵνα καταδηλότερον γένηται τὸ λεγόμενον· « Τῶν ἀδιαφόρων τὰ μὲν λέγουσι προηγμένα, τὰ δὲ ἀποπροηγμένα. » Προηγμένα μέν, τὰ ἔχοντα ἀξίαν, ἀποπροηγμένα δὲ, τὰ ἀναξίαν » ἔχοντα. Ἀξίαν δὲ, τὴν μέν τινα λέγουσι σύμβλησιν πρὸς τὸν ὁμο- » λογούμενον βίον, ἤ τις ἐστὶ περὶ πᾶν ἀγαθόν· τὴν δὲ εἶναι μέσην » τινὰ δύναμιν ἢ χρείαν συμβαλλομένην πρὸς τὸν κατὰ φύσιν βίον, » ὅμοιον εἰπεῖν, ἥντινα προσφέρεται πρὸς τὸν κατὰ φύσιν βίον..... » Προηγμένα μὲν οὖν εἶναι ἃ καὶ ἀξίαν ἔχει· οἷον ἐπὶ μὲν τῶν » ψυχικῶν, εὐφυΐαν, τέχνην, προκοπὴν καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν » σωματικῶν, ζωὴν, ὑγίειαν, ῥώμην, εὐεξίαν κ. τ. λ. (Διογ. Λαερτ. VII, 105-106). —— Ἐᾶ. 27, γένηται.] Ἄμεινον ἂν ἦν κατ' ἐνεστῶτα, Γίνηται. —— Ἐᾶ. 28, τὸ κἀκείνῃ χρώμενον.] Ἡ χρωμένη τῇ φραστικῇ δυνάμει, ἡ προαίρεσίς ἐχιν· ἥπερ, ἂν μὲν ᾖ Δημοσθένους, ἢ ἄλλου του παραπλησίου προαίρεσις, ἐπ' ἀγαθῷ τῆς πατρίδος χρήσεται τῇ δυνάμει τοῦ λόγου· ἂν δὲ Δημάδου καὶ τῶν ὁμοίων αὐτῷ, ἐπ' ὀλέθρῳ τῆς πατρίδος. —— Ἐᾶ. 30, Τὸ δ' αἱρεῖν] ἀναιρεῖν. —— Ἐᾶ. 31, εἴπερ ἘΣΤΊ ΤΙΣ δύναμις κατὰ τὸν τόπον.] Ἐκ ΔΓ (ἐπιγεγραμμένης ἐν τῷ ἐμῷ ΤΡ), ἀντὶ τοῦ, ΤΙΣ ἘΣΤΙ. Εἰ ἐστί τις δύναμις κατὰ τὸ λέγειν καὶ ἐκφράζειν τὰς ἡμετέρας ἐννοίας. —— Ἐᾶ. 34, περὶ τοῦτο.] ΗΔ (συνεγνωκότων τοῦτο καὶ ἑτέρων) ΑΤ, περὶ τούτου. —— Ἐᾶ. 35, ὅτι ἐκεῖνο.....αἱρούμενον] ὅτι τὸ κράτιστον, ὅπερ ἐχὶ τὸ Ἡγεμονικὸν, οὐκ οἰκείως ἔξει τῇ ἑαυτοῦ φύσει, ἂν μὴ καλῶς λογίζηται καὶ κρίνῃ τὰ πάρεργα ταῦτα, ὥστε προαιρεῖσθαι ἕτερα ἑτέρων, κατὰ τὴν ἑκάστου ἀξίαν. Οἷον, πολλοῦ ἄξιον ἐπαίνου ἡ φραστικὴ δύναμις· ἔστι γε μὴν

Digitized by Google

πάρεργον παραβαλλομένη πρὸς τὸ μακρῷ κρεῖττον, τὴν τοῦ Ἡγεμονικοῦ τελείωσιν. —— ΕΔ. 40, ποικιλίας καὶ δριμύτητος.] Ποικιλίας, ἀποφεύγοντα τὸ μονότροπον καὶ διὰ τοῦτο προσκορὲς τοῦ λόγου· δριμύτης δ' ἐστιν, ὅπερ οἱ Γάλλοι, le piquant φιλοῦσι λέγειν· Ἀπὸ μεταφορᾶς τῶν χυμῶν, ὧν οἱ δριμεῖς κεντῶσι τὴν γεῦσιν· οὕτω καὶ ἡ δριμεῖα φράσις διεγείρει τὸν ἀκροατὴν, καὶ προσεκτικώτερον ἀπεργάζεται. Τὰς δ' ἐχομένας δύο λέξεις (τῶν Θεωρημάτων) εἰκότως, ἀντιγραφέων ἀβλεψίᾳ, πλεονάσαι ἔκριναν οἱ πρὸ ἐμοῦ. —— ΕΔ. 42, Ἄγου.] Ἀποκατέστησα τὴν γραφὴν, ὥσπερ ἐποίησα καὶ ἐν τῷ Ἐγχειριδίῳ (LIII, σελ. 142), ἀφ' ἧς ὁ πρὸ ἐμοῦ ἀντιγράφοις πειθόμενος, ἔγραψε περισπωμένως, Ἄγοῦ, ὡς ἀόριστον δεύτερον δηλονότι· ἀλλὰ, μὴ ποτε ὤφειλεν εἶναι, Ἀγαγοῦ, εἰ ὄντως ἦν ἀόριστος δεύτερος, καθάπερ καὶ ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν ἡ χρῆσις ἐφύλαξε τὸν ἀττικὸν ἀναδιπλασιασμόν· Ἠγαγόμην γὰρ καὶ Ἀγαγοίμην, καὶ Ἀγάγωμαι, καὶ Ἀγαγέσθαι. —— ΕΔ. 46, τὸ περὶ ταῦτα ΚΑΤΑΛΗΚΤΙΚΩΣ ἔχειν.] Ἀνεκάλεσα τὴν ἀρχαίαν γραφὴν, ἀντὶ τοῦ ΑΚΑΤΑΛΗΚΤΙΚΩΣ, ὅπερ οἱ μὲν εἰς τὸ Ἀκαταλήκτως τρέπειν παρήνουν, οἱ δὲ εἰς τὸ Ἀκαταπλήκτως. « Τὸ περὶ ταῦτα καταληκτικῶς ἔχειν » οὐδὲν ἄλλο σημαίνει, ἢ τὸ περὶ ταῦτα καταλήγειν καὶ ἵστασθαι· καθάπερ ἐμφαίνει καὶ τὸ παράδειγμα τοῦ πανδοκείου. Ὥσπερ γάρ, εἴ τις ἐν τῇ εἰς τὴν πατρίδα πορείᾳ, ἐντυχὼν καθ' ὁδὸν πανδοκείῳ κομψῷ, οὐ διὰ τοῦτο καταμεῖναι τοῦ λοιποῦ ἐν αὐτῷ ὀφείλει, καὶ καταλῆξαι τῆς οἴκαδε ἀνακομιδῆς· ὡσαύτως καὶ ἐν τῇ τοῦ βίου πορείᾳ, τὸν ἐλευθερίως τεθραμμένον χρὴ μὲν καὶ περὶ τὴν τοῦ λέγειν δύναμιν καὶ τὴν ἄλλην ἐγκύκλιον παιδείαν διατρίβειν, μὴ μέντοι καταλήγειν ἐν αὐτῇ, ἀλλ' ἐν παρόδῳ καταλύσαντα, ὥσπερ ἐν πανδοκείῳ, σπεύδειν ἐπὶ τὴν ὄντως παιδείαν, καὶ τῶν ἐπιστημῶν ἐπιστήμην, ἥτις ἐστὶν ἡ τοῦ Ἡγεμονικοῦ τελείωσις. Ὅτι δὲ οὗτός ἐστιν ὁ νοῦς τοῦ προκειμένου χωρίου, καὶ οὐχ ἕτερος, ἔστι καὶ ἐκ παραλλήλου ἑτέρου χωρίου (IV, δ', 14) πιστώσασθαι τοῦ ἑξῆς· « Ἀλλ' αὐτοῦ ΚΑΤΑΛΗΓΟΜΕΝ, μαθεῖν τί » λέγεται, καὶ ἄλλῳ δύνασθαι ἐξηγήσασθαι, τὸν συλλογισμὸν ἀναλῦσαι » καὶ τὸν ὑποθετικὸν ἐφοδεῦσαι κ. τ. λ. » Τὸ δὲ παράδειγμα τοῦ πανδοκείου καὶ ἑτέραν τινὰ γραφὴν, ΚΑΤΑΛΥΤΙΚΩΣ, ὑπονοεῖν παρέχει· Καταλύειν γὰρ ἐν πανδοχείῳ ἢ εἰς πανδοχεῖον, καὶ Κατάλυσιν ποιεῖσθαι, τῶν εἰθισμένων εἰσὶ φράσεων. Ἀλλ' αἱροῦμαι μᾶλλον τὸ Καταληκτικῶς.

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ κδ', ΕΔΑΦΙΟΝ 2, οὕτω δή.] ΗΔ (εἰκάσαντος ταύτην καὶ τοῦ πρὸ ἐμοῦ) ΔΤ, οὕτω δέ. —— ΕΔ. 4, Ὡμολόγει.] Ἐν τῷ ἐμῷ ΤΡ προσγέγραπται σύνδεσμος, Ὡμολόγει, ὅτι, ὅσπερ καὶ ἔξωθεν ὑπακούεσθαι ἔχει. —— ΕΔ. 9, τὸ μὲν τελείως καὶ ὠφελίμως] λέγειν καὶ ἀκούειν. —— ΕΔ. 10, πᾶς ἄν τις ὁμολογήσαι μοι δοκεῖ.] Ἐκ ΔΓ, ΑΤ. . . . ὁμολογῆσαί μοι δοκεῖ. —— ΕΔ. 11, ἆρά γε ἵππου,] ἆρά γε περὶ τῶν ἵππῳ προσηκόντων ἀγαθῶν καὶ κακῶν; —— ΕΔ. 12, κατὰ ποσὸν] κατὰ μικρόν. —— ΕΔ. 14, ἀνομολογούμενον.] Τῶν πρὸ ἐμοῦ οἱ μὲν ὡς συνώνυμον τοῦ ἀσύμφωνον ἐξηγήσαντο τὸ Ἀνομολογούμενον (non conveniens), οἱ δὲ, τοὐναντίον, ὡς συνώνυμον τοῦ σύμφωνον (consentaneum). Ἔπιθι τὰ ἀλλαχοῦ (εἰς τὸν Πλάτ. Γοργ. σελ. 335) σημειωθέντα περὶ τῆς λέξεως. —— ΕΔ. 18, τὰ πιθανὰ] τὰ χαρίεντα, τὰ ἐράσμια (aimables)· κατὰ τὸ παρὰ Ξενοφῶντι (Ἀπομν. Γ, Χ, § 3) Πιθανώτατον ἦθος· —— δριμέα] ὀξέα. —— Συνέρπειν.] ΔΓ, συνερπίζειν. —— Ὄνῳ.] Ἴσ. γρ. ὀναρίῳ. Ἔστι δ' οὖν, ὄνου πώλῳ. —— ΕΔ. 20, ἐξ οὗ] χρόνου. —— ΕΔ. 23, Ὦ λαοί.] Ἐκ τῆς Ἰλιάδος (β' 25). —— Χείρων γίνῃ κομψοῦ ἀρχιερέως, ὃς τοὺς καλοὺς μονομάχους κ. τ. λ.] Χείρων γίνῃ τοῦ ἱερέως Χρύσου (Ἰλιάδ. α', 11), ὃς καίπερ ὢν βάρβαρος πρὸς σέ τε καὶ τὸν Ἀχιλλέα, τοὺς καλοὺς μονομάχους, οὕτω προσηνέχθη ὡς ἐχρῆν Ἕλληνας. Οὕτως ἐξηγήσατο Οὐόλφιος τὸ προκείμενον χωρίον, περὶ οὗ ἐπέχω. Ὁ πρὸ ἐμοῦ, ἀπογραψάμενος τὴν ἐξήγησιν, οὐδὲν πλέον λέγει, ἐπέχων, εἶμαι, κἀκεῖνος. Ἴσως αἰνίττεται τὸ παλαιὸν ἔθος Ῥωμαίων Ἐπίκτητος, καθ' ὃ οἱ εἰς τὰς ἀρχὰς ψηφιζόμενοι, μονομάχων ἀγῶνα παρεῖχον χαριζόμενοι τῷ δήμῳ. Τούτους δ' ἔδει, ἢ ἐκ τῶν οἰκείων δούλων παρέχεσθαι, ἢ παρ' ἄλλων μισθοῦσθαι, καὶ πολλαῖς ἡμέραις πρότερον γυμνάζειν. Τοιγαροῦν εἰκὸς καὶ τὸν ἀρχιερωσύνην λαχόντα, οἷαν ἐλάγχανον πολλοὶ τῶν ἐν τέλει (Πλουτάρχ. Καίσ. § 5-7), οὐ μόνον παρέχειν, ἀλλὰ καὶ περιεργότερον αὐτῶν ἐπιμελεῖσθαι. —— Οἷα ποιεῖ ἄγνοια.] Ἐν τῷ ἐμῷ ΤΡ προστέθειται κακῶς γεγραμμένον (ἢ) τὸ ἄρθρον, Οἷα ποιεῖ ἡ ἄγνοια. —— ΕΔ. 25, ἐκ θεᾶς μητρὸς;] ὡς ὁ Ἀχιλλεὺς τῆς Θέτιδος (Ἰλιάδ. ί, 410) —— πατρὸς ἐκγόνου Διός;] Ἦν γὰρ ὁ Ἀχιλλέως πατὴρ, Πηλεὺς, Αἰακοῦ, Αἰακὸς δὲ Διός. —— Τί. . . . ὠφελεῖ ταῦτα;] ἡ πατρόθεν καὶ μητρόθεν εὐγένεια. —— κλαίῃ διὰ τὸ κορασίδιον] διὰ τὴν Βρισηΐδα, ὥς φησιν Ὅμηρος (Ἰλιάδ. α', 349). —— ΕΔ. 26, ἀστόμους πεποίηκε.] Ἴδε τὸν Ποιητὴν (Ἰλιάδ. ι' 307-430, καὶ 606-619).

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ κε', ΕΔΑΦΙΟΝ 1, τὰ λογικὰ] ἡ Λογικὴ καλουμένη ἐπιστήμη.

ΚΕΦΑΛΑΙΟΝ κη', ΕΔΑΦΙΟΝ 3, διαβέβληται πρὸς μάχην] ἀποστρέφεται, μισεῖ τὴν μάχην. Ἄλλως ἢ ὡς ἐν ταῖς εἰς τὸ Ἐγχειρίδιον (XXXIII, § 13, σελ. 136) σημειώσεσι. —— φυγεῖν.] Ἐκ ΔΓ (προσγεγραμμένης ἐν τῷ ἐμῷ ΤΡ. ἀντιτύπῳ), ΑΤ, φεύγειν. —— Μὴ φαντάζηται] ΔΓ (ἐκ τοῦ ἐμοῦ ἀντιτύπου ΤΡ.), ΑΤ, οὐ φαντάζηται. —— ΕΔ. 4, ἐν λόγῳ.] ΔΓ (ἐκ τοῦ αὐτοῦ ΤΡ.), ἐν λόγοις. —— ΕΔ. 6, Διὰ τοῦτο καὶ Σωκράτης.] Ἔπιθι τὰ ἐν τοῖς πρόσθεν (II, ιϐ', 5). —— ΕΔ. 7, ὑπὸ τίνος λογικὴ ψυχὴ κινεῖται ζυγῷ, ΕΠΙ ΤΙΝΑ ῥέψει.] ΗΔ, ἀντὶ τοῦ ΕΠΕΙΤΑ. Ἡμαρτημένον εἰκότως ἔδοξε τοῖς πρὸ ἐμοῦ τὸ χωρίον· καὶ οἱ μέν, « Κινεῖται ὥσπερ ἐπὶ ζυγῷ » οἱ δὲ « Κινεῖται ὁμοίως ζυγῷ » ὑπενόησαν γραπτέον εἶναι, οὐδένα λόγον οὐδέτεροι ποιησάμενοι τοῦ ἐνθάδε ἀνοικείου ἐπιῤῥήματος (ἔπειτα). Ὁ νοῦς· Ὑπὸ τίνος λόγου ἡ λογικὴ ψυχὴ οἱονεὶ διὰ ζυγοῦ κινεῖται, καὶ κινουμένη ἐπὶ τί ῥέψει. Ἴσως δὲ καὶ οὕτως ἔγραψεν ὁ Ἀῤῥιανὸς τοὺς Ἐπικτήτου λόγους, « Ὑπὸ » τίνος λογικὴ ψυχὴ κινεῖται ζυγοῦ, καὶ ἐπί τινα ῥέπει. » —— Αὐτὸς σαυτῷ μᾶλλον ἐγκάλει.] Παρατίθει τούτοις τὰ τοῦ Στωϊκοῦ βασιλέως (Μαρκ. Ἀντων. Ε', κη', Ι', δ'.)

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ά, ΕΔΑΦΙΟΝ 1, ἠσκημένου.] ΔΓ ἡρμοσμένου· ἡ προσγέγραπται καὶ ἐν τῷ ἐμῷ ἀντιτύπῳ ΤΡ. —— καὶ ἵπποι.] Μετὰ τὰς λέξεις ταύτας εἰκὸς ἐξερρύηκέναι τοῦ χωρίου ἑτέρας τρεῖς ταύτας, Ἄλλοι δ' αἰσχροὶ, ὥσπερ εἴκασεν ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 5, δρομέα δὲ καὶ γελοιότατον.] Ὁ μὲν γὰρ παγκρατιαστὴς, τουτέστιν ὁ πάλῃ καὶ πυγμῇ ἀγωνιζόμενος, εὐσαρκεῖν ὤφειλε, καὶ ἐπὶ τούτῳ ἐτρέφετο κατακόρως· ὅπερ ἐπὶ δρομέως γελοῖον ἂν ἦν. —— ΕΔ. 6, ἢ ὅπερ τῷ γένει κ. τ. λ.] ἢ ὃ καὶ τὸν κύνα καὶ τὸν ἵππον, κατὰ τὸ ἑκάστου γένος, ποιεῖ καλόν. —— ΕΔ. 9, εἴσῃ.] ΔΓ, Ἴσθι. —— ΕΔ. 10, οὐδ' εἰσελεύσῃ.] Ἴσ. γρ. οὐκέτ' εἰσελεύσῃ, ὡς ὑπενόει ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 11, Πῶς δὲ καὶ οὐκ ὠμόν ἐςι κ. τ. λ.] Ἐξ ἑτέρων εἰκασίας προσέθηκα τὴν ἄρνησιν. —— Ἐγκαλέσεις.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ἀντὶ τοῦ ἐγκαλέσῃς. —— ΕΔ. 12, πρὸς αὐτόν.] ΔΓ, εἰς αὐτόν. —— ΕΔ. 14, Πολέμωνα] τὸν Ξενοκράτους μαθητὴν, οὗ καὶ πάλιν ἐν

Digitized by Google

τοῖς ἑξῆς (IV, ιά, 30) μνημονεύσει. Οὗτος γὰρ ἐπὶ τοσοῦτον ἀκολασίας ἦλασεν, ὥςε, « Συνθέμενός ποτε τοῖς νέοις, καὶ ἐςεφανω-» μένος, μεθύων, εἰς τὴν Ξενοκράτους ΗΞΕ σχολήν. Ὁ δέ, οὐδὲν » διατραπείς, ΗΡΕ τὸν λόγον ὁμοίως· ἦν δὲ περὶ σωφροσύνης. Ἀκοῦον » δὲ τὸ μειράκιον, κατ' ὀλίγον ἐθηράθη, καὶ οὕτως ἐγένετο φιλόπονος, » ὡς ὑπερβάλλεσθαι (γρ. ὑπερβαλέσθαι) τοὺς ἄλλους, καὶ αὐτὸν » διαθέξασθαι τὴν σχολήν. » Καὶ ταῦτα μὲν Διογένης ὁ Λαέρτιος (IV, 16) λέγει περὶ τοῦ Πολέμωνος, ἐν οἷς γραπτέον, οἶμαι ΗΞΕ (παρὰ τὸ Αἶσσω), καὶ ΣΥΝΕΪΡΕ. Ἐθαυμάσθη δὲ ἡ παράδοξος αὕτη τροπὴ τοῦ ἤθους πρὸς τοῖς ἄλλοις καὶ ὑπὸ τῶν Πατέρων τῆς Ἐκκλησίας. Καὶ ὁ μὲν Αὐγουστῖνος οὐχ ἅπαξ ἐμνημόνευσε τοῦ Πολέμωνος (Ἴδε τὰς εἰς τὸν Διογ. Λαερτ. σημ. τοῦ Μεναγ. σελ. 172)· Γρηγόριος δὲ ὁ θεολόγος, θαυμάζων Πολέμωνα, θαυμαστόν τι ἔοικε παθεῖν αὐτὸς, ἐπιλελησμένος τοῦ Ξενοκράτους ὀνόματος. Λέγει γὰρ οὕτως·

Οὐδ' ὁ Πολέμων ἔμοι γε σιγηθήσεται·
Καὶ γὰρ τὸ θαῦμα τῶν ἄγαν λαλουμένων.
Ην μὲν τὸ πρόσθεν οὗτος οὐκ ἐν σώφροσι,
Καὶ σφόδρα γ' αἰσχρὸς ἡδονῶν ὑπηρέτης.
Ἐπεὶ δ' ἔρωτι τοῦ καλοῦ κατεσχέθη,
Σύμβουλον εὑρὼν, οὐκ ἔχω δ' εἰπεῖν τίνα,
Εἴτ' οὖν σοφόν τιν' εἴθ' ἑαυτὸν, ἀθρόως
Τοσοῦτον ὤφθη τῶν παθῶν ἀνώτερος κ. τ. λ.

——ψιλούμενον] τὰς τρίχας.——ΕΔ. 18, προγέγραπται.] Προγεγραμμένον ἔχει πρὸ τοῦ ἰδίου ναοῦ.—— ΕΔ. 19, ΜΗΚΕΤΙ ἐξέλιπεν.] Ἴσως καταχρηστικῶς, ἀντὶ τοῦ, Οὐκέτι ἐξέλιπεν. Ὑπονοῶ μέντοι γεγράφθαι πάλαι ἐρωτηματικῶς, ΜΗ ΤΙ ἐξέλιπεν; —— ΕΔ. 21, Οἷον καὶ λέγεις;] Ὁ Σωκράτης ὑποτίθεται ταῦτα λέγων.—— ΕΔ. 22, Σὺ οὖν τις εἶ,] ὦ Σώκρατες;—— ΕΔ. 24, ἐγὼ τοιοῦτος;] ἐγὼ ὁ Ἐπίκτητος;—— Σὺ γὰρ τοιοῦτος;] ὁ ἀκροώμενος ἐμοῦ τοῦ Ἐπικτήτου, ——Ὄφελεν.] Ἐπιρρηματικῶς ἀντὶ τοῦ Εἴθε, πλὴν εἰ μή τις προαιροῖτο γράφειν (ὡς φησιν ὁ πρὸ ἐμοῦ) Ὄφελες.—— Ἐπεί πως.] ΔΓ, ἐπείπερ.—— ΕΔ. 25, Τῇ φύσει ὁμολογουμένως.] ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου. Καὶ κατὰ μὲν Διογένην τὸν Λαέρτιον (VII, 87), « Πρῶτος » ὁ Ζήνων ἐν τῷ Περὶ ἀνθρώπου φύσεως, τέλος εἶπε τὸ ὁμολογου-

» μένως τῇ φύσει ζῆν, ὅπερ ἐςὶ κατ' ἀρετὴν ζῆν· ἄγει γὰρ » πρὸς ταύτην ἡμᾶς ἡ φύσις. » Ὁ δὲ Στοβαῖος (Ἐκλογ. σελ. 134 Heeren) Κλεάνθει προσνέμει τοῦ ὁρισμοῦ τὴν ἀπάρτισιν· « Τὸ δὲ » τέλος ὁ μὲν Ζήνων οὕτως ἀπέδωκε, Τὸ ὁμολογουμένως ζῆν· » τοῦτο δ' ἐςὶ, Καθ' ἕνα λόγον καὶ σύμφωνον ζῆν, ὡς τῶν μαχομένων » ζώων κακοδαιμονούντων.... Κλεάνθης γὰρ πρῶτος, διαδεξάμενος » αὐτοῦ τὴν αἵρεσιν, προσέθηκε Τῇ φύσει, καὶ οὕτως ἀπέδωκε· » Τέλος ἐςὶ τὸ ὁμολογουμένως τῇ φύσει ζῆν κ. τ. λ. » —— ΕΔ. 28, τοῦτο....τὸ μὴ ἔχειν.] Ὥσπερ ἐςὶν ἐπὶ γυναικὸς τερατῶδες τὸ τρίχας ἔχειν ἐπὶ τοῦ γενείου, οὕτως ἀπ' ἐναντίας τέρας ἂν εἴη ἐπ' ἀνδρὸς τὸ μὴ ἔχειν. —— ΕΔ. 29, τὴν προγραφὴν] τὴν τοῖς Γάλλοις écriteau καλουμένην, ἣν προγράφειν εἰώθασι πρὸ τοῦ οἰκήματος ἢ τῆς σκηνῆς, ἔνθα συναθροίζουσι τὰ τερατώδη, οἱ μισθοῦ δεικνύντες τοῖς βουλομένοις —— ΕΔ. 30, τί ἔχεις ἐγκαλέσαι σου τῇ φύσει κ. τ. λ.] Ὁ καὶ Διογένης (παρ' Ἀθην. σελ 565) εἶρηκε πρὸς τὸν ἐξυρημένον τὸ γένειον· « Μή τι ἔχεις ἐγκαλεῖν τῇ φύσει, » ὅτι ἄνδρα σε ἐποίησε, καὶ οὐ γυναῖκα; » —— ΕΔ. 31, τὸ αἴτιον τῶν τριχῶν] τὰ γεννητικὰ μόρια. —— ΕΔ. 32, ἐγένου.] Ἰσ. γρ. ἐγίνου. —— ΕΔ. 34, πολίτην Κορινθίων.] Εἰκὸς (φησὶν ὁ πρὸ ἐμοῦ) Κορίνθιον γεγονέναι τὸν νέον, πρὸς ὃν Ἐπίκτητος ποιεῖται τοὺς λόγους. —— ΕΔ. 38, Ἐπεὶ πρό οἱ κ. τ. λ.] Ἐκ τοῦ Ποιητοῦ (Ὀδυσσ. α', 37) —— ΕΔ. 40, καλήν [ποτε], τότ' ἔσῃ καλός.] ΗΔ, (εἰκάσαντος τοῦτο καὶ τοῦ πρὸ ἐμοῦ) ΑΤ, καλὴν, τότ' ἔσῃ καλός. ΔΓ. καλήν ποτ' ἔσῃ καλός. Ἑτέρα ΔΓ (προσγεγραμμένη κἀν τῷ ἐμῷ ΤΡ) καλὴν τότ' ἔσῃ καλός. —— ΕΔ. 41, πάντα θέλειν ἀκοῦσαι, ἢ τοῦτο.] Ἡ σύνταξις κατὰ τὸ (Ἰλιάδ. α', 117),

Βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι.

ΚΕΦΑΛΑΙΟΝ ϛ', Περὶ ΤΙΝΑ ἀσκεῖσθαι δεῖ τὸν ΠΡΟΚΟΨΟΝΤΑ κ. τ. λ.] ΗΔ, ἀντὶ τοῦ, ΤΟΥ ΤΙΝΑ, καὶ ΠΡΟΚΟΨΑΝΤΑ. Καὶ ὅτι μὲν κατὰ μέλλοντα χρὴ γράφειν χρόνον τὴν μετοχὴν, δηλοῖ μὲν καὶ ἓν τῶν ἀντιγράφων, δηλοῖ δὲ καὶ ἡ τοῦ κεφαλαίου ἀρχὴ, « τὸν ἐσόμενον καλὸν » καὶ ἀγαθόν. » Ὁ δὲ διέγραψα ἄρθρον, καλῶς ἂν εἶχεν, εἰ ἐγράφετο (καὶ ἴσως οὕτως ἐγέγραπτο πάλαι) « Περὶ τοῦ περὶ τίνα ἀσκεῖσθαι δεῖ » τὸν προκόψοντα, » ἢ « Περὶ τοῦ τίνα ἀσκεῖν δεῖ τὸν προκόψοντα. » —— ΕΔΑΦΙΟΝ 1, Τρεῖς εἰσι τόποι] ἐν τῇ Ἠθικῇ φιλοσοφίᾳ δηλονότι, ὁπόσους ὡρίθμησεν ἀλλαχοῦ (Ἐγχειριδ. LII) ἐν τῇ Λογικῇ. —— ΕΔ.

Digitized by Google

3, δι' ΟΝ οὐδ' ἀκοῦσαι κ. τ. λ.] ΗΔ, ἀντὶ τοῦ Ὧν· ἀναφέρεται γὰρ πρὸς τὸν περὶ τὰ πάθη τόπον, ὥσπερ ἂν εἰ καὶ ἔλεγε, δι' ἃ πάθη οὐδὲ ἀκοῦσαι νουθετικῶν λόγων δυνάμεθα.——ΕΔ. 4, Οὐ... ἀπαθῆ ὡς ἀνδριάντα, ἀλλὰ τὰς σχέσεις τηροῦντα κ. τ. λ.] Παράθες τούτοις καὶ ἑτέρου Στωϊκοῦ (Μάρκ. Ἀντων. Α'. 9') τὸ « Ἅμα μὲν ἀπαθέστατον εἶναι, ἅμα » δὲ φιλοστοργότατον, » ἵν' ἔχῃς εἰδέναι, ὅτι ὀνόματι μόνον διενήνοχεν ἡ τῶν Στωϊκῶν Ἀπάθεια τῆς παρ' ἄλλοις Μετριοπαθείας. —— ΕΔ. 6, περὶ τὸν τρίτον] τουτέστι περὶ μόνον ἐκεῖνο τοῦ τρίτου τὸ μέρος, τὸ περὶ τῶν συλλογισμῶν, ἢ μᾶλλον παραλογισμῶν καὶ σοφισμάτων, οἷς ἔχαιρον οἱ τοὔνομα μόνον φιλόσοφοι. Καὶ οὗτος μὲν ἔοικεν εἶναι τῶν λεγομένων ὁ νοῦς. Ἐνδέχεται μέντοι, καὶ συγκεχύσθαι τὸν ἐνθάδε τρίτον τόπον, τῷ τρίτῳ τῆς Λογικῆς (Ἐγχειριδ. LII), ἢ ἐξερρυηκότος τινὸς τοῦ χωρίου, ἢ ἄλλως μεταποιησάντων τὴν γραφὴν τῶν ἀντιγραφέων. —— Μεταπίπτοντας ΕΡΩΤΑΣΘΑΙ, περαίνοντας, ὑποθετικοὺς, Ψευδομένους.] ΗΔ, ἀντὶ τοῦ γραφομένου καὶ στιζομένου, « μεταπίπτοντας, ΗΡΩΤΗΣΘΑΙ [ΔΓ, ἠρωτᾶσθαι], περαίνοντας κ. τ. » λ. » Τὸ δὲ Ἐρωτᾶσθαι, μέσον ἐστὶ ῥῆμα, ἐπὶ τοῦ ἐρωτᾶν ἀλλήλους. —— ΕΔ. 8, τὰς ἄλλας] ὕλας. —— ΕΔ. 10, ὅτι, λόγου ΓΕΝΟΜΕΝΟΥ, τίς ἄριστός ἐστι τῶν φιλοσόφων κ. τ. λ.] ΗΔ, ἀντὶ τοῦ, ΓΙΝΟΜΕΝΟΥ. Παραπλήσιον ᾧ φησι Θεόφραστος (Χαρακτηρ. κεφ. 6') « Καὶ ἐμπεσόντος λόγου, τίς εἴη βέλτιστος κ. τ. λ. » —— Ὁ δεῖνα] τουτέστι, σὺ, πρὸς ὃν λαλεῖ ὁ ταῦτα ἀπαγγέλλων. —— Ἂν δ' ἄλλος παρὼν εἴπῃ,] ἂν ἄλλος, παρὼν ὅπου ἐγίνετο ἡ περὶ σοῦ κρίσις, ἀντείπῃ πρὸς τὸν κρίναντά σε ἄριστον τῶν φιλοσόφων. —— ΕΔ. 11, βλέπεται κ. τ. λ.] ἐκ τῆς ὠχριάσεως καὶ τῆς κραυγῆς καταφανὲς γίγνεται, ὅτι μέγας εἶ φιλόσοφος. —— Τῶν σοφιστῶν τινα] τὸν Δημοσθένην. « Ξένων » δέ ποτε θεάσασθαι θελόντων Δημοσθένην, τὸν μέσον δάκτυλον » ἐκτείνας [Διογένης], Οὗτος ἡμῖν, ἔφη, ἐστὶν ὁ Ἀθηναίων » δημαγωγός » (Διογ. Λαερτ. VI, 34). Ὑβριστικὸν γὰρ ἐνομίζετο τὸ τῷ μέσῳ δακτύλῳ δεικνύναι τινα, παραπλήσιον τῷ παρ' ἡμῖν τοὺς πέντε δακτύλους τεταμένους καὶ διεστηκότας ἀλλήλων προβάλλειν τινὶ, ὅπερ καλοῦμεν, οὐδετέρως καὶ πληθυντικῶς, Τὰ σφάκελα, καὶ τὴν ἐνέργειαν Σφακελόνω καὶ Σφακελίζω, παρὰ τὸν Σφάκελον, ᾧ τὸν μέσον ἐσήμαινε δάκτυλον ὁ παρακμάζων Ἑλληνισμὸς, ἢ δῆλον ἐκ τοῦ Φωτίου, « Σφακελισμὸς.... λέγεται δὲ σφάκελος ὁ μέσος τῆς » χειρὸς δάκτυλος » συναθόντων τούτῳ καὶ τοῦ Σουΐδα καὶ τοῦ

Digitized by Google

Ἐτυμολόγου, καὶ τοῦ τὸν Ὀππιανὸν (Ἀλ. II, 583) σχολιάσαντος. —— ΕΔ. 13, φιλόλογος.] Ἀνεβίβασα τὸν τόνον. Ἔπιθι τὰ ἐν τοῖς ἑξῆς (IV, δ', 42) —— ΕΔ. 14, πέρπερον.] Ἐδηλώθη ἐν τοῖς εἰς τὰ πρόσθεν (II, α', λδ') ὁ Πέρπερος. Λέγει δὲ καὶ ὁ Φώτιος, « Πέρπερος, ὁ μετὰ » βλακείας ἐπηρμένος, οἷον λάλος, προπετὴς, μηδὲν λογισμῷ ποιῶν. » —— ΕΔ. 15, Ἄπελθε ΟΥΝ.] Ἐκ ΔΓ προσεγεγραμμένης τῷ ΤΡ, ἀντὶ τοῦ ΝΥΝ. —— Τὸν Κρίνιν] Ἄδηλον τὸ συμβὰν περὶ τὸν Κρίνιν τοῦτον ἀτύχημα, ὃ αἰνίττεται ὁ Ἐπίκτητος. Ὁ δ' οὖν Κρίνις, Στωϊκὸς ἦν καὶ αὐτὸς φιλόσοφος, Διαλεκτικῆς τέχνης συγγραφεὺς (Διογ. Λαέρτ. VII, 62, 71, καὶ 76). —— ΕΔ. 17, περὶ τὰς μεταπτώσεις] περὶ οὓς ἀνωτέρω (§ 6) Μεταπίπτοντας λόγους εἴρηκε. —— ΕΔ. 18, τοῖς ΕΥΠΛΟΟΥΣΙ προσήκει πῦρ καίειν κ. τ. λ.] ΗΔ, ἀντὶ τοῦ, ΕΥ ΠΑΘΟΥΣΙ· ἧς πρὶν καταγνῶς, ἔπιθι τὴν ἑξῆς σημείωσιν. Ἴσως δὲ καὶ ἀντὶ τοῦ προσήκει, γραπτέον τὸ φερόμενον ἔν τινι τῶν ἀντιγράφων, πρέπει. —— Ἐπαίρεις τοὺς σιφάρους.] Ἐν ταῖς ἀρχαίαις ἐκδόσεσί προσεγράφετο μετὰ τὸ Σιφάρους ἀμέσως, ὡς μέρος καὶ αὐτὰ τοῦ κειμένου ὑπάρχοντα, τάδε, « Εἶδος αὐλοῦ· ΟΣ ΕΣΤΙ » ΦΑΡΟΣ· ἔχει δὲ εἶδος ἀμεσφορέως » οὐδὲν ἕτερον ὄντα ἢ ἐξήγησιν τῆς λέξεως Σιφάρους. Ταῦτα περιελόντες τοῦ κειμένου, ὥσπερ εἰκὸς ἦν, οὕτω διωρθώκασιν οἱ κριτικοὶ « Εἶδος αὐήλου ὁ σίφαρος· ἔστι δὲ » καὶ εἶδος ἀμφορέως » (μικρᾶς ἴσως ἐπιδιορθώσεως δεόμενα ταύτης, Ὃ ΕΣΤΙ ΦΑΡΟΣ) τοῦ Οὐήλου δηλονότι ἐκ τοῦ Ῥωμαϊκοῦ Velum (ἱστίον, ὀθόνη) παρεσχηματισμένου. Τοῦτο γὰρ σημαίνει ἐνθάδε (ἵνα τἆλλα παρέλθω τὰ ἐν τοῖς Ῥωμαϊκοῖς Λεξικοῖς κατειλεγμένα σημαινόμενα) ὁ Σίφαρος, ὁ τοῖς Ῥωμαίοις Supparus, ἀρσενικῶς, καὶ Supparum, οὐδετέρως, λεγόμενος· τουτέστι τὸ ἐν ἄκρῳ ἰσῷ ἀναπετανύμενον, ὅταν οὖριον πνέῃ, ἐλάχιστον τῶν ἱστίων. Supparum » velum (φησὶν ὁ Λίψιος) summo malo appensum....minu- » tulum velum, quod in venti faventia nautæ solent exten- » dere. » (Ἴδε Martin. *Lexic. Philolog.* v. Supparus.) Καὶ ταῦτα μὲν περὶ τοῦ Σιφάρου οἱ Λατῖνοι κριτικοὶ, ὧν διαφέρειν τι ἔοικεν Ἡσύχιος, τὴν ἐν τῇ πρύμνῃ ὀθόνην (pavillon) ἐξηγούμενος τὸ Σίφαρον· λέγει γάρ « Ἐπίδρομον....καὶ τὸ ἱστίον τὸ ἐν τῇ πρύμνῃ » κρεμάμενον, ὃ καλοῦσι ΣΙΦΑΡΟΝ, καὶ (ἴσ. γρ. καὶ τὸ) ἔλασσον » Ἔνθα διὰ τοῦ Ἔλασσον σημαίνειν ἴσως βούλεται ὅπερ φησὶ Πολυδεύκης (I, 9), « Ὁ μὲν μέγας καὶ γνήσιος ἱστὸς, Ἀκάτιος· ὁ δὲ

Digitized by Google

» κατόπιν, Ἐπίδρομος· ὁ δὲ ἐλάττων, Δόλων. » Προσσημειούσθω δὲ, ὅτι καὶ αὐτὸ τὸ Σίφαρον εἰσὶν οἱ παρὰ τὸ Ἑλληνικὸν Φάρος παρῆχθαι οὐκ ἀπιθάνως ὑπειλήφασι· κατὰ γὰρ τὸν Ἡσύχιον, « Φάρος » ςέλλων, τὸ περιβόλαιον ςέλλων, ἢ τὸ ἄρμενον. » Ὅπως δέ ποτ' ἂν ταῦτ' ἔχῃ, τοῦτο γε δῆλον, οἶμαι, ὡς οὐκ ἀλόγως τὸ προηγησάμενον, Εὖ παθοῦσι ἔτρεψα εἰς τὸ Εὐπλοοῦσι.

ΚΕΦΑΛΑΙΟΝ γ', ΕΔΑΦΙΟΝ 1, ἀλείπτου.] ΔΓ, ἀπαλείπτου. Γραπτέον ἴσως, Ἐπαλείπτου, καὶ καταχωριστέον ἐν τοῖς Λεξικοῖς. « Ἀλεῖπται, οἱ πρὸς τοὺς ἀγῶνας ἐπασκοῦντες κ. τ. λ. » φησὶν ὁ Σουΐδας. Ἀπὸ τοῦ κυριωτέρου (οὗ ἤλειφον ἐλαίου) οὕτω κληθέντες· ἐκαλοῦντο δὲ καὶ Παιδοτρίβαι. —— ΕΔ. 3, Θέλει, οὐ Θέλει.] Σημειοῦ τὴν ἀσύνδετον φράσιν τοῦ παρακμάζοντος Ἑλληνισμοῦ, συνηθεστάτην ἡμῖν νῦν οὖσαν· Θέλει δὲν Θέλει, γὰρ φαμὲν, ἐπὶ τῷ δηλῶσαι τὸν ἀναγκαζόμενόν τι ποιῆσαι ἢ πρᾶξαι. Τὸ πλῆρες ἂν εἴη, Εἴτε Θέλει, εἴ τε οὐ Θέλει, καὶ Ἀττικώτερον, Κἂν Θέλῃ, κἂν μὴ Θέλῃ. —— ΕΔ. 12, κλέπτης ἀνθύπατος ..... κορασιδίοις κ. τ. λ.] Εἰ ὁ ἐλθὼν εἰς τὴν ἐπαρχίαν ἀνθύπατος κλέπτης ἐστὶν, ἐξέτασον ποίῳ νομίσματι χρῆται, τουτέστι τί προαιρεῖται τῶν ἄλλων, καὶ νομίζει ἀγαθόν· εἰ μὲν ἀργύριον, δὸς αὐτῷ ἀργύριον, καὶ διαπράξῃ ὅ,τι ἂν βούλῃ παρ' αὐτοῦ. Εἰ δὲ νομίσματι χρῆται κορασιδίοις, τουτέστι τὰς ἀφροδισίους ἡδονὰς νομίζει προαιρετέας εἶναι τῶν ἄλλων, δὸς αὐτῷ κορασίδιον, ὡς νόμισμα, καὶ πωλήσει σοι τὴν δίκην, ἀπαλλάξας σε τοῦ δικαίως αὐτήν σοι λαχόντος. Τοῦτο γὰρ ἐνθάδε σημαίνει τὸ Πραγμάτειον, ὡς σεσημείωται καὶ ἐν τοῖς πρόσθεν (σελ. 336). —— ΑΑΒΕ, φησὶ, τὸ νόμισμα πώλησόν μοι τὸ πραγμάτιον.] Διάφ. γραφ. ΒΑΛΕ, ἣ καλῶς ἂν εἶχεν, εἰ ἐγράφετο οὕτως· « Βάλε, φησὶ, τὸ νόμισμα, καὶ πωλήσω » σοι τὸ πραγμάτιον » τοῦ ὁριστικοῦ ῥήματος (φησὶ) πρὸς τὸν ἀνθύπατον ἀναφερομένου. Ὡς δὲ νῦν ἔχει, διαγραπτέον μοι ἔδοξε τὸ ῥῆμα (φησὶ), τοῦ πρὸ ἐμοῦ κατ' ἔλλειψιν ἑρμηνεύσαντος, inquit aliquis (φησί τις). —— ΕΔ. 14, ὃ ἂν ἴδῃς, ὃ κ. τ. λ.] Ἐκ ΔΓ, ΑΤ, ὃν ἂν ἴδῃς, ὅν. —— ΕΔ. 19, εὐσταθήσει, ὡς ἂν ἔχῃ κ. τ. λ.] οὐκ ἀποστατήσει, οὐκ ἐκστήσεται τοῦ ὀρθοῦ λόγου, ὅπως ἂν ἔχῃ τὰ ἐκτὸς αὐτοῦ καὶ ἀπροαίρετα. —— ΕΔ. 22, σκοτωθῇ.] Συνώνυμον τοῦ Ἰλιγγιᾷν τὸ Σκοτοῦσθαι, ἃ καὶ συνῆψεν ὁ Πλάτων (Πρωταγ. σελ. 339), λέγων, « Ὥσπερεὶ ὑπὸ ἀγαθοῦ πύκτου πληγεὶς, ἐσκοτώ-

Digitized by Google

» θην καὶ ἰλιγγίασα. » Ἐφ' ἧς σημασίας χρώμεθα νῦν ἐν τῇ συνηθείᾳ τῷ Σκοτίζομαι καὶ τὸ Ζαλίζομαι· τοῖς δὲ τούτων ἐνεργητικοῖς, Σκοτίζω καὶ Ζαλίζω, μεταφορικῶς μᾶλλον, καθάπερ καὶ οἱ Γάλλοι τῷ étourdir, οἷον, Μ' ἐσκότισε, ἢ Μ' ἐζάλισεν ἡ πολυλογία του. Ἕτερον δὲ ἐνεργητικὸν τὸ Σκοτόνω (παρὰ τὸ Σκοτόω) σημαίνει παρ' ἡμῖν τὸ φονεύω, ἐκ τῆς προηγουμένης δηλονότι τοῦ θανάτου ἰλιγγιάσεως καὶ σκοτοδίνης· ἔνθεν καὶ τὸ Ὁμηρικὸν (Ἰλιάδ. δ', 461) ἐπὶ τοῦ καιρίαν πληγέντος καὶ πεσόντος, « Τὸν δὲ σκότος » ὄσσε κάλυψεν· » καὶ τὸ παρὰ τοῖς Ἑβδομήκοντα (Κριτ. δ', 21) « Ἐσκοτώθη καὶ ἀπέθανε· » καὶ ὁ Πολυδεύκης δέ, βληθεὶς ὑπὸ τοῦ Ἴδα πέτρᾳ « Πίπτει σκοτωθείς. » (Ἀπολλοδώρ. Β', Βιβλιοθ. Γ', 11 § 2). Καὶ τόπος δέ τις παρὰ τοῖς Πριηνεῦσιν, ὑπὸ τῶν γυναικῶν ὠνομάσθη « Ὁ παρὰ τῇ δρυῖ σκότος, διὰ τὸ παίδας αὐτῶν καὶ πατέρας καὶ » ἄνδρας ἐκεῖ φονευθῆναι, » ὡς ἱστόρηκε Πλούταρχος (Κεφ. καταγραφ. ἑλληνικ. § 20, τόμ. II, σελ. 213, Wyll.)

ΚΕΦΑΛΑΙΟΝ δ', Πρὸς τὸν ἀκόσμως ἐν θεάτρῳ σπουδάσαντα.] Κατ' ἔλλειψιν τοῦ Τινὶ ἢ Τισὶ, πράγμασιν ἢ προσώποις, τοῖς σπουδαζομένοις, οἷον ἐγίγετο μάλιστα ἐν ταῖς δημοσίαις θέαις, ὁτὲ μὲν ἐπικροτούντων ἠρέμα τῶν θεωμένων, ὁτὲ δὲ καὶ ἀκοσμότερον κραυγαῖς καὶ πηδήμασι τὴν περί τινα τῶν ὑποκριτῶν σπουδὴν ἢ ἀποστροφὴν διαδεικνυμένων. —— ΕΔΑΦΙΟΝ 1, πρὸς τοὺς λοιδορήσαντας] αὐτόν τε καὶ τὸν αὐτῷ σπουδαζόμενον, πρὸς τοὺς ἀντικροτήσαντας —— Καὶ τί κακὸν, ἔφη] ὁ Ἐπίκτητος πρὸς τὸν ἐπίτροπον τῆς Ἠπείρου. —— ΕΔ. 4, διακάθηνται] ἄλλος ἄλλοθι κάθηνται. —— ΕΔ. 9, Σώφρων] κύριον ὄνομα ὑποκριτοῦ, ᾧ ἐσπούδαζεν ὁ τῆς Ἠπείρου ἐπίτροπος.

ΚΕΦΑΛΑΙΟΝ ε', ΕΔΑΦΙΟΝ 1, εἰς οἶκον] εἰς Ῥώμην ἢ ἄλλοσέ ποι, ἀπὸ Νικοπόλεως εἰς ὁστισοῦν τῶν Ἐπικτήτου μαθητῶν. —— ΕΔ. 4, οὐ λέγεις.] Ἄμεινον ἂν ἐγράφετο, ὡς καὶ ἑτέρωις ἔδοξε, Οὐ λέξεις. —— ΕΔ. 6, τί ποτε μὲν γάρ.] ΔΓ (ἦν ὤφειλον προελέσθαι), τί ποτε γάρ. —— ΕΔ. 10, συμπαρακολουθῆσαι.] Ἐκ ΔΓ, ΑΤ, συμπαρακολουθῆσαί σοι. —— ΕΔ. 13, ΚΑΙ ὑγιείνων ἄξιος εἶ κ. τ. λ.] ΗΔ, ἀντὶ τοῦ Η'. —— τοιούτου.] Ἰσ. γρ. τούτου. —— ΕΔ. 14, Ὥσπερ ἄλλος τις κ. τ. λ.] Ἴδε τὰ ἐν τῷ Ξενοφῶντι (Ἀπομν. Α, VI, § 14, σελ. 32) ὑπὸ Σωκράτους πρὸς τὸν Ἀντιφῶντα λεγόμενα. Παράθες τούτοις καὶ τὰ τοῦ Στωϊκοῦ Αὐτοκράτορος (Μάρκ. Ἀντων. Η', μγ'). —— ΕΔ. 16,

Digitized by Google

ΠΕΡΙ Ὃ ἀσχολοῦνται.] Ἠβούλετο μέν, ἐπελάθετο δὲ γράψαι οὕτως ὁ πρὸ ἐμοῦ, ἀντὶ τοῦ ΠΡΟΣ Ὃ. Ἢ Περὶ προσγέγραπται ὡς ΔΓ καὶ ἐν τῷ ἐμῷ ΤΡ. Καλῶς δ' ἂν εἶχε καὶ ἡ ἑτέρα, εἰ ἐγράφετο Πρὸς ᾧ. ——ΕΔ. 19, Εἴ τις ὑμῶν ἠράσθη κ. τ. λ.] Προσφυέστατον τὸ παράδειγμα. Ὥσπερ γὰρ ἐπὶ τοῦ σωματικοῦ ἔρωτος τοῦτ' ἂν εἴη τοῦ ἀληθῶς ἐρᾶν ἀπόδειξις, εἴ τις ὑπὲρ τῆς ἐρωμένης, καὶ πεινᾶν καὶ διψᾶν καὶ ἀποθνήσκειν μὴ ἀναίνοιτο· οὕτω καὶ τὸν γνήσιον τῆς ἀρετῆς ἐραστὴν οὐδενὶ ἂν ἄλλῳ γνοίης ἢ τῷ καὶ τὰ δεινότατα ὑπομένειν αὐτὸν μᾶλλον αἱρεῖσθαι τοῦ προδοῦναι τὰ καλὰ καὶ τὰ δίκαια.

ΚΕΦΑΛΑΙΟΝ ς', ΕΔΑΦΙΟΝ 1, Πυθομένου δέ τινος ΠΩΣ ΤΟΙΣ νῦν μᾶλλον κ. τ. λ.] ΗΔ, ἀντὶ τοῦ Πυθομένου δέ τινος ΤΩΝ νῦν μᾶλλον· ἀφ' ὧν ὁ πρὸ ἐμοῦ (διορθῶν κἀκεῖνος) ἔγραψε, « Πυθο- » μένου δέ τινος, [πῶς ὑπὸ] τῶν νῦν μᾶλλον » Ἕτεροι δὲ διορθοῦν- παρήνουν, « Πυθομένου δέ τινος τῶν [παρόντων, διά τί] νῦν μᾶλ- » λον ». ——ΕΔ. 4, ὥστε καὶ κατὰ φύσιν.] Διαγραπτέον τὸν σύνδεσμον, παραλελειμένον κἀν τοῖς ἑξῆς (III, 9', 11 καὶ ί, 10). —— ΕΔ. 9, οὐδὲ γὰρ τυρὸν κ. τ. λ.] Εἰς παροιμίαν ἐξέπεσεν, οὔπω ἴσως παροιμιῶδες ὄν, ὅτε ἐλέχθη. Ἔστι δ' ὁ λέξας Βίων ὁ Βορυσθενίτης, ὃς « Ὀνειδιζόμενος ἐπὶ τῷ μὴ θηράσαι μειράκιον, Οὐχ οἷόν τε, » εἶπεν, ἁπαλὸν τυρὸν ἀγκίστρῳ ἐπισπᾶσθαι (ἴσ. ἐπισπάσασθαι) » (Διογ. Λαερτ. IV, 47). —— ΕΔ. 10, ὁ Ῥοῦφος] περὶ οὗ ἴδε ἀνωτέρω (σελ. 300). —— ἐφ' Ὃ πέφυκεν] ἐξ ΕΔ, ἀντὶ τοῦ ὯΙ.

ΚΕΦΑΛΑΙΟΝ ζ', ΕΔΑΦΙΟΝ 1, Τοῦ δὲ διορθωτοῦ.] Correctores (διορθωταὶ) ὠνομάζοντο παρὰ Ῥωμαίοις, οἱ πεμπόμενοι κατὰ πόλεις ἄρχοντες ὑπὸ τῶν Αὐτοκρατόρων, ἐπὶ τῷ ἐπανορθοῦν τὰ ἡμαρτημένως ἔχοντα. ——ΕΔ. 3, Μάξιμος.] Τραϊανοῦ τοῦ Καίσαρος στρατηγός. ——Κασσιόπης.] Κασσιόπη ἡ Κασσιόπεια, λιμὴν Ἠπείρου, Κασσώπη τανῦν καλούμενος, κατὰ τὸν Μελέτιον. Προὔπεμπε δὲ τὸν υἱὸν ὁ Μάξιμος, πορευόμενον εἰς Νικόπολιν, ἐπὶ τῷ μαθητεῦσαι Ἐπικτήτῳ, ὡς εἴκασεν ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 6, γένηται.] Ἴσ. γρ. γίνεται. —— ΕΔ. 7, οὐ γὰρ δύναται.... τὸ ἐπιγέννημα ἀγαθὸν εἶναι.] Στωϊκῶν ἡ λέξις, Ἐπιγέννημα. Τῶν γὰρ Ἐπικουρείων ἐπὶ τὴν ἡδονὴν πρώτως ὁρμᾶν τὸ ζῶον λεγόντων, οἱ ἀπὸ τῆς Στοᾶς ἀντέλεγον, πρώτως ἐπὶ τὰ πρῶτα κατὰ φύσιν φέρεσθαι, οἷς γενομένοις ἐπιγίνεσθαι τελευταῖον τὴν ἡδονήν. Παραθώμεθα δὲ καὶ τὰς λέξεις αὐτάς· « Ὃ δὲ λέγουσί τινες, πρὸς ἡδονὴν γίγνεσθαι τὴν πρώτην

Digitized by Google

» ὁρμὴν τοῖς ζώοις, ψεῦδος ἀποφαίνουσιν. Ἐπιγέννημα γάρ φασιν, » Εἰ ἌΡΑ ΕΣΤΙΝ ΗΔΟΝΗΝ ΕΙΝΑΙ, ΟΤΑΝ ΑΥΤΗΝ καθ' αὑτὴν » ἡ φύσις ἐπιζητήσασα, τὰ ἐναρμόζοντα τῇ συστάσει ἀπολάβῃ κ. τ. » λ. » (Διογ. Λαερτ. VII, 86). Ἔνθα γραπτέον καὶ στικτέον διορθοῦντας τὸ κείμενον... « Ἐπιγέννημα γάρ φασιν, ΕΙ ΆΡΑ ΕΣΤΙ, ΤΗΝ » ΗΔΟΝΗΝ ΕΙΝΑΙ, ΟΤΑΝ ΑΥΤΗ καθ' αὑτὴν κ. τ. λ. » —— ΕΔ. 8, οὐ μὴ εἴπητε.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφήν· ὁ πρὸ ἐμοῦ ἐξ ἀντιγράφου, Οὐ μὴ εἴποιτε. —— ΕΔ. 12, Τὸ γὰρ κλέψαι κ. τ. λ.] Ἐπιθι Διογένην τὸν Λαέρτιον (X, 151). —— ΕΔ. 13, γίνηται.] ΔΓ, γίνηται. —— ἀδρανεῖς εἰσιν· οὐδεὶς τολμήσει κ. τ. λ.] ἀσθενεῖς εἰσι καὶ ἀδύνατοι οἱ Ἕλληνες, ὥστε τολμῆσαί τιν' αὐτῶν, ἠδικημένον ὑπὸ τοῦ ἐπάρχου ἢ διορθωτοῦ τῆς ἐπαρχίας, εἰς Ῥώμην ἀναβῆναι ἐπὶ τῷ ἐγκαλέσαι καὶ δίκην ἐκείνῳ λαχεῖν. Αὐτὰ τὰ τηνικαῦτα τολμώμενα εἰς τοὺς ταλαιπώρους Ἕλληνας ὑπὸ τῶν στελλομένων εἰς τὰς ἐπαρχίας Ῥωμαίων λέγει ὁ Ἐπίκτητος. —— ΕΔ. 17, ἡμῶν τῶν λεγομένων Στωϊκῶν· καὶ αὐτοὶ γὰρ ἄλλα λέγομεν, ἄλλα δὲ ποιοῦμεν.] Καθήψατο καὶ ἐν τοῖς πρόσθεν (II, 9', 19. ω', 19-24) ὁ Ἐπίκτητος τῶν καθ' ἑαυτὸν Στωϊκῶν· ἐνταῦθα δὲ καὶ ὡς ἐναντία οἷς ἐπηγγέλλοντο πράττοντας ἀποφαίνει. Πολὺ γὰρ πλείους εἰκὸς γεγονέναι τοὺς ἐπὶ Ἐπικτήτου ψευδοστωϊκοὺς τούτους, εἴ γε καὶ ἐπ' αὐτοῦ τοῦ τῆς αἱρέσεως ἀρχηγέτου Ζήνωνος οὐκ ἦσαν ὀλίγοι οἱ τὰ τῆς Στοᾶς δόγματα καταισχύνοντες· καθὰ δηλοῖ καὶ ὁ οὐ πολλῷ Ζήνωνος νεώτερος Ἄλεξις ὁ κωμικὸς (παρ' Ἀθην. σελ. 563) διὰ τούτων·

Ἀκούσατ', ὦ Στόακες, ἔμποροι λήρου,
Λόγων ὑποκριτῆρες· οἱ μόνοι πάντα
Τἀ 'ν τοῖς πίναξι, πρὶν ἢ τῷ σοφῷ δοῦναι,
Αὐτοὶ καταῤῥοφεῖτε· κἄθ' ἁλίσκεσθε
Ἐναντία πράσσοντες οἷς τραγῳδεῖτε.

—— ΕΔ. 19, ἐφήβαρχος.] ὁ τῶν ἐφήβων ἄρχων. Εἰσῄεσαν δὲ εἰς τοὺς ἐφήβους ὀκτωκαίδεκα ἔτη γεγονότες· δύο δ' ἔτη εἰς τοὺς περιπόλους τελέσαντες, τῷ εἰκοστῷ εἰς τὸ Ληξιαρχικὸν ἐνεγράφοντο γραμματεῖον. Εἰκὸς οὖν αὐτοὺς, ἕως ἐφήβευον, ἄρχοντά τινά ἑαυτῶν καθιστάναι· καὶ οὗτός ἐστιν ὁ λεγόμενος Ἐφήβαρχος. Τὸ δὲ πρᾶγμα ἐλέγετο Ἐφηβαρχεῖν, ὃ πρῶτος ὁ Σνειδέρος κατεχώρισεν εἰς τὸ Λεξικὸν ἐξ ἀρχαίων

Digitized by Google

ἐπιγραφῶν ἀναλιξάμενος. Τούτῳ προστεθείκασι καὶ οἱ τὸν Στεφάνου Θησαυρὸν δεύτερον ἐκδόντες ἕτερον σύνθετον, τὸ Ὑπεφηβαρχεῖν, ἐξ ἀρχαίων ὡσαύτως ἐπιγραφῶν εἰλημμένον. Καταχωρίζεσθω τοίνυν εἰς τὰ μέλλοντα Λεξικά, ἐκ τῶν αὐτῶν, καὶ τρίτον ἄλλο ἀλλοίως συντεθειμένον, τὸ Ἀρχεφηβεύειν (Ide Sainte-Croix, *Des anc. gouv. fedérat.* pag. 132).—ΕΔ. 21, ἡγεμονευούσῃ] Ἐκ ΔΓ, ΑΤ, ἡγεμονούσῃ. — ΕΔ. 25, Οὐκοῦν καὶ τὰ καθήκοντα τρισσὰ...αὐτὰ τὰ προηγούμενα.] Ἀσαφὲς τὸ χωρίον, ὅπερ ἄλλοι ἄλλως ἐξηγήσασθαι ἐπεβάλοντο, ὧν τὰς ἐξηγήσεις, οὐδὲν μᾶλλον ἔμοιγε σαφεῖς οὔσας, ἐπίτω ὁ βουλόμενος ἐν ταῖς σημειώσεσι τοῦ πρὸ ἐμοῦ. Ἴσως τοῦτο λέγει· Τῶν καθηκόντων τὰ μὲν πρὸς τὸ εἶναι τείνει, οἷον ἐπὶ ἀνθρώπου τὰ σαρκίδια, ὥσπερ ἐπὶ τορεύματος ἡ ὕλη, ὁ ἄργυρος, ἣν ὕλην καίπερ οὐ δεῖ τιμᾶν ἴσα τοῖς προηγουμένοις, χρὴ μέντοι φροντίζειν ὅπως σώζηται· δεύτερα τῶν καθηκόντων, τὰ πρὸς τὸ ποιὰ εἶναι, τουτέστιν ἕνα τινά, τοῦτον ἢ ἐκεῖνον, τὸν τρόπον ἔχειν, οἷον ὁ τετορευμένος ἄργυρος ἔν τι ὁποιονοῦν τῶν σκευῶν διὰ τῆς τορείας καθίσταται· τρίτα δὲ, αὐτὰ τὰ προηγούμενα, ἅπερ ἐστὶν ἡ ὀρθὴ χοῆσις, ὥσπερ ἐπὶ τοῦ τετορευμένου σκεύους τὸ χρῆσθαι ἐφ' ᾧ κατεσκεύασται. — ΕΔ. 26, Τίνα ἐστὶ ταῦτα;] τὰ προηγούμενα; — ΕΔ. 28, Τὴν δ' ἡδονὴν ὑποτάξαι τούτοις.] Ἤρτηται τὸ ἀπαρέμφατον, ὅθεν καὶ τὰ ἀνώτερω (§ 26), Πολιτεύεσθαι, Γαμεῖν, καὶ τὰ λοιπά. Ὁ δὲ νοῦς, Χρὴ μὲν ἥδεσθαι τὸν τὰ καλὰ ἐργαζόμενον, οὐ μέντοι προτάσσειν τὴν ἡδονὴν τῶν καλῶν ἔργων, οὐ σκοπὸν αὐτὴν προβάλλεσθαι, οὐ δι' αὐτὴν αὐτὰ πράσσειν, ἀλλ' ὑποτάσσειν, τουτέστιν ἐπ' αὐτοῖς πραχθεῖσι χαίρειν καὶ τέρπεσθαι, ἵνα ἡ τοιαύτη τέρψις καὶ ἡδονὴ προθυμοτέρους ἡμᾶς ἀπεργάζηται ἐπὶ τὰ κατὰ φύσιν ἔργα καὶ παρακρατῇ, τουτέστι συνέχῃ, ἐν αὐτοῖς. — ΕΔ. 29, τὰ χρυσώματα καὶ τὰ ἀργυρώματα.] Περιεκτικῶς, τὰ χρυσᾶ καὶ ἀργυρᾶ σκεύη. Ἀγνοεῖ τὰ ὀνόματα ταῦτα, Χρυσώματα (vaisselle d'or), καὶ Ἀργυρώματα (vaisselle d'argent), ἡ παρ' ἡμῖν συνήθεια, καίπερ ἔχουσα τὸ Χαλκώματα (batterie de cuisine) ἐφ' ἧς σχεδὸν σημασίας τέταχεν αὐτὸ καὶ ὁ Κωμικὸς (Ἀριστοφάν. Σφ. 1214),

Ἔπειτ' ἐπαίνεσόν τι τῶν χαλκωμάτων.

— ΤΙΣ ΣΟΙ χρεία δογμάτων;] ΗΔ, ἀντὶ τοῦ, ΤΙ ΣΟΙ. — ΕΔ. 30, κωδίκελλον.] Οὕτως (còdicellus) ὠνόμαζον οἱ Ῥωμαῖοι τὸ γραμματεῖον (brevet) δι' οὗ ὁ Καῖσαρ καθίστη τοὺς κατὰ πόλεις

Digitized by Google

ἄρχοντας ἢ κριτάς. —— Συμφόρου, ἡ τὴν τοῦ Νουμηνίου.] Ὀνόματα κύρια τινῶν μέγα δυναμένων τηνικαῦτα ἐν Ῥώμῃ, γνωστῶν Ἐπικτήτῳ καὶ οἷς διελέγετο, ἡμῖν δ' ἀδήλων, ὧν τὰς χεῖρας κατεφίλουν οἱ βουλόμενοί τι διαπράξασθαι σπουδαρχίδαι. —— τίνος... κοιμηθείς;] Τίνος κοιτωνίτης (σελ. 317) γέγονας, καὶ παρέμεινας ὑπουργῶν αὐτῷ τέως, ἕως ἂν σ' ἐπί τιν' ἀρχὴν προβιβάσειε; —— Ἐᾶ. 32, δύναμαι, ὃν θέλω, εἰς φυλακὴν βαλεῖν.] Καὶ πάλιν ἐπίστησον, ὅπως ἐχρῶντο τοῖς ταλαιπώροις Ἕλλησιν οἱ κατὰ πόλεις ἄρχοντες Ῥωμαῖοι. —— ξυλοκοπῆσαι.] Καθάπερ καὶ ἐν τῇ συνηθείᾳ φαμέν. —— Ἐᾶ. 36, ζημιωθήσῃ.] Τοῦτο προείλετο, ἀντιγράφοις πεισθεὶς (μηδὲν δέον ἴσως) τῆς πάλαι ἐκδεδομένης ἀττικωτέρας γραφῆς, ζημιώσῃ.

ΚΕΦΑΛΑΙΟΝ ϛ', ΕΔΑΦΙΟΝ 2, Ἀποκληρονόμον] ἀπόκλειστον τοῦ κλήρου. Οὐδὲν πλέον σημαίνει τοῦ χρηστοτέρου καὶ ἀρχαιοτέρου, Ἀπόκληρον. —— Ἐᾶ. 6, ὅτι σοι τὴν θύραν ἤνοιξεν, ὅταν σοι μὴ ποιῇ; Ἄνθρωπε, ἔξελθε κ. τ. λ.] Ἄμεινον ἂν ἴσως οὑτωσὶ διαστέλλοιντο ταῦτα· « ὅτι σοι τὴν θύραν ἤνοιξεν; Ὅταν σοι μὴ ποιῇ, » Ἄνθρωπε, ἔξελθε κ. τ. λ. » —— ὅταν σοι μὴ ποιῇ] ὅταν σοι μὴ συμφέρῃ. Ἔπιθι τὰ προσεσημειωμένα (σελ. 339) περὶ τοῦ Ποιεῖν. —— Ἐᾶ. 7, Ἰταλικός.] Κύριον ὄνομα ἢ ἐπωνύμιον. —— ποιήσετέ με κ. τ. λ.] καταστήσετέ με ὅμοιον γενέσθαι τούτῳ τῷ Ἐπικτήτῳ, τουτέστιν ἀναίσθητον· ἐπὶ τούτου γὰρ ἐξεδέχοντο τὴν Στωϊκὴν ἀπάθειαν, καὶ τοῦτο ἐνεκάλουν αὐτοῖς οἱ ἐκ τῶν ἄλλων αἱρέσεων.

ΚΕΦΑΛΑΙΟΝ ϛ', ΕΔΑΦΙΟΝ 1, περὶ τιμῆς τῆς αὐτοῦ] περὶ τῆς ἀρχῆς ἧς ἦρχεν. —— Ἐᾶ. 2, τοῦτο εἰπεῖν] ἔχω. —— Ἐᾶ. 3, προστάτης... Κνωσίων] ἀπὸ τῆς Κνωσοῦ, πόλεως Κρητικῆς, ἧς ἐπεθύμει γενέσθαι προστάτης. —— Ἐᾶ. 5, πῶς διαφέρεσθε;] εἰ σὺ καὶ ὁ ἀντίδικός σου ὁμοίως ὑγιῆ δόγματα ἔχετε, διὰ τί διαφέρεσθε; Εἰκὸς δὲ ἀμφοτέρους Κρῆτας εἶναι Κνωσίους, διαμφισβητοῦντας, τίς αὐτῶν ἔσοιτο προστάτης (ὃν ἡ συνήθεια νῦν Προεστῶτα καλεῖ) τῆς Κνωσοῦ, καὶ διὰ τοῦτο εἰς Ῥώμην ἀνιόντας πρὸς τοὺς κυρίους. —— Ἐᾶ. 9, ἐξεταζόμενος.] Ἐπὶ τοῦ ἐλεγχόμενος ἐξεδέξατο ὁ πρὸ ἐμοῦ, ὀρθῶς. —— Ἐᾶ. 10, Οὐδὲ σὺ... Ὡς πρὸς φιλόσοφον.] Διέγραψα τὴν δευτέραν ἄρνησιν (λείπουσαν ἔν τινι τῶν ἀντιγράφων) ὥσπερ ἠβούλετο μὲν, οὐκ ἔφθη δὲ διορθῶσαι τὸ κείμενον ὁ πρὸ ἐμοῦ, γεγραμμένον, ΟΥΧ ΩΣ. —— Ἐᾶ. 13, εἴ τι ἔχεις, Θὲς εἰς τὸ ΜΕΣΟΝ.] Διενήνοχε τῷ γένει τῆς ἀρχαίας γλώσσης ἡ συνήθεια, λέγουσα, « Ἂν ἔχῃς τί ποτε,

Digitized by Google

» βάλε το εἰς τὴν ΜΕΣΗΝ · » ἐκεῖ μὲν ἐλλείποντος τοῦ, χωρίον, παρ' ἡμῖν δὲ τοῦ, χώραν. — ΕΔ. 15, ὡς οὐδὲ σὺ] Ἐπίκτητε. — ΕΔ. 16, ἔξεις.] ΗΔ, ΑΤ. ἔχεις. — ΕΔ. 18, Πάτρων, οὐ Πάτρων.] Ῥωμαϊκὴ λέξις ὁ Πάτρων, παρὰ τὸ ἑλληνικὸν Πατὴρ (Pater) πλασθεῖσα, ἣν εἰσεποιήσαντο οἱ ὑπὸ Ῥωμαίοις Ἕλληνες, μεταποιήσαντες καὶ τὴν κλίσιν ἐξ ἰσοσυλλάβου (Patronus) εἰς περιττοσύλλαβον. Σημαίνει δὲ τὸν προστάτην (Patron, Protecteur). Καὶ λέγει Ἐπίκτητος, ὃ λέγειν ὀφείλουσιν ἅπαντες οἱ γνήσιοι τῆς ἐλευθερίας ἐρασταὶ: Εἴτε μοί ἐστιν, εἴτ' οὐκ ἔστι πάτρων, τί ἐμοὶ μέλει; σοὶ δὲ τῷ ἀνδραπόδῳ, σοὶ τῷ μὴ δυναμένῳ ζῆν ἐλευθέρῳ, καὶ μάλα μέλει. — Σὺ χρυσᾶ σκεύη· ὀςράκινον τὸν λόγον.] Ἐσημειώσαντο οἱ πρὸ ἐμοῦ, ἔν τινι τῶν ἀντιγράφων προσγεγράφθαι ἔξωθεν σχόλιον οὐκ ἄκομψον τόδε: « Συνυπακουστέον, Ἐγὼ ὀςράκινα ἢ τὰ σκεύη, χρυσοῦν τὸν λόγον. » — ΕΔ. 20, εἰς θέατρον εἰσέρχεσθε, ἢ ΑΛΥΕΤΕ.] Πιθανῶς ὁ πρὸ ἐμοῦ εἰς τοῦτο τὸ τελευταῖον ῥῆμα ἔτρεψε τὸ, ΑΝΑΛΥΕΤΕ, ἐξηγούμενος, ὥδε κἀκεῖσε περιπλανᾶσθε· « Ἀλύειν γὰρ λέγουσιν ἐκείνους.... ὅσοι περ ἂν, ἀεὶ τοῖς » παροῦσι δυσχεραίνοντες, ἄλλοτ' εἰς ἄλλα μεταβαίνωσι πράγματά τε » καὶ πράξεις » (Γαλην. παρὰ τῷ Φοεσ. Οἰκονομ. σελ. 33). Ἔςιμέντοι καὶ τὸ Ἀναλύετε κατὰ χώραν ἐῶντας, ἐκδέξασθαι ἐπὶ τοῦ ἀναχωρεῖτε, ἀπὸ τοῦ θεάτρου δηλονότι πρὸ τοῦ τὴν θέαν τέλος λαβεῖν, κατὰ τὸ, « Πότε ἀναλύσει ἐκ τῶν γάμων » τοῦ Εὐαγγελιστοῦ (Λουκ. ιϐ', 36). — ΕΔ. 21, Σὺ κρυστάλινα] μεταχειρίζῃ. — σὺ μούῤῥινα.] Σκεύη πολύτιμα ἦσαν τὰ ὑπὸ τῶν Ῥωμαίων κληθέντα murrina vasa, λίθου πεποιημένα τῆς καλουμένης Murra, ἣν ὁ Παυσανίας (VIII, 17), Μορῤῥίαν ὀνομάζει. Οἵα δ' ἦν ἡ λίθος αὕτη ἢ γῆ, οὔπω ἀναμφιλέκτως ἔγνωσται· οἱ μὲν γὰρ ταὐτὰ οἴονται εἶναι τὰ Μούῤῥινα τῇ ἀπὸ Σινῶν κομιζομένῃ καὶ τοῖς Γάλλοις καλουμένῃ porcellaine, οἱ δὲ, παραπλήσια, καὶ ἄλλοι ἄλλως· — ΕΔ. 22, ΠΑΙΔΙΟΙΣ· εἰς ξενόβρογχον κεράμιον κ. τ. λ.] ΗΔ, ἀντὶ τοῦ, ΤΟΙΣ εἰς ξενόβρογχον κεράμιον· ὅπερ καὶ τις τῶν πρὸ ἐμοῦ ὑπενόησε, τούτῳ διαφέρων, ὅτι καὶ τὸ ἄρθρον ἐκεῖνος ἐτήρει, γραπτέον εἶναι νομίζων, Τοῖς παιδίοις. — Ἰσχαδοκάρυα.] Παραπλησία καὶ ἡ παρ' ἡμῖν συνήθεια συνθέσει, Συκοκάρυδα, καλεῖ ταῦτα.

ΚΕΦΑΛΑΙΟΝ ι', ΕΔΑΦΙΟΝ 2, Μηδ' ὕπνον.... χρηστὰ δὲ, τέρπου.] Ἐκ τῶν εἰς Πυθαγόραν ἀναφερομένων Χρυσῶν ἐπῶν. — Λογίσασθαι

Digitized by Google

ἕκαστα.] Διαφέρει τοῦτο τῆς ἐκδεδομένης κοινῆς γραφῆς τῶν Πυθαγορείων ἐπῶν, ἐχούσης οὕτως,

Πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν.

(Ἰδ. Brunck, Gnomic. poet. pag. 108). —— Ἐᾶ. 4, ὡς διὰ τοῦ Παιὰν Ἄπολλον,] ὥσπερ ὅτε τὸ Παιὰν Ἄπολλον, ἢ ἕτερόν τι θαυμαστικὸν ἢ σχετλιαστικὸν ἐπίφθεγμα, ἀναφωνῶμεν. —— Ἐᾶ. 5, Πάλιν ἐν πυρετῷ τὰ πρὸς ΤΟΥΤΟ.] Ἴσως γραπτέον, ΤΟΥΤΟΝ (τὸν πυρετὸν). Ἀκολουθία γάρ ἐςι τοῦτο τῶν ἐν ἀρχῇ (Ἐπ' ἀρίστῳ....Ἐν βαλανείῳ....Ἐν τῇ κοίτῃ) τέταρτον ἐπὶ τοῖς τρισὶ παράδειγμα. —— Ἂν ἐγὼ ἔτι κ. τ. λ.] Ὀργιζομένου ῥήματα Στωϊκοῦ ἐν τῷ πυρέσσειν· ὥσπερ ἂν εἰ ἔλεγεν, Κακῶς μοι γινέσθω, ἂν ἐγὼ ῥαΐσας ἐκ τῆς παρούσης νόσου, τοῖς τῶν Στωϊκῶν δόγμασιν ἔτι σχολάσω. —— Ποῦ ποτ' ἀπελθόντα, τοῦ σωματίου ἐπιμελεῖσθαί ΜΕ ΔΕΙ, καὶ πυρετὸς οὐκ ἔρχεται.] ΗΔ, ΑΤ, « ....ἐπιμελεῖσθαι, ΕΙ ΤΕ καὶ πυρετὸς οὐκ » ἔρχεται· » ὅπερ ἄλλοι ἄλλως διορθοῦν ἐπεβάλοντο (Ἰδ. τὰς σημ. τοῦ πρὸ ἐμοῦ). Ὁ νοῦς, Ὀφείλω, χαίρειν φράσας τοῖς Στωϊκοῖς παραγγέλμασιν, ἐπιμελεῖσθαί μου τοῦ σώματος, ἀπελθὼν πού ποτε· καὶ πυρετὸς οὐκ ἐλεύσεται· πολλῷ γὰρ κρεῖττον φροντίσαι τοῦ τὴν ἀρχὴν μὴ πυρέσσειν, ἢ πυρέξαντα Στωϊκῶς ὑποφέρειν τὸν πυρετόν. —— Ἐᾶ. 7, καταλῦσαι] καταλῆξαι, παύσασθαι τοῦ ἐπιτηδεύματος, τῆς ἀθλητικῆς τέχνης. —— Τί ὄφελος;] Ἀπαραλλάκτως καθάπερ καὶ ἐν τῇ συνηθείᾳ τὸ Τί ὄφελος; Λέγει δὲ τοῦτο, ὅτι κἂν παυσώμεθα τοῦ φιλοσοφεῖν, διὰ τὸ μὴ βούλεσθαι ὑπομένειν τὰ δεινά, τί κερδανοῦμεν ἐκ τούτου; οὐδὲν γὰρ ἧττον συμβήσεται τὰ δεινά. —— Ἐᾶ. 10, Ἀλλ' οὐ φιλολογῶ.] Ἀλλ' ὁ πυρετὸς κωλύει με σχολάζειν τοῖς λόγοις. —— Ἐᾶ. 12, τὸ τοῦ περιπατοῦντος] καθῆκον. —— Ἐᾶ. 13, προστασσόμενα.] ΗΔ (ὑπονοήσαντος τοῦτο καὶ τοῦ πρὸ ἐμοῦ), ΑΤ, πρασσόμενα. —— Ἐᾶ. 15, Τούτων ὁ καιρὸς ἐςι.] Ἴσως διαγραπτέον τὸ ἄρθρον. —— Ἐᾶ. 16, οἰνάριον....ἐλάδιον.] Ἴδε τὸ Ἐγχειρίδιον (XII § 2). —— Ἐᾶ. 19, ὡς ἂν προσενεχθῇ.] Ἴσως ἐγέγραπτο, ὅΠΩΣ.

ΚΕΦΑΛΑΙΟΝ ια', ΕΔΑΦΙΟΝ 4, Ξεῖν', οὔ μοι θέμις κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσείας (ξ', 56). —— Ἐᾶ. 6, ἐπ' ἀδελφῷ.] Ἐπ' ἀδελφοῦ, γεγράφθαι εἰκός. —— Πρὸς γὰρ Διός.] Παρῴδηται ἐκ τοῦ Ποιητοῦ (Ὀδυσσ. ξ', 57).

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ ιϛ', ΕΔΑΦΙΟΝ 1, διὰ τῶν παρὰ φύσιν καὶ παραδόξων] καὶ ὡς φησιν ὁ Μάρκος, φαντασιοπλήκτως ἀσκεῖν (Μάρκ. Ἀντων. Α', ζ') —— ΕΔ. 2, φοίνικα ἱστάνειν.] Παιδιᾶς ἢ ἀγωνίσματος γένος τὸ Φοίνικα ἱστάνειν, ὡς γε ἐξηγήσαντο οἱ πρὸ ἡμῶν, εἰς ὃν ὁ ἀναῤῥιχώμενος, εἰ ἠδύνατο τῆς κορυφῆς ἐφικέσθαι, νικητὴς ἀνηγορεύετο. Τὸν δὲ φοίνικα οὐ κυριολεκτικῶς ἐκληπτέον· παντὸς γὰρ ξύλου ἰσὸς συντελεῖν δύναται εἰς τὴν παιδιάν, παρπλησίαν οὖσαν τῇ παρὰ τοῖς Γάλλοις καλουμένῃ mât de cocagne. Φοῖνιξ δ' ἐκλήθη ἀπὸ τοῦ συνήθους τε καὶ σπουδῇ γινομένου ἐν ταῖς χώραις ταῖς φερούσαις τὸν φοίνικα· ἐκεῖ γάρ, μονοστελέχου ὄντος τοῦ δένδρου, ἀναῤῥιχώμενοι δρέπονται τὸν καρπόν· καὶ τοῦτο ἐλέγετο Φοινικοβατεῖν. (Ἴδε τὸν Λουκιαν. Περὶ τῆς Συρ. Θεοῦ, § 29, τόμ. IX, σελ. 114) —— ἀνδριάντας περιλαμβάνειν], ὅπερ καὶ ἀλλαχοῦ (Ἐγχειριδ. XLVII) ὡς ἐπισεικτικὸν ἀπεδοκίμαζε. —— ΕΔ. 4, Ὀρέξει.... ἀναστρέφεσθαι.] Κατ' ἔλλειψιν τῆς προθέσεως (ἐν ὀρέξει). Μὴ κωλύεσθαι ἐπιτυγχάνειν ὧν ὀρεγόμεθα, μηδ' ἀναγκάζεσθαι περιπίπτειν ἐκείνοις, ὧν ἐκκλίνομεν. Οὗτός ἐστιν ὁ πρῶτος ὧν ἀνωτέρω (III, 6', 1) ἔλεγε τριῶν τόπων· ἐν δὲ τοῖς ἑξῆς (§ 13-14) ἔσαι λόγος καὶ περὶ τῶν λοιπῶν. —— ΕΔ. 5, ἕξω ἐάσῃς ἀποςρέφεσθαι.] Ἰδ. Ἐγχειριδ. XXIII. —— ΕΔ. 7, Ἑτεροκλινῶς κ. τ. λ.] κλίνω εἰς τὸ ἕτερον τοῦ παθητικοῦ μέρος, ἔνθα ἐστὶν ἡ ἡδονή. —— Ἀνατοιχήσω] ἀνακλίνω ἐπὶ τὸν ἐναντίον τοῖχον· ἀπὸ μεταφορᾶς τοῦ γινομένου ἐν ταῖς ναυσὶν ὑπὸ τῶν ἐπιβατῶν, οἵτινες καταφερομένου ἐπὶ θάτερον μέρος τοῦ πλοίου, καὶ κινδυνεύοντος καταδῦναι, μεταβαίνουσι σπεύδοντες ἐπὶ θάτερον. Τούτῳ καὶ Ἀριςοφάνης ἀστείως ἐχρήσατο, τὸ εὐμετάβολον τῶν Ἀθήνησι δημαγωγῶν σκώπτων (Βατρ. 534),

Ταῦτα μὲν πρὸς ἀνδρὸς ἐςι νοῦν ἔχοντος καὶ φρένας,
καὶ πολλὰ περιπεπλευκότος,
μετακυλινδεῖν αὐτὸν αἰεὶ
πρὸς τὸν εὖ πράττοντα μᾶλλον τοῖχον.——————

—— ΕΔ. 9, ΣΤΕΓΗΝ δερματίνην καὶ ὅλμον καὶ ὕπερον περιφέρειν.] Ἀνεξήγητα ταῦτα κατέλιπον οἱ πρὸ ἐμοῦ, μόνον τὸ Στέγην δερματίνην, ἐπὶ τῆς ἐκ δερμάτων σκηνῆς, ἐκδεξάμενοι. Ἴσως γραπτέον

Digitized by Google

ΣΚΕΥΗΝ, ἣ δηλοῦται οὐ μόνον ἐνδύματα καὶ ἄλλα ἀναγκαῖα, ἀλλὰ καὶ ὁ περιέχων αὐτὰ θύλακος ὁ ἐπὶ τῶν στρατευομένων ἰδιαιτέρως Γυλιὸς (havresac) καλούμενος, ὡς φησιν Ἡσύχιος· « Γυλιὸς... ἀγγεῖον ὁδοιπορικὸν εἰς ἀπόθεσιν τῶν ἀναγκαίων, ᾧ » ἐχρῶντο οἱ στρατιῶται. » Ὕπερον δ' ἐνθάδε ἐκδεκτέον τὸν ἐν τῇ συνηθείᾳ Κόπανον, μακρῷ γε μὴν μείζονα οὗ κοινῶς χρώμεθα, ἴσως δὲ καὶ οὗπερ Ἡσίοδος λέγει (Ἔργ. 423),

Ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν.

Τηλικοῦτόν τινα ὕπερον οἱ κατ' Ἐπίκτητον Κυνικοὶ ἀλαζόνως ἔφερον ἀντὶ βακτηρίας, ὥς τι καινότερον καὶ κυνικώτερον ἐξευρηκότες. Παράδειγμα ὁ παρὰ τῷ Λουκιανῷ Κυνικὸς, περὶ οὗ φησιν, « Ἕνα » γοῦν ἰδὼν [ὁ Δημώναξ] Κυνικὸν, τρίβωνα μὲν καὶ πήραν ἔχοντα, » ἀντὶ δὲ βακτηρίας ΥΠΕΡΟΝ, καὶ κεκραγότα, καὶ λέγοντα, ὅτι » Ἀντισθένους καὶ Κράτητος καὶ Διογένους ἐστὶ ζηλωτὴς, Μὴ » ψεύδου, ἔφη, σὺ γὰρ ΥΠΕΡΙΔΟΥ μαθητὴς ὢν τυγχά- » νεις. » (Λουκιαν. Δημων. § 48, τόμ. 5, σελ. 249). —— ΕΔ. 10, γοργὸς] ὀξύθυμος. Καθ' Ἡσύχιον, « Γοργὸς, εὐκίνητος, ταχὺς » κ. τ. λ. » ἐφ' ἧς σημασίας σώζεται καὶ ἐν τῇ συνηθείᾳ, καθ' ἣν λέγομεν, Γοργὸν ἄλογον (un coursier), καὶ τὸ παροιμιῶδες, Τὸ γοργὸν καὶ χάριν ἔχει, ἐπὶ τῶν ταχέως εὐεργετούντων, μηδὲ τὴν χάριν ἄχαριν τῷ παρέλκειν ποιούντων. —— ΕΔ. 11, Δόξον ἀνδριάντα κ. τ. λ.] Τί με δεῖ τοὺς ἀνδριάντας περιλαμβάνειν ἀσκήσεως χάριν; Ἐὰν ἀνέχωμαι λοιδορούμενος, ἢ καὶ πληττόμενος, ἴσον ποιῶ, εἰ μὴ καὶ μεῖζον, τῷ ἀνδριάντα περιλαμβάνοντι. —— Κομψῶς χρῆσθαι] ἄσκησον. —— Ἐπαρίστεροι ἀσκηταὶ] σκαιοὶ καὶ ἀνόητοι ἀσκηταί. Εἰκὸς γάρ τινας, ὡς ἐσημειώθη ὑπὸ τοῦ πρὸ ἐμοῦ, τῶν πρωτοπείρων Στωϊκῶν (ἐπεὶ καὶ τοῦτο δόγμα ἦν τῆς αἱρέσεως, « Καὶ οἰνωθήσεσθαι » μὲν, οὐ μεθυσθήσεσθαι δὲ τὸν σοφὸν » (Διογ. Λαερτ. VII, 118), πειρᾶσθαι πολυποτεῖν οὐχ ἡδονῆς, ἀλλ' ἀσκήσεως ἕνεκα. —— Ἀλλὰ πρῶτον ΕΙΣ ΤΟ ἀποσχέσθαι.] Ἴσ. γρ. ΩΣΤΕ· Τὸ δ' ἐχόμενον, ἀπέχεσθαι, κακῶς πλεονάζειν ἂν δόξειεν. —— Ὑπὲρ δοκιμασίας, εἰ ἄρα κ. τ. λ.] ἄπαξ, ὑπὲρ τοῦ πειραθῆναι μόνον (πῶς φέρεις τὸν πολὺν οἶνον) εἰ ἄρα προσήκει καὶ τῶν τοιούτων πειρᾶσθαι. —— ΕΔ. 13, ἵν' ΕΥΠΕΙΘΗΣ τῷ λόγῳ.] Ἵνα ἡ ὁρμὴ καὶ ἡ ἀφορμὴ εὐπει-

Digitized by Google

Θης ἢ τῷ λόγῳ. Ἦν δ' ἂν καὶ ΕΥΠΕΙΘΗΣ γράφειν, οὐδὲν ἑτεροιουμένου τοῦ νοῦ διὰ τὴν ῥηματικὴν γραφήν. —— συμμετρίαν.] Οὕτως οὐκ ὤκνησα γράψαι, ἀντὶ τοῦ, ἀσυμμετρίαν, ὥπερ ἐδυσχέραινε καὶ ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 15, ἀνεξέταστον βίον.] Δεύτερον τοῦτο νῦν λέγει (Ἰδ. I, κϛ', 18). —— Τὰ συνθήματα] ὅπερ οἱ Γάλλοι φασὶ le mot du guet. —— παραδεχθησομένην.] ΑΓ, παραφυλαχθησομένην· ἧς ὁ πρὸ ἐμοῦ νοθείαν κατέγνω. Ἴσως, πᾶν τοὐναντίον, τὸ Παραφυλαχθησομένην προαιρετέον, διὰ τὸ προηγησάμενον, Νυκτοφύλακες. —— ΕΔ. 17, ἐφέλκυσαι βρόγχον.] Βρόγχος, κυρίως μὲν τὸ ἔσω τοῦ τραχήλου μέρος, ὁ λαιμὸς, ὁ οἰσοφάγος ἢ καταπότης (gosier, gorge) ἐνθάδε δὲ, κατὰ σπανιωτέραν σημασίαν, τὴν ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ ῥοφηματίαν (une gorgée) δηλοῖ.

ΚΕΦΑΛΑΙΟΝ ιγ', ΕΔΑΦΙΟΝ 2, ἔσθ' ὅτε καὶ πλῆθος.] ΗΔ, ἡ προσθήκη τοῦ συνδέσμου. —— ΕΔ. 3, Θέλει] δύναται, σημαίνει. —— ΕΔ. 4, ὁ Ζεὺς ἐν τῇ ἐκπυρώσει ἔρημός ἐστι] Ἡρακλείτου δόγμα ἡ τοῦ κόσμου ἐκπύρωσις, ὅπερ ἀπεδέξαντο ὕστερον οἱ Στωϊκοὶ, « Ἐκ » πυρὸς τὰ πάντα συνεστάναι, καὶ εἰς τοῦτο ἀναλύεσθαι. » (Διογ. Λαερτ. IX, 7). —— κατακλαίει αὐτὸς ἑαυτοῦ.] Ἴσ. γρ... ἑαυτόν. —— ΕΔ. 5, ὅτι ποιεῖ μόνος ἐν τῇ ἐκπυρώσει] μόνος καὶ γὰρ μένει, κατὰ τοὺς τὴν ἐκπύρωσιν πρεσβεύοντας, ὁ Ζεὺς, τῶν λοιπῶν ἁπάντων θεῶν ἐκπυρουμένων σὺν τῷ κόσμῳ· διὸ καὶ κλαίειν ἔλεγόν τινες αὐτὸν, τὴν ἐρημίαν ὀδυρόμενον. —— Οὐ γὰρ ἐπινοοῦσι... συναναστρέφεσθαι ἀνθρώποις] οἱ λέγοντες ταῦτα οὐ νομίζουσιν οἷόν τε εἶναι διάγειν μόνον, τεκμαιρόμενοι τοῦτο ἐκ τῆς ἰδίας φύσεως, καθ' ἣν φύσει κοινωνικοί εἰσιν οἱ ἄνθρωποι, καὶ ἄσμενοι συναναστρέφονται ἀλλήλοις. Ἄμεινον δ' ἂν εἶχεν ἡ συνάρτησις τοῦ χωρίου, εἰ οὕτως ἐγράφετο, « Οὐ γὰρ » ἐπινοοῦσι διεξαγωγὴν μόνου, ἀπό τινος φυσικοῦ ὁρμώμενοι, τοῦ » φύσει κοινωνικοὶ εἶναι καὶ φιλάλληλοι, καὶ ἡδέως συναναστρέφεσθαι » ἀνθρώποις. » —— ΕΔ. 8, κατὰ τὸν ΑΥΤΟΥ λόγον ἐξεργάζεσθαι.] Ἐκ ΔΓ, ΑΤ, ἐξεργάσασθαι. Ἴσως δὲ καὶ ΑΥΤΟΝ γραπτέον, ἵν' ᾖ ὁ νοῦς, Ἐξεργάζεσθαι κατὰ τὸν αὐτὸν λόγον, τουτέστιν ὁμοίως ἑαυτοῖς λαλοῦντας, ὁμοίως ἐφιστάνοντας τῇ θείᾳ διοικήσει κ. τ. λ. —— ΕΔ. 9, οὐδὲ λῃστήρια μεγάλα, οὐδὲ πειρατικά.] Ἃ Πομπήϊος κατελελύκει λῃστήρια καὶ πειρατικὰ αἰνίττεται. Ἔπιθι τὸν Πλούταρχον (Πομπ. § 24-29). —— ΕΔ. 12, οὐχὶ κεκηρυγμένην ὑπὸ τοῦ Καίσαρος.] ΔΓ (προσγεγραμμένη ἐν τῷ ἐμῷ ΤΡ), « ΟΥΧΙ κεκηρυγμένην οὐχ ὑπὸ τοῦ

Digitized by Google

» Καίσαρος » ἡ καλῶς ἂν εἶχεν, εἰ διεγέγραπτο ἡ πρώτη ἄρνησις. —— ΕΔ. 19, ἂν πλεύσητε ὑμεῖς] οἱ μαθηταί μου, ἄλλος ἄλλοσε, ὅθεν ἐφοιτήσατε εἰς τὴν ἐμὴν σχολήν. —— ΕΔ. 20, Πᾶσα... τῷ ἀρχομένῳ.] Ἐξ ΕΔ, ΔΤ, τῶν ἀρχομένων. Νοεῖ δὲ, τῷ ἀρχομένῳ παιδεύεσθαι, τῷ πρωτοπείρῳ. —— ἀλλ' οὐχὶ τῷ φθισικῷ.] Διανόητα ταῦτα, ὡς ἔδοξαν καὶ τοῖς πρὸ ἐμοῦ· καὶ εἰκὸς ἐξερρύηκέναι τι τοῦ χωρίου. —— ΕΔ. 21, ὡς ἄῤῥωστος.] Ἰδ. Ἐγχειριδ. XLVIII § 2. —— ΕΔ. 23, Σὺ γὰρ προτέτρεψαι;] ΗΔ, ἀντὶ τοῦ, προτρέψαι, ΔΓ, προέτρεψαι.

ΚΕΦΑΛΑΙΟΝ ιδ', ΕΔΑΦΙΟΝ 3, Σκόπει τί ποτε.] Ἔγραψαν οὕτως οἱ πρὸ ἐμοῦ ἐκ διορθώσεως, ἀντὶ τῆς ἀρχαίας κακῆς γραφῆς, « Σκόπτει » τί ποτε. » Ἑτέρα ΔΓ, « Σκώφθητί ποτε », ἴσως μόνη γνησία. —— ΕΔ. 6, πρὸς τοὺς δυσαρεστοῦντας ΤΟΪΣ ΑΝΘΡΩΠΟΙΣ.] Τὰς τελευταίας δύο λέξεις, οἱ μὲν εἰς τὸ Τοιούτοις ἀνθρώποις, οἱ δὲ εἰς τὸ πολὺ διαπεφωνηκὸς τῆς ἐκδεδομένης γραφῆς, Τοῖς ὑδροποτάις, παρήφεσαν τρέπειν. Καὶ ὁ μὲν νοῦς, τοὺς ὑδροποτάς βούλεται λέγειν· ἡ δὲ τοῦ ῥητοῦ διόρθωσις εἴη ἄν, ΤΟΪΣ ΑΛΛΟΙΣ. Ἡ πλάνη ἐκ τῆς ὁμοιότητος πρὸς τὸ ἐν ἔθει σημειωδῶς γραφόμενον ὑπὸ τῶν ἑλληνικῶν ἀντιγραφέων τοῖς ἀνοις (τουτέστι τοῖς ἀνθρώποις). —— ΕΔ. 7, τὰ μὲν προηγουμένως,....κατ' ἔνστασιν.] Προηγουμένως πράττεται, τὰ ὑπὸ σκεπτομένου καὶ βουλομένου πρασσόμενα (de propos délibéré)· Κατὰ περίστασιν, τὰ μὴ βουλομένου μὲν, πειθομένου δὲ πράσσειν, διά τινας περιστάσεις· Κατ' οἰκονομίαν δὲ (ἢ ὡς συνηθέστερον λέγομεν, Οἰκονομικῶς), τὰ ἕνεκά τινος μείζονος ἀγαθοῦ κτήσεως, ἢ κακοῦ ἀποφυγῆς (par ménagement)· Κατὰ συμπεριφορὰν δὲ, τὰ ἐπὶ τῷ ἀρέσαι τινὶ τῶν φιλουμένων, ἢ τιμωμένων, ἢ ἄλλως ἀξίων συγγνώμης τε καὶ πειθοῦς (par déférence)· Κατ' ἔνστασιν δὲ, τὰ οἰκείως ἢ καθηκόντως τῇ ἑκάστου προαιρέσει καὶ ἐπαγγελίᾳ τοῦ βίου πρασσόμενα (conformes à son état), οἷον, ἄλλα μὲν τὰ καθήκοντα τῷ ἄρχοντι, ἄλλα δὲ τὰ τῷ ἱερεῖ, ἄλλα δὲ τῷ ἐπαγγελλομένῳ φιλοσοφεῖν, ἢ ἄλλο τι ἀσκοῦντι ἐπιτήδευμα βιωτικόν. Ἐπιθι τὰ διὰ μακρῶν σημειωθέντα ἐν τῷ Ἐγχειριδίῳ (XXIII σελ. 120-121), οἷς προστίθει, ὅτι ὥσπερ Βίου ἔνστασιν, οὕτω καὶ Βίον ἢ Βίου ὁδὸν ἐνίσασθαι ἔλεγον, οἷον τὸ ἐν τῷ νάῳ Πλάτωνος διαλόγῳ (Ἀξιοχ. σελ. 187), « Φροντίδες ἄντικρυς ὑπέδυσαν....τίνα τὴν » τοῦ βίου ὁδὸν, ἑστήσονται, » ὅπερ ἂν Ξενοφῶν (Ἀπομν. B, I

§ 21) Τίνα τὴν ἐπὶ τὸν βίον ὁδὸν τρέψονται, ἔφρασεν. —— ΕΔ. 8, οἴησιν] τὴν τοῖς Γάλλοις καλουμένην présomption, ἣν Ἡράκλειτος τῇ ἱερᾷ νόσῳ παρείκαζε, « Τήν τε οἴησιν ἱερὰν νόσον » ἔλεγε » (Διογ. Λαερτ. IX, 7), διὰ τὸ ἀευσοποιὸν, οἶμαι, καὶ ἀνίατον τοῦ πάθους, ὥσπερ καὶ τῶν ἐπιληπτικῶν. Λέγει δὲ καὶ Ἱπποκράτης (Περὶ εὐσχημοσύν. § IV, σελ. 54), τοὺς οἰησίφρονας ἰατροὺς ὀνειδίζων, « Οἴησις γὰρ μάλιστα ἐν ἰητρικῇ αἰτίην μὲν τοῖσι ΚΕΧΡΗΜΕ» ΝΟΙΣΙΝ, ὄλεθρον δὲ τοῖσι χρεομένοισιν ἐπιφέρει· » ἔνθα γραπτέον ΚΕΚΤΗΜΕΝΟΙΣΙΝ, ἵν' ᾖ ὁ νοῦς, Ἡ οἴησις τοὺς μὲν κεκτημένους αὐτὴν, τοὺς ἰατροὺς δηλονότι, ὑπαιτίους καθίστησι, τοὺς δὲ χρωμένους τῇ τῶν τοιούτων ἰατρῶν θεραπείᾳ ἀῤῥώστους ἀπόλλυσιν. —— ΕΔ. 11, ΚΡΕΙΣΣΩΝ εἰμί σου.] Ἴδε τὸ Ἐγχειρίδιον (XLIV). —— ΕΔ. 14, ὅτι ΜΕΓΑΛΑ λακτίζω.] Ἴσ. γρ. ΜΕΓΑ.

ΚΕΦΑΛΑΙΟΝ ιε', ΕΔΑΦΙΟΝ 1, Ἑκάστου ἔργου κ. τ. λ.] Ταῦτά τε καὶ τῶν ἑξῆς τινα εὑρήσεις καὶ ἐν τῷ Ἐγχειριδίῳ (XXIX) μικρὸν ἐνιαχοῦ παραλλάττοντα —— ἀναφανέντων τινῶν, αἰσχρῶς ἀποστήσῃ.] Ἐν τῷ Ἐγχ. ἀναφανέντων δυσχερῶν τινῶν, ἀποστήσῃ. —— ΕΔ. 2, Θέλω] Ἐγχ. Θέλεις —— Κἀγὼ νὴ τοὺς θεούς· κομψὸν γάρ ἐστιν.] Ἐκ τοῦ Ἐγχ. μετέφερε ταῦτα ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 3, ἀναγκοφαγεῖν] ὅπερ ἐν τῷ Ἐγχ. ἀναγκοτροφεῖν εἴρηκε. —— ΕΔ. 5, ὅρα ὅτι.] Λείπει ταῦτα ἐν τῷ Ἐγχ. —— ὅ τι ἂν ἴδῃ.] ΗΔ, ΑΤ, Ὅταν ἴδῃ. Ἀντὶ δὲ τοῦ μικρὸν ἀνωτέρω Ἀθλητὰς, τὸ Ἐγχ. φέρει Παλαιστάς. —— ΕΔ. 7, Οὔτε γάρ.] Ἄμεινον ἐν τῷ Ἐγχ. Οὐ γάρ. —— ΕΔ. 10, ὀργίζεσθαι.] Ἐγχ. ὀρέγεσθαι. —— ΕΔ. 11, ὑπὸ τῶν ἀπαντώντων.] ΔΓ, ὑπὸ τῶν ἀπάντων. —— ἐν δίκῃ.] Ἐγχ. « ἐν δίκῃ, ἐν πραγματίῳ παντί » πλεονάζον τρισὶ λέξεσι. —— ΕΔ. 13, φιλοπονεῖν.] Ἐγχ. φιλοτεχνεῖν. —— σάσιν ἔχειν.] Ἐγχ. τάξιν ἐπέχειν. —— ΕΔ. 14, Ὁ δὲ, ΜΗ ΓΑΡ ΕΓΩ ΣΟΙ ποτ' ἔφη κ. τ. λ.] ΗΔ, ἀντὶ τοῦ, « Ὁ δὲ, Μὴ ΠΑΡΕΡΓΩΣ » ποτ', ἔφη. » Ὁ νοῦς, Μετὰ τὴν τοῦ Γάλβα σφαγὴν τοῦ διαδεξαμένου τὸν Νέρωνα, ἔφη τις (τῶν ἀρνουμένων δηλονότι τὴν πρόνοιαν) τῷ Ῥούφῳ, Ἔχεις μοι νῦν, ὦ Ῥοῦφε, ἀποδεῖξαι, ὅτι ὁ κόσμος προνοίᾳ διοικεῖται; οὐ γὰρ ἔφθη Νέρων σφαγεὶς, καὶ ἐπεσφάγη αὐτῷ, οὐχ ὅμοιος ὢν, ὁ μηδ' ὅλοις ὀκτὼ μησὶ βασιλεύσας Γάλβας: Πρὸς ὃν ὁ Ῥοῦφος· Μὴ γὰρ ἐγώ σοι ποτὲ, ὦ βέλτιστε, ἀπὸ τῆς τοῦ Γάλβα ἀναγορεύσεως ἐπεχείρησα δεῖξαι, ὅτι ἔστι πρόνοια;

ΚΕΦΑΛΑΙΟΝ ις', ΕΔΑΦΙΟΝ 1, τὸν συγκαθιέντα] τὸν συναναστρε-

Digitized by Google

φόμενον. —— ΕΔ. 3, ἠσβολωμένῳ .... τῆς ἀσβόλης.] Ἡ ἀσβόλη θηλυκῶς (καθὰ καὶ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ), καὶ ὁ καὶ ἡ Ἄσβολος, κοινῶς. Τὸ δὲ παρὰ τοῦτο Ἀσβολόω, ἡ συνήθεια εἰς τὸ Ἀσβολόνω τρέψασα, ἐπὶ τῆς αὐτῆς σημασίας τοῦ, Ἀσβόλη χρίω, κέχρηται. Τῷ μέντοι συνθέτῳ, Ἀπασβολόνω, μεταφορικῶς, τὸ ἐξελέγχων σιγᾷν καταναγκάζω· (déconcerter, confondre) σημαίνει (Ἴδ. καὶ τὰς εἰς τὸν Πλουτάρχ. Κίμ. σημ. σελ. 389). —— ΕΔ. 4, ἂν περὶ μονομάχων....περὶ ἀνθρώπων.] Ἐπιθι τὰ ἐν τῷ Ἐγχειριδίῳ (XXXIII § 2). —— ἂν σκώπτῃ, ἂν γελοιάζῃ, ἂν κακοηθίζεται.] Ἐπιθι τὰ ἐξῆς (IV, ς', 31) σημειωθησόμενα περὶ τοῦ Κακοηθίζεσθαι. —— ΕΔ. 5, ἐν πάσῃ συμπεριφορᾷ] ἀναστροφῇ καὶ συνομιλίᾳ. —— ΕΔ. 7, ἀπὸ δογμάτων] ἀπὸ δόξης εὐσταθοῦς, καὶ πεφυκυίας ἐν τῇ ψυχῇ πειθοῦς. —— σικχᾶναί ἐστιν.] Ἀμεταβάτως τὸ Σικχαίνειν ἐνθάδε, ὡς καὶ παρὰ τῷ Ἀντωνίνῳ (Ε', Ϛ'), ὅπερ ἡ παρ' ἡμῖν συνήθεια κατὰ μέσην διάθεσιν, καὶ ἐκθλίψει τοῦ κ, Σιχαίνομαι, λέγει. Ὅτι δὲ καὶ οἱ ἀρχαῖοι, κατὰ μέσην διάθεσιν ἐχρῶντο ἐσθότε τῷ ῥήματι, δηλοῖ Φρύνιχος, ἀποδοκιμάζων ὅλως τὸ ῥῆμα, ὡς ἀνάττικον. « Σικχαίνομαι. » Τῳόντι ναυτίας ἄξιον τοὔνομα, ἀλλ' ἐρεῖς Βδελύσσομαι, ὡς Ἀθηναῖος. » Οὐ μέντοι Καλλίμαχός ἐστιν ὁ χρησάμενος τῷ μέσῳ, ὡς φέρει τὰ Λεξικά, ἀλλ' ὁ Ἀκύλας· ἐν γὰρ τῇ Ἐξόδῳ (α', 12), ἔνθα οἱ Ἑβδομήκοντα φασί, « Καὶ ΕΒΔΕΛΥΣΣΟΝΤΟ οἱ Αἰγύπτιοι ἀπὸ τῶν υἱῶν » Ἰσραὴλ » ἡ τοῦ Ἀκύλα μετάφρασις φέρει ΕΣΙΚΧΑΙΝΟΝΤΟ. —— τοὺς προτρεπτικοὺς] λόγους. —— ἢ ἄνω κάτω θρυλλεῖται.] ΔΓ, ἄνω καὶ κάτω. Ἴσως δ' ἐγέγραπτο πάλαι, « Ἦν ἄνω κάτω θρυλλεῖτε » πρὸς τοὺς μαθητὰς τοῦτο λέγοντος Ἐπικτήτου. —— ΕΔ. 9, ΕΙΣ ἀσφάλειαν.] Ἐκ ΔΓ, ἀντὶ τοῦ ΠΡΟΣ. —— συγκαταβαίνειν] συναναστρέφεσθαι, ὅπερ ἀνωτέρω (§ 3) Συγκαθιέναι, εἴρηκε. —— Ἐγγράφετε.] Μεταμέλει μοι μὴ προελομένῳ τὴν ΔΓ, ἐγράφετε· καθάπερ ἐρεῖ κἀν τοῖς ἐξῆς (III, κς', 3), « Πολλὰ δ' ἀνέγνως τοιαῦτα, πολλὰ δ' ἔγραφες. » —— ΕΔ. 11, τοὺς ἁπαντῶντας καὶ λέγοντας] τοὺς ἐν τῇ πατρίδι πολίτας, τοὺς γινώσκοντας, καὶ ξενιζομένους, ἐπὰν ὁρῶσιν ἡμᾶς ἄφνω σχῆμα φιλοσόφου καὶ τάξιν ἀνειληφότας. Ἔπιθι καὶ τὸ Ἐγχειρίδιον (XXII).

ΚΕΦΑΛΑΙΟΝ ιζ', ΕΔΑΦΙΟΝ 4, Φιλόστοργος.] Ὄνομα κύριον μειρακίου τινὸς, αἴσχιστα διατεθεμένου τὴν ὥραν. Τοῦτο γάρ ἐστι τὸ μετὰ Σούρκ (οὕτως ὀνομαζομένου τινὸς Ῥωμαίου) κοιμᾶσθαι. —— ΕΔ. 8,

Digitized by Google

Τί ἔστι τοῦτο; ὁ πατήρ μου οὐδὲν δίδωσι. Ἄλλο οὖν οὐδέν; Οὐδέν.] Προσθεῖναι δεῖν ἔγνω ταῦτα ὁ πρὸ ἐμοῦ, ἐν οὐδενὶ τῶν ἀντιγράφων φερόμενα. —— Τί τοῦτο ἔξωθεν...προσκαταψεύσασθαι;] Ἐξ ΕΔ προσέθηκα τὴν πρώτην λέξιν (τί), ἐρωτηματίσας καὶ τὴν περίοδον.

ΚΕΦΑΛΑΙΟΝ ιή, ΕΔΑΦΙΟΝ 3, τάδε τινά.] Ἴσ. γρ. τοιάδε τινα. —— Κτησείδιον] ἀπὸ τῆς ἀττικῆς γενικῆς, Κτήσεως. ΔΓ, Κτησίδιον, ἀπὸ τῆς ἰωνικῆς γενικῆς Κτήσιος. —— ΕΔ. 4, τὸ ἐκεῖνον ἀποφήνασθαι] τὸν κριτήν σου· τί ἐκεῖνος ἀποφανεῖται περὶ σοῦ. —— ΕΔ. 5, Ἄλλο μηδὲν....ἀπολέσαι.] Ἐξ ΕΔ, τὸ Ἀπολέσαι, ΑΤ, Ἀπολέσθαι. ΔΓ (μετὰ συνδέσμου), Ἄλλο δὲ μηδέν. Παρήνει γε μήν τις τὸ Ἄλλο τρέπειν εἰς τὸν σύνδεσμον Ἀλλά. Καὶ τούτων ὅμως οὕτως ἐρευνηθέντων, οὐδὲν μᾶλλον σαφὲς ἐχει τὸ χωρίον. Εἴη δ' ἂν οὖν ὁ νοῦς τοιοῦτος· Ὁ πατήρ σου, μὴ ἐκπληρώσας τὰ τοῦ πατρὸς πρὸς σὲ καθήκοντα, ἀπώλεσε τὸ φιλόστοργον, τὸ ἥμερον, ἔμβραχυ αὐτὸν τὸν πατέρα. Μὴ ζήτει οὖν, τούτου ἕνεκα (τοῦ μὴ πατρικῶς ἐκεῖνόν σοι χρήσασθαι) εἰ ἄλλο τι ἀπώλεσε παρὰ τὸ εἶναι πατέρα. —— ΕΔ. 7, κρινεῖ.] ΗΔ, ΑΤ, κρίνει. —— ΕΔ. 8, κριθῆναι δ', ἢ μὴ κριθῆναι.] Ἐπὶ τοῦ Κατακριθῆναι, ἐνθάδε. —— ΕΔ 9, αὐτὸς ὄψεται.] Τῷ παρακμάζοντι ἑλληνισμῷ συνήθης Λατινισμὸς (ipse viderit), ᾧ καὶ Μάρκος Ἀντωνῖνος οὐχ ἅπαξ ἐχρήσατο (Ἰδ. Μαρκ. Πίνακ. λέξ. Ὄψεται), καὶ πρὸ τούτων οἱ Εὐαγγελισταὶ (Ματθ. κζ', 4 καὶ 24. Πράξ. ιή, 15). Δύναται δὲ ταὐτὸ τῷ παρ' Ἕλλησιν, Αὐτῷ μελέτω. Καὶ ἡ χρῆσις ἐπὶ παντὸς ἀριθμοῦ, Αὐτὸς ὄψεται, Αὐτοὶ ὄψονται, καὶ προσώπου δέ, Αὐτὸς ὄψει, πλὴν τοῦ πρώτου. Ἔσωσεν αὐτὸ καὶ ἡ παρ' ἡμῖν συνήθεια, ἐπὶ μόνου τοῦ τρίτου, συνημμένον τῷ προστακτικῷ μορίῳ, οἷον, Ἂς ὄψεται, Ἂς ὄψονται.

ΚΕΦΑΛΑΙΟΝ ιθ', ΕΔΑΦΙΟΝ 4, χάσκοντες,] περιβλέποντες· ἐφ' ἧς ἐννοίας ἐξηγήσατο Ἡσύχιος τὸ σύνθετον, « Χασκωρεῖν, περιβλέπειν. » Τὸ γὰρ προσπταίειν, ἐκ τοῦ μὴ τῇ βαδίσει προσέχειν, ἀλλ' ὧδε κἀκεῖσε τὰς ὄψεις περιστρέφειν, συμβαίνει. —— Μεταθῆναι αὐτόν;] τὸν λίθον εἰς ἑτέραν ἧς κατεῖχε χώρας; —— ΕΔ. 5, ἐκ βαλανείου.] Ἔθος Ῥωμαίων δηλοῖ, τὸ λούεσθαι πρὸ τοῦ δείπνου. —— Μὴ γὰρ ἐκείνου....ΑΛΛ' ΟΥ̓ ΤΟΥ̓ παιδίου ἡμῶν;] Ἐξ ΕΔ, ἀντὶ τοῦ, ΑΛΛΑ ΤΟΥ̓. Ἠρωτημάτισα δὲ καὶ τὴν ὅλην περίοδον ἐκ ΔΓ. Ὁ νοῦς πρόδηλος,— Μὴ γὰρ τοῦ μαγείρου, καὶ οὐ τοῦ παιδίου (ΔΓ παιδαρίου) ἡμῶν, κατεστήσαμέν σε παιδαγωγόν;

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ κ', ΕΔΑΦΙΟΝ 4, ὠφεληθῆναι. Τὸν θεόν σοι· ἀπὸ θανάτου κ. τ. λ.] Μετήλλαξα (ὃ καί τινες τῶν προτέρων ἐκδοτῶν πεποιήκασι) τὴν ςίξιν τοῦ τέως οὕτως ἐστιγμένου, « Ὠφεληθῆναι, τὸν » θεόν σοι· ἀπὸ θανάτου. » Τὸ γάρ, Τὸν θεόν σοι, καλῶς ἂν συνήπτετο τοῖς προηγουμένοις, εἰ ἦν ἐλλειπτικὸν, (ὡς ἔδοξε τῷ πρὸ ἐμοῦ) τοῦ Ὄμνυμι. Ἐλλείπει μὲν οὖν, καθὰ σεσημείωται ἐν τοῖς πρόσθεν (σελ. 355), προθέσει δὲ μόνῃ, καὶ οὐδὲν πλέον σημαίνει τοῦ ἐν χρήσει πλείονι προθετικοῦ, Πρὸς θεοῦ. —— ΕΔ. 5, ὁ Μενοικεὺς] ὁ υἱὸς τοῦ Κρέοντος, ὁ σφάξας ἑαυτὸν ὑπὲρ τῆς πατρίδος (Ἀπολλοδώρ. Βιβλιοθ. III, 6). —— ΤΟΙΑΥΤΑ ΤΙΣ εἰπὼν κ. τ. λ.] Ἴσ. γρ. ΤΟΙΑΥΤ' ΑΝ ΤΙΣ. Ὁ νοῦς, ὥσπερ ἐξεδέξαντο οἱ πρὸ ἐμοῦ, Τοιαῦτά τις λέγων καὶ δοξάζων ὅτι ἡ ὑγεία ἀγαθὸν, ἡ δὲ νόσος κακὸν, δύναται ὠφεληθῆναι, οἷα ὁ Μενοικεὺς ὠφελήθη; Ἔςι δὲ καὶ ἐκ τοῦ ἐναντίου νοῆσαι, Τοιαῦτά τις εἰπὼν, ὅτι τὸ καλῶς ὑγιαίνειν ἀγαθὸν, τὸ δὲ κακῶς, κακὸν, κ. τ. λ. Ἴσως δὲ καὶ τὸ Εἰπὼν μεταποιητέον εἰς τὸ Ποιῶν, καθὰ παρήνει τις τῶν κριτικῶν. Οὐ πάνυ τι σαφὲς τὸ χωρίον. —— Ἔα.] « Ἔα δή, ἄγε δή. » Ἡσυχ. —— ΕΔ. 7, Ὁ τοῦ Ἀδμήτου πατὴρ] οὗ ἐπεμνήσθη καὶ ἀνωτέρω (II, κϛ', 11). —— ΕΔ. 10, ὁ μὲν ΤΟΝ ΤΡΑΧΗΛΟΝ ΚΑΘΑΠΤΩΝ.] ΗΔ, ἀντὶ τοῦ, ΤΟΥ ΤΡΑΧΗΛΟΥ ΚΑΘΑΠΤΩΝ. Ὤφειλε γὰρ εἶναι Τοῦ τραχήλου καθαπτόμενος· ὁ γὰρ ἐνεργητικὸς τύπος ἄλλο τι σημαίνει. Διὸ καὶ ὁ Συνεῖδέρος ἐν τοῖς ἀμφιβαλλομένοις ἔταξε, τὸ Καθάπτων τοῦ προκειμένου χωρίου. Ἔςι δὲ γράφειν καὶ ΚΑΘΑΦΩΝ, οὕτω κατακεχωρισμένον ἐν τοῖς Λεξικοῖς ῥῆμα, καίπερ εὑρισκομένου τοῦ ἁπλοῦ, Ἀφάω. Προειλόμην τὸ Καθαπτᾶν ῥῆμα, ὃ καὶ Καθαπτάζειν ἂν λέγοιτο, κατὰ τὸ παρ' Ἡροδότῳ (II, 90) Χειραπτάζειν. Ταὐτὸ γὰρ ἄμφω σημαίνει, τὸ τῇ χειρὶ σηλονότι συνεχῶς ψηλαφᾶν καὶ πιέζειν, ὁτὲ μὲν ἠρέμα, ὁτὲ δὲ καὶ σφοδρότερον, οἷόν ἐςι τὸ Γαλλιςὶ λεγόμενον masser (παρὰ τὸ Ἑλλ. Μάσσειν). Ἔνθεν καὶ ὄνομα ἰατρικὸν ἅμα καὶ παλαιςρικὸν ἡ Χειραψία, ἣν ὁ Καίλιος (Cæl. Aurel. morb. Chronic. I, 4, § 121) manutigio ἡρμήνευσε. —— Ὁ ἀλείπτης,] ὃν καὶ Ἰατραλείπτην ὠνόμαζον· πολλὰ γὰρ εἶχεν ἡ γυμναστικὴ τῇ ἰατρικῇ κοινά. —— Ἄρον ὑπὲρ ἀμφοτέρας.] Οὐδὲ τοῦτο πάνυ τι σαφές. Ὁ πρὸ ἐμοῦ εἶκαζε, μήποτε γραπτέον ᾖ, « Ἄρον ὕπερον ἀμφοτέραις » Ἔπιθι τὰ προσεσημειωμένα (σελ. 380). —— ἐκεῖνος] ὁ ὕπερος· εἰ ἔρρωται τοῦ πρὸ ἐμοῦ ἡ ἀρτίως δηλωθεῖσα διόρθωσις. —— ΕΔ. 12, ὠφέλημα] κέρδος. —— ΕΔ. 13,

Digitized by Google

ἵνα ΔΕΙΞΗΣ ἔργῳ δι' αὐτοῦ κ. τ. λ.] ΗΔ (ὑπονοήσαντος ταύτην καὶ τοῦ πρὸ ἐμοῦ), ἀντὶ τοῦ ΔΕΙΞΗ ΣΕ. Ὁ νοῦς, Ἵνα καλῶς ἀποθνήσκων δείξῃς διὰ τοῦ θανάτου, τί ἐστιν ἄνθρωπος κ. τ. λ. —— ΕΔ. 14, μὴ ἀποθανεῖν.] Ἐκ ΔΓ προσείληφα τὴν ἀπαγόρευσιν. —— ΕΔ. 17, περὶ ἀναρχίας.] Οὐκ ἐπὶ τοῦ συνήθους ὧδε, ἀλλὰ ἐπὶ τοῦ ζητεῖσθαι ἀρχῆς, οὐκ εἶναί με ἕνα τῶν ἀρχόντων, ἀλλ' ἰδιώτην. —— ΕΔ. 18, μέχρι ὧδε] μέχρι τῆς σχολῆς, ἐν τῇ σχολῇ μόνον σπουδάζεται. —— Παιδάριον] οἰκέτην, δοῦλον. —— ΕΔ. 19, Λεσβίῳ] τῷ ἐκ τῆς νήσου Λέσβου, ἢ καὶ κυριωνυμικῶς ὡς δούλου ὄνομα· καθ' ὃ καὶ ἄλλα ὀνόματα δούλοις ἐπιτίθεται ἐκ τῶν ἐθνικῶν. Ἤλεγχε δ' ὁ Λέσβιος ἢ τὸν Ἐπίκτητον αὐτὸν, ἤ τινας τῶν αὐτοῦ μαθητῶν.

ΚΕΦΑΛΑΙΟΝ κά, ΕΔΑΦΙΟΝ 2, οὕτω μὴ ἐξεμέσῃς.] Ἀμεινον ἂν ἐγράφετο, « Οὕτω οὐκ ἐξεμέσεις » ὁριστικῶς, ἤ γοῦν, « Οὔ τοι μὴ ἐξεμέσῃς. » —— ἀκάθαρτον.] Τὸ τῶν ἐκδόσεων καὶ τῶν ἀντιγράφων καθαρὸν, ὁ πρὸ ἐμοῦ ἐξ εἰκασίας ἔτρεψεν εἰς τὸ Βλαδαρόν· ἕτεροι δὲ, εἰκάζοντες κἀκεῖνοι, τρέπειν παρῄνουν εἰς τὸ Ἀκάθαρτον, ὃ καὶ αὐτὸς προειλόμην, ὡς μακρῷ πιθανώτερον. —— ΕΔ. 7, προσθήσω ἄν που....φοράν.] Ἴσως περιγραπτέον τὸν συνητικὸν, γράφοντας Προσθήσω δέ που. Εἰ δὲ βούλοιο σώζειν, ἐκθέχου γε κατ' ἔλλειψιν, Ἄν που ἐγχωρῇ, ἄν που καιρὸς παραπέσῃ. Φορὰ δὲ, ὥδε ἡ ἐν τῷ λέγειν ὁρμὴ, ἡ τοῦ λόγου δύναμις. —— ΕΔ. 11, σχολὴν ἔχει] σχολῆς διδάσκαλός ἐστι. —— ΕΔ. 13, αἱ φωναὶ αἱ αὐταὶ, τὰ γινόμενα· τί διαφέρει ταῦτα ἐκείνων;] Οὕτως ἔξιξα, ἀντὶ τοῦ, « αἱ φωναὶ αἱ » αὐταί. Τὰ γινόμενα τί διαφέρει ταῦτα ἐκείνων; » Μετὰ τὸ Γινόμενα προσυπακουστέον ἐκ τοῦ προσεχοῦς, τὰ αὐτά. —— ΕΔ 16, στρόφιον] ᾧπερ οἱ ἱερεῖς περιεδοῦντο τὴν κεφαλήν. —— ΕΔ. 21, Ἰδοὺ ἐκεῖνος ταῦτα τὰ κολλύρια· κἀγὼ ἔχω.] Ἐκ διορθώσεως τῶν πρὸ ἐμοῦ, τὸ ἄρθρον μόνον αὐτὸς προσθεὶς, ΑΤ (πρότερον οὕτως ἐστιγμένου) Ἰδοὺ ἐκεῖνος ταῦτα· κολλύρια κἀγὼ ἔχω. —— Καὶ τίνας;] ΔΓ (προσγεγραμμένη ἐν τῷ ἐμῷ ΤΡ), καὶ τίνα. —— ΕΔ. 23, Πεπλάνηται,] καλῶν με φιλόσοφον. —— Οὐδ' ὁρμῶ.] Ὤφειλεν εἶναι, Οὔθ' ὁρμῶ, διὰ τὸ προηγησάμενον, Οὔτ' ὀρέγομαι.

ΚΕΦΑΛΑΙΟΝ κϚ', ΕΔΑΦΙΟΝ 5, ἀπὸ τῶν μεγίστων ἐπὶ τὰ μικρότατα.] Ἐκ ΔΓ (προσγεγραμμένης ἐν τῷ ἐμῷ ΤΡ) προσέθηκα τὴν δευτέραν πρόθεσιν. —— ΕΔ. 6, ΤΟ σαυτοῦ πρᾶσσε.] Διάφ. γρ. ΤΑ. Ὁ νοῦς, Φεῦγε, ἢ ποδῶν ἔχεις, τὸν λέοντα. —— ΕΔ. 9, περὶ τοῦ

Digitized by Google

πράγματος.] ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου. —— ΕΔ. 10, θρωπακιζόμενον.] Δρωπακίζεσθαι ἐλέγοντο οἱ ψιλούμενοι τὰς τρίχας τῷ θρώπακι, ὃς καὶ Ψίλωθρον (dépilatoire) ἐκαλεῖτο. Ἦν δὲ τοῦτο φάρμακον, ἐκ καυστικῶν συντεθειμένον καὶ βρωτικῶν ὑλῶν, ἐν αἷς ἦν καὶ ἡ πίττα· διὸ καὶ Πιττοκοπεῖσθαι ἔτι οἱ τοιοῦτοι ἐλέγοντο. —— ΕΔ. 17, ἐμπέσῃ] περιπέσῃ τινὶ τῶν περιεργασομένων καὶ ἐξετασόντων τὸν βίον αὐτοῦ. —— ΕΔ. 18, ἐπιθαρρεῖν.] Ἴσ. γρ. ἔτι θαρρεῖν· ἵν' ᾖ ὁ νοῦς, Ἔστιν ἔτι τολμᾶν ἐπιστάτην εἶναι καὶ διδάσκαλον ἄλλων; —— ΕΔ. 19, τὴν ἔνστασιν] τὴν προαίρεσιν καὶ ἐπαγγελίαν τοῦ βίου, ἐν ᾗ ἐτάχθη. —— ΕΔ. 22, Φεῦγε.] Ἐρεῖ μοί τις τύραννος, Φεῦγε; —— ΕΔ. 24, κατάσκοπος] ἀπέσταλται. —— ΕΔ. 25, μηδ' ὑπὸ φόβου.] Ἄμεινον ἂν ἦν, Μήθ' ὑπὸ φόβου, διὰ τὸ ἐχόμενον, Μήτε τινά. —— Παραχθέντα.] Ἐκ ΔΓ, ΑΤ, παραταραχθέντα. —— ΕΔ. 26, τὸ τοῦ Σωκράτους, Ω ἄνθρωποι.] Τῷ Κράτητι τοῦτο ἀνατίθησιν ὁ Πλούταρχος ἐν τῷ Περὶ παίδων ἀγωγῆς. —— ΕΔ. 27, Μύρωνα. . . . Ὀφέλλιον.] Τὸ μὲν πρῶτον Ἴσως ἐγέγραπτο Μίλωνα, ὅπερ ἐςὶν ὄνομα τοῦ προμνημονευθέντος (I, 6', 37) περιδοήτου ἐπὶ σώματος ἰσχύϊ ἀθλητοῦ Κροτωνιάτου· περὶ γὰρ σωματικῆς ῥώμης ἐνθάδε ὁ λόγος. Ὁ δ' Ὀφέλλιος ἕτερός τις (τῶν ἰσχυρῶν καὶ οὗτος) ἔοικεν εἶναι τοῦ παρὰ τῷ Ὁρατίῳ (Horat. *Satyr.* II, 2, § 2) Ὀφέλλου. —— ΕΔ. 30, ῥεγκόντων.] Καὶ πάλιν ὁ πρὸ ἐμοῦ ἔτρεψεν, ἀντιγράφοις πεισθεὶς, εἰς τὸ ῥεγχόντων. —— Πολλάς.] Ἐκ τοῦ Ποιητοῦ (Ἰλιάδ. κ', 15). —— ἀλαλύκτημαι.) Ἐκ τοῦ αὐτοῦ (Ἰλιάδ. κ', 94) —— ΕΔ. 32, οἱ γὰρ Ἕλληνες κ. τ. λ.] Ἀγαμέμνων ὑποτίθεται λέγων ταῦτα. —— ΕΔ. 34, Οὐᾶ· βασιλεύς.] Ἐπιφώνημα χλευαστικὸν τὸ Οὐᾶ ἢ Οὐά, τὸ τοῖς Ῥωμαίοις, Vah! (Γαλλ. Ah!) καθ' ἑαυτὸ ἐκφωνούμενον, ὥσπερ τὸ παρὰ τῷ Εὐαγγελιστῇ (Μάρκ. ιε', 29) « Οὐά, ὁ καταλύων τὸν ναὸν » κ. τ. λ. » Τὸ δὲ Οὐαὶ (Ῥωμ. Væ!), σχετλιαστικὸν, πρὸς θοτικὴν ὡς ἐπὶ τὸ πολὺ φερόμενον. —— ΕΔ. 36, Τί δὲ καὶ ἦρχου] εἰς Τροίαν; —— Μή τι ὄρεξις ὑμῖν;] σοί τε καὶ Μενελάῳ. —— ΕΔ. 37, Τίνων ὄντων; φρονίμων ὄντων.] Κακῶς ἐπλεόνασεν ἡ ἑτέρα τῶν μετοχῶν. —— ΕΔ. 43, ἀκώλυτόν τι.] ΗΔ ἡ προσθήκη τῆς ἀντωνυμίας, εἰκάσαντος τοῦτο καὶ τοῦ πρὸ ἐμοῦ. —— ΕΔ. 47, Ἴδετέ με, ὅτι ἄπολις κ. τ. λ.] Τὸν Διογένην αἰνίττεται, ὥσπερ ἐσημειώσαντο οἱ πρὸ ἡμῶν· ἐκεῖνος γὰρ ἦν, ὃς « Εἰώθει λέγειν τὰς τραγικὰς ἀρὰς αὐτῷ συνηντηκέναι· εἶναι » γοῦν Ἄπολις, ἄοικος, πατρίδος ἐστερημένος, πτωχὸς,

Digitized by Google

» πλανήτης, βίον ἔχων τοὐφημέραν » (Διογ. Λαερτ. VI, 38). —— Πραιτωρίδιον.] Σκηνίδιον. Τὸ Πραιτωρίδιον ὑποκοριστικόν ἐςι τοῦ Ῥωμαϊκοῦ prætorium, οὗ τοὔνομα ἐξελληνίσαντες, Πραιτώριον, ἐτήρησαν οἱ τῆς Νέας διαθήκης συγγραφεῖς. Ὁ δὲ Πλούταρχος (Εἰ πρεσβυτ. πολιτευτ. § VIII) καὶ ἕτεροι, Στρατήγιον, ἢ Στρατηγεῖον, μεθηρμήνευσαν, καθ' ὁμοιότητα τοῦ Ἀθήνησι Στρατηγίου (Δημοσθέν. Πρὸς Φαίνιπ. σελ. 1043), οἰκήματος ἢ τόπου, ἔνθα συνήρχοντο οἱ Στρατηγοί. Οἱ γὰρ τῶν Ῥωμαίων στρατηγοὶ, πρὸ τῆς τῶν Ὑπάτων (consules) προσηγορίας, prætores τὸ παλαιὸν ἐκαλοῦντο, καὶ τοῦτο ἐκ τῆς Ἑλλήνων φωνῆς εἰληφότες τοὔνομα. Ὁ γὰρ Prætor, Προΐτωρ ἂν εἴη, παρὰ τὸ προϊέναι (præire) καὶ ἡγεῖσθαι τοῦ στρατοῦ. Τούτου δὲ ἡ ἐν τῷ στρατοπέδῳ σκηνὴ prætorium (Πραιτώριον) ἐκαλεῖτο· ἔπειτα δὲ καὶ ὁ ἐν Ῥώμῃ οἶκος αὐτοῦ, καὶ τελευταῖον οἱ κατὰ τὰς ἐπαρχίας οἶκοι στρατηγῶν, κριτῶν, ἀρχόντων, Πραιτώρια ὠνομάσθησαν. Ἐνταῦθα δὲ καταχρηστικώτερον, ἐφ' οἱουδήποτε οἰκήματος. —— ΕΔ. 50, Οὔ· ἀλλὰ πηρίδιον κ. τ. λ.] Οὐχ οὕτω ποιοῦσι (φησὶν) οἱ νῦν ψευδῶς ἐπαγγελλόμενοι Κυνικοί· ἀλλὰ μέχρι πηριδίου, καὶ ξύλου, καὶ τῶν λοιπῶν κυνικῶν σκευῶν, ἐκείνους μιμοῦνται. —— ΕΔ. 51, ὁρᾷς πῶς μέλλεις ἐγχειρεῖν;] Ἴσως ἐγέγραπτο, Ὁρᾷς ὡς μέλλεις ἐγχειρεῖν; ἢ προστακτικῶς καὶ σίχα τῆς ἐρωτηματικῆς σίξεως, Ὅρα πῶς κ. τ. λ. —— ἀπογράφεσθαι] ἐγγράφεσθαι τῷ καταλόγῳ τῶν Ὀλυμπιάσι μελλόντων ἀγωνίσεσθαι. —— ἀταλαίπωρον] ἄκοπον καὶ ῥᾴστον. Οὕτως ἔγραψα (εἰκάσαντος τοῦτο καὶ τοῦ πρὸ ἐμοῦ) ΑΤ, ταλαίπωρον. —— ΕΔ. 52, οὐχὶ Ἀθηναίων ΜΟΝΟΝ.] Ἀμεινον ἂν γράφοις, ΜΟΝΩΝ. —— Εἰσελθόντα] εἰς τὸν ἀγῶνα. Ἐξ ΕΔ, ΑΤ, ἐξελθόντα —— πολλὴν ἀφὴν καταπιεῖν.] Ἴδε τὰ εἰς τὸ Ἐγχειρίδιον (XXIX, § 2) σημειωθέντα. —— ΕΔ. 55, ἐν τῇ σῇ εἰρήνῃ] ὁπότε σὺ, Καῖσαρ, εἰρήνην ἡμῖν παρέχεις τοῖς ὑπὸ σέ. —— ΕΔ. 56, Κυνικῷ δὲ Καίσαρ ΤΙΣ ἐστιν ἢ ἀνθύπατος ΑΛΛΟΣ, ἢ ὁ καταπεπομφὼς... Ζεύς;] ΗΔ ἡ τροπὴ τῆς ἀντωνυμίας, καὶ ἡ τοῦ δευτέρου διαζευκτικοῦ παράλειψις, ΑΤ.... « Καίσαρ ΤΙ ἐςιν ἢ ἀνθύπατος, Ἢ ΑΛΛΟΣ ἢ ὁ » καταπεπομφὼς.... Ζεύς; » Ὁ νοῦς πρόδηλος· Τῷ Κυνικῷ τίς ἄλλος ἐςὶ Καίσαρ ἢ ἀνθύπατος, πλὴν τοῦ καταπέμψαντος αὐτὸν εἰς τοὺς ἀνθρώπους Διὸς, ᾧ καὶ μόνῳ λατρεύει, μηδὲν ἐπιστρεφόμενος Καισάρων ἢ ἀνθυπάτων. —— ΕΔ. 57, προστασσόμενα.] Ἐξ ΕΔ, ΑΤ, πρασσόμενα. —— ἀθλούμενος.] Σημειοῦ τὸ μοναδικὸν τῆς χρήσεως, ἐπὶ

Digitized by Google

παθητικῆς διαθέσεως, Δ᾽ θλούμενος, τουτέστιν, εἰς ἄθλους ὑπὸ τοῦ Διὸς παρασκευαζόμενος, γυμναζόμενος· ὅπερ ἐκ μόνου τοῦδε τοῦ χωρίου κατεχώρισεν ὁ Σνεῖδέρος ἐν τῷ Λεξικῷ. —— ΕΔ. 58, ὅλεθρον Ἡ μάχην] ΔΓ (προσγεγραμμένη ἐν τῷ ἐμῷ ΤΡ.) ΚΑΙ. —— ΕΔ. 59, Ταχύ γ᾽ ἂν κ. τ. λ.] Πόσον ἂν ἀπέσχετο τοῦ ἐγκαλέσαι τῷ θεῷ ὁ τοιοῦτος, ὃς καὶ ἐνελαμπρύνετο ταῖς περιεχούσαις αὐτὸν ἀτυχίαις! —— ὅΣ ΓΕ ἐνεκαλλωπίζετο ταῖς κ. τ. λ.] Οἰκειότερος ἦν ὧδε ὁ συμπλεκτικὸς, ὃΣ ΚΑΙ, ὡς ἐσημειώσατο καὶ ὁ πρὸ ἐμοῦ. —— Ἐπὶ τίνι κατηγορήσει.] ἘΞ ΕΔ, ΑΤ (τῶν δύο μόνων λέξεων), Ὅτι κατηγορεῖ. —— ΕΔ. 62, Κυνικοῦ.] ἘΞ ΕΔ, ΑΤ, Κυνικόν. —— ΕΔ. 64, ΟΤΙ, χαίρειν ἂν αὐτῷ κ. τ. λ.] Ἡ συνάρτησις, Ὅτι φίλος ἐστὶν αὐτοῦ, ἂν χαίρειν αὐτῷ λέγῃ. Ἴσως μέντοι ἐγράφετο πάλαι, ΟΤΙ, ὃΣ χαίρειν ἂν αὐτῷ κ. τ. λ. —— ΕΔ. 65, Ὥστε, ἂν σοι δοκῇ, καὶ ἐνθυμήθητί τι τοιοῦτον· κοπρίαν κ. τ. λ.] ἘΞ ΕΔ προσέθηκα τὸ ἐγκλιτικόν. Ὁ νοῦς, Εἰ γνήσιος εἶ Κυνικὸς, ὑφορᾶσθαι ὀφείλεις τοὺς λεγομένους τούτους φίλους εἶναι· Κυνικῷ γὰρ φίλος οὐ γίνεται πλὴν Κυνικός. Συμφέρει σοι μᾶλλον κοπρίαν που περιβλέψασθαι ὑψηλὴν, ἐν ᾗ πυρέξεις, ἢ ἀπελθεῖν εἰς τοῦ προσκαλοῦντός σε φίλου, ὅπως νοσοκομηθῇς ὑπ᾽ ἐκείνου. Ἐν μὲν γὰρ τῇ κοπρίᾳ, ὡς Κυνικὸς τελευτήσεις· ἐν δὲ τῇ τοῦ φίλου οἰκίᾳ, ἐπιμελέστερον καὶ τρυφερώτερον θεραπευόμενος, κινδυνεύσεις ἐπιλαθέσθαι τῆς ἀρετῆς ἀπολέσας τὴν τοῦ Κυνικοῦ ἔνςασιν. —— ΕΔ. 67, δέξηται.] Ἴσ. γρ. δέξικτο. —— ΕΔ. 69, Τοιαύτης δ᾽ οὔσης καταστάσεως, οἵα νῦν ἐστιν, ὡς ἐν παρατάξει....ὅλον πρὸς τῇ διακονίᾳ τοῦ θεοῦ κ. τ. λ.] ὡς ἐν παρατάξει, τουτέστιν, ὡς ἐν πολέμῳ, ὥσπερ ἂν εἰ παρατεταγμένοι ἦμεν καὶ πολεμεῖν ἕτοιμοι. Ἀπαγορεύει τὸν γάμον τῷ Κυνικῷ, οὐχ ὡς μὴ προσήκοντα φιλοσόφῳ, ἀλλὰ διὰ τὴν ἐνεςῶσαν κατάςασιν. Ἐπειδὴ γὰρ ὑπέθετο τὸν γνήσιον Κυνικὸν οὐδὲν ἄλλ᾽ ἢ διδάσκαλον ἀπεσταλμένον ὑπὸ τοῦ Διὸς ἀνθρώποις ὑπάρχειν· ἡ δὲ τηνικαῦτα κατάστασις τῶν Ῥωμαίων καὶ τῶν ὑπ᾽ αὐτοῖς ἐθνῶν τοιαύτη ἦν, οἵα χρῄζειν διδασκάλων ἀπερισπάστως τὸ τῆς διδασκαλίας ἔργον ποιούντων, διὰ τοῦτο παραγγέλλει τῷ φιλοσόφῳ ἀπέχεσθαι τῶν τοῦ γάμου φροντίδων, ἵνα ὅλος πρὸς τῇ διακονίᾳ ᾖ τοῦ θεοῦ. Καὶ σημειοῦσθω τοῦτο, ὡς παραπλήσιον οἷς λέγει πρὸς Κορινθίους ὁ συνακμάσας σχεδὸν Ἐπικτήτῳ τοῖς χρόνοις Παῦλος ὁ Ἀπόστολος. Καὶ οὗτος γὰρ ἀπέχεσθαι γάμου παραγγέλλει τοῖς ἀγάμοις, οὐ τὸ γαμεῖν κωλύων, ὁ τίμιον καὶ ἀμίαντον τὸν γάμον ἀποφηνάμενος (Πρὸς Ἑβρ. ιγ', 4), καὶ

Digitized by Google

τοὺς κωλύοντας αὐτὸν ἐν τοῖς διδασκαλίοις δαιμονίων διδάσκουσι τάξας (Πρὸς Τιμόθ. Α′, δ′, 1-3), ἀλλὰ « Διὰ τὴν ἐνεστῶσαν ἀνάγκην » (Πρὸς Κορινθ. Α′, ζ′, 25-29). Ἦν δ' ἡ ἀνάγκη, τοῦτο μὲν ὁ τηνικαῦτα διωγμὸς τοῦ Νέρωνος, τοῦτο δὲ ἡ χρεία τῶν κηρυσσόντων τὸ Εὐαγγέλιον, οὓς ἔδει, ἀμερίμνους καὶ ἀπερισπάστους ὑπὸ φροντίδων ὠντινωνοῦν βιωτικῶν, μόνῳ προσέχειν τῷ κηρύγματι καὶ τῇ διακονίᾳ τοῦ Θεοῦ. —— ΕΔ. 70, δεῖ αὐτὸν ἀποδεικνύναι τινὰ τῷ πενθερῷ, χρὴ ἀποδιδόναι τοῖς [ΔΓ, καὶ τοῖς] ἄλλοις συγγενέσι κ. τ. λ.] Ἡμάρτηται ἴσως τὸ χωρίον· ἀκυρωτέρως γὰρ ἔοικεν ἐνταῦθα τεθεῖσθαι τὸ Ἀποδεικνύναι, ἐπὶ τῆς αὐτῆς σχεδὸν σημασίας τοῦ προσεχοῦς, Ἀποδιδόναι. Γραπτέον, οἶμαι, ἐπιδεικνύναι, ὥσπερ γέγραπται καὶ ἐν τῷ ἑξῆς τοῦδε τοῦ κεφαλαίου (§ 87) ἐπιδεικνύοντα, τουτέστι χρὴ δηλοῦν τὰ ἑαυτοῦ ἤθη τῷ πενθερῷ.——ΕΔ. 71, κουκούμιον.] ΗΔ, ΑΤ, κουκκούμιον. Ὑποκοριστικὸν γάρ ἐστι τοῦ Κουκούμα (cucuma) ῥωμαϊκοῦ ὀνόματος, τοῦ σημαίνοντος λέβητα ἐπιτήδειον εἰς τὸ θερμαίνειν ὕδωρ (Γαλλ. coquemar). Ἀφ' ἑτέρου δὲ ὑποκοριστικοῦ, τοῦ Κουκουμάριον, παρῆκται ἀφαιρέσει τῆς ἀρχικῆς συλλαβῆς τὸ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ, Κουμμάριον (pot à boire), πλὴν εἰ μή τις οἴοιτο, Κουμμάριον εἶναι παρὰ τὸ Κυμβάριον. « Κυμβίον, εἶδος ποτηρίου κ. τ. λ. » φησὶν Ἡσύχιος. —— Τὴν ἄλλην ἀσχολίαν.] Προσυπακουστέον τὸ Ἐῶ ῥῆμα. Ἴσως δέ, ὡς ἐκόπαζεν ὁ πρὸ ἐμοῦ, καὶ προσεθειμένον ἐν ἀρχῇ, ἐξερρύη τοῦ χωρίου. ——ΕΔ. 72, ἐκεῖνος ὁ βασιλεύς] ὁποῖον εἶναι δεῖν ἔλεγε (§ 49) τὸν ἀληθῆ Κυνικόν.——ΕΔ. 73, ἀνάτεινον.] Ἔπιθι τὰ ἐν τοῖς πρόσθεν (σελ. 348) σημειωθέντα. —— ΕΔ. 74, πινακίδια ἔχοντα, γραφεῖα, ΤΥΛΑΡΙΑ; καὶ τούτοις κραββάτιον ἑτοιμάσαι κ. τ. λ.] Οὕτως ἐθάρρησα γράψαι, ἀντὶ τοῦ ΤΙΛΑΛΑΡΙΑ, ὃ πράγματα παρίσχε τοῖς κριτικοῖς. Οἱ μὲν γὰρ ἕτρεπον εἰς τὸ Τιτλάρια (ὃ « Δέλτους, σχεδάρια, » πινακίδια » ἐξηγήσατο Σουΐδας), οἱ δὲ εἰς τὸ Πτιλάρια, τουτέστι γραφεῖα ἐκ πτερῶν (plumes)· Πτίλα γὰρ τὰ πτερά. Ὁ δὲ πρὸ ἐμοῦ, καὶ τὸ Τιλλάρια κατὰ χώραν ἐᾷν προείλετο, ὡς ταὐτὸ σημαῖνον τῷ Πτιλάρια. Παρατηρητέον γε μήν, ὅτι ἡ τῶν πτερίνων γραφείων χρῆσις οὔπω, ἐπ' Ἐπικτήτου, ἔγνωστο, ὀψιαίτερον ἀναφανεῖσα, κατὰ τὴν πέμπτην ἴσως ἀπὸ Χριστοῦ ἑκατονταετηρίδα (Ἴδε Beckmann, Beytr. zur Gesch. der Erfind. B. IV. S. 289). Τὸ δὲ Τυλάριον (coussin) ὑποκοριστικόν ἐστι τοῦ Τύλη, ὥσπερ καὶ τὸ παρὰ τῷ Αἰλιανῷ (Περὶ ζ. ἰδιότ. II, 11, σελ. 49), Τύλιον· ὅπερ οἱ Ἀττικίζοντες

Digitized by Google

Κνέφαλον ἔλεγον· « Κνέφαλον, τύλη....τύλιον, καὶ πῖλος καὶ » προσκεφάλαιον » φησὶν Ἡσύχιος. Ἔσωσεν ἡ συνήθεια οὐ μόνον τὴν λέξιν τυλάριον (κακῶς παρὰ τῷ Σομαυέρᾳ γραφομένην διὰ τοῦτ, « Τιλάρι, » τὸ, ςρῶμα, μεντέρι, τὸ, Materaccio, materasso....stramazzo, » strapunta. »), ἀλλὰ καὶ τὴν σχολικὴν χρῆσιν, περὶ ἧς Ἐπικτήτῳ ὁ λόγος ἐνθάδε. Εἴθισται γὰρ οὐκ ὀλίγοις τῶν παρ' ἡμῖν εἰς γραμματιστοῦ φοιτώντων παιδαρίων συνεπιφέρεσθαι, τοῦ ἐπικαθέζεσθαι ἕνεκα, ςρωμάτιον, ἐκ γναφάλων κατὰ τὰς τύλας συγκείμενον, ἔσθ' ὅτε δὲ καὶ ἁπλῆν προβάτου δοράν. —— ΕΔ. 76, γυναῖκα τίθης ἄλλον Κράτητα.] Τοιαύτη γὰρ ἦν ἡ γυνὴ τοῦ Κράτητος Ἱππαρχία. —— ἀπεριςάτων.] Ἐξ ΕΔ, ΑΤ, ἀπερισπάστων· τουτέστι, γάμων τῶν συνήθως γινομένων καὶ μηδὲν ἐξαίρετον ἐχόντων, οἷος ἦν ὁ τοῦ Κράτητος καὶ τῆς Ἱππαρχίας κατὰ περίςασιν γεγονώς. —— ΕΔ. 77, κακόρυγκα.] ΔΓ, κακόρυγκα. Ῥύγκος (ὅπερ οὐκ ἀπεικὸς καὶ διὰ τοῦ κ Ῥύγκος ἐξεννηέχθαι πάλαι, κατὰ τὸ Ῥέγχω καὶ Ῥέγκω) κυρίως ἐπὶ τῶν συῶν (groin) λέλεκται· μετηνέχθη δ' ἔπειτα καὶ ἐπὶ τὰ ὄρνεα (bec), καὶ τοὺς κύνας (museau) καὶ ἄλλα ζῶα, καὶ κατὰ παιδιάν, ἐπὶ πρόσωπον ἀνθρώπων, ὥσπερ καὶ παρὰ τοῖς Γάλλοις τὰ ἀνάλογα ὀνόματα. Εἶεν οὖν ἂν κακόρυγκα (ἢ μᾶλλον κακόῤῥυγκα) παιδία, οὐ μόνον κακοπρόσωπα, ἀλλ' ἔτι καὶ δύςροπα καὶ μεμψίμοιρα, καὶ συνεχῶς, συῶν δίκην, ῥυγχάζοντα, ἅπερ, ἡ παρ' ἡμῖν συνήθεια Γρυνιάρικα παιδία καλεῖ, κατὰ τὸ τῶν Γάλλων, παραπλησίῳ μεταφορᾷ, grognards. Ῥυγχιάζειν γὰρ ἢ Ῥυγχάζειν κυρίως λέγεται ἐπὶ τῆς φωνῆς τῶν συῶν (grogner), καὶ ἔοικε συγγενὲς εἶναι τῷ Ῥογχάζειν (ronfler)· ὁ γὰρ Ἡσύχιος ἐξηγεῖται τὸ « Ῥυγχιάζειν, » ΔΙΑΣΤΡΈΦΕΙΝ, ῥογχάζειν, » ὁ δὲ Φώτιος τρισυλλάβως, « Ῥυγχάσαι, » τὸ μυκτηρίσαι. » Ὅθεν ἐςὶν ὑποτοπάσαι μή ποτε ἐξερρύη τι τῆς παρ' Ἡσυχίῳ γλώσσης, οἷον, ΔΙΑΣΤΡΈΦΕΙΝ ΤΑ ΧΕΙΛΗ· τὸ γὰρ χλευάζειν καὶ μυκτηρίζειν, τῇ διαστροφῇ μάλιστα τοῦ ῥύγχους, τουτέστι τῶν χειλῶν καὶ τῶν μυκτήρων εἴωθε γίνεσθαι, ὃ καὶ Διαμυλλαίνειν λέγεται κατὰ τὸν αὐτὸν Ἡσύχιον « Διαμυλλαίνειν, χλευάζειν, ἐπὶ τοῦ » τὰ χείλη διαστρέφειν, διαμωκᾶσθαι. » —— ΕΔ. 78, Δανάος] ὁ πεντήκοντα θυγατέρων πατὴρ, ὡς Εὐριπίδης (Euripid. Fragm. Archel. II, 1) λέγει. —— Αἴολος,

Τοῦ καὶ δώδεκα παῖδες ἐνὶ μεγάροις γεγάασιν,
Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἠβώοντες,

Digitized by Google

ὡς φησιν Ὅμηρος (Ὀδυσσ. κ', 5). — ΕΔ. 80, ΤΟΥΣ τραπεζῆας πυλαωρούς.] Ἐκ ΔΓ (προσγεγραμμένης ἐν τῷ ἐμῷ ΤΡ, ἡμαρτημένως τῇ τάσει, Τοῦς) ἀντὶ τοῦ ΠΡΟΣ. Αἰνίττεται δὲ πάνυ κομψῶς, μυκτηρίζων τοὺς νέους Κυνικούς, ὡς παρασίτους, ὅπερ ὁ Πρίαμος παρὰ τῷ Ποιητῇ (Ἰλιάδ. χ', 69) λέγει περὶ τῶν ἰδίων κυνῶν,

Οὓς τρέφων ἐν μεγάροισι, τραπεζῆας πυλαωρούς,

τοὺς παρὰ τῇ τραπέζῃ τρεφομένους καὶ φύλακας τῆς πύλης. Ἐχρήσατο καὶ Πλούταρχος (Πῶς ἂν τις διακρ. τὸν κόλακ. τοῦ φιλ. § 5) τῷ ἐπιθέτῳ. — Οὐδὲν μιμοῦνται ἐκείνους, ἦ, εἰ ἄρα, ὅτι πόρδωνες γίνονται] οὐ μιμοῦνται τοὺς παλαιοὺς Κυνικούς, οἷον Διογένην, Κράτητα, καὶ τοὺς λοιποὺς, εἰ μὴ ἄρα κατὰ τοῦτο, ὅτι πέρδονται ἐν τῷ φανερῷ· οὐδὲ γὰρ ἐκεῖνοι παρῃτοῦντο τὰ τοιαῦτα, ὡς φύσεως ἔργα, καὶ ἑπομένως οὐκ αἰσχρά. Τὸ δὲ Πόρδων, τῷ περιεκτικῷ σχηματισμῷ, σημαίνει κυρίως τὸν φιλοῦντα πέρδεσθαι καὶ συνεχῶς τοῦτο ποιοῦντα, ὃς ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ Κλανιάρης (peteur) λέγεται, ὥσπερ καὶ ἡ οὐκ εὐσχήμων ἐνέργεια, οὐ μόνον Πορδὴ, ἀλλὰ καὶ Κλανία ἢ Κλάνη (pet), παρὰ τὸ Κλάνω (peter), ὅπερ ἀλλαχοῦ (Σημ. εἰς τὸ Ἐπικτ. Ἐγχειριδ. σελ. 117) ἠτυμολόγηται παρὰ τὸ Κλάζω. Ἔστιν οὖν καὶ ἡ Κλάνη παρὰ τὴν Κλαγγὴν ἡ Κλαγή· προὐφέρετο γὰρ καὶ δι' ἁπλοῦ τοῦ γ, ἢ δῆλον ἐκ τοῦ Κλαγερὸς, ἀντὶ τοῦ Κλαγγερός. — ΕΔ. 81, Ἐπεὶ οὐκ ἂν.... ΕΠΕΘΑΥΖΟΜΕΝ.] Ἰσ. γρ. ΕΤΙ ΕΘΑΥΜΑΖΟΜΕΝ. — ΕΔ. 83, Σαννίων] γελοιαστὰ, βωμολόχε, μωρὲ (bouffon). Ῥωμαίων ἡ λέξις (Sannio), τὴν ἀρχὴν ὅμως εἰληφυῖα ἀπὸ τοῦ Ἑλληνικοῦ Σάννας. « Σάνναν, τὸν μωρόν· οὕτω Κρατῖνος » φησὶν ὁ Φώτιος. Ἴσως δὲ καὶ σώζεται ἔτι καὶ νῦν που τῆς Ἑλλάδος ἡ λέξις Σάννας, εἴς τινα παραπλήσιον, οἷα εἰκὸς, μετασχηματισθεῖσα φωνήν· ἐπ' Εὐσταθίου γοῦν, Τζαννὸν ὁ χυδαῖος λαὸς ὠνόμαζε τὸν μωρὸν, ὡς ἐκεῖνός φησιν· « Ὁ παρὰ τῷ κωμικῷ Κρατίνῳ Σάννας οὐ τὸν εὐήθη ἁπλῶς δηλοῖ, » ἀλλὰ τὸν μωρόν· ὃν ἴσως ἡ κοινὴ γλῶσσα Τζαννὸν λελεῖ. Δόξοι » δ' ἂν εἰληφθαι ἡ λέξις ἀπὸ τῶν Ἀσιανῶν Σάννων, οὓς οἱ ἰδιῶται » Τζάννους καλοῦσι, βαρβαρικοὺς ὄντας καὶ ὡς εἰκὸς εὐήθεις δι' » ἀπαιδευσίαν. » (Εὐστάθ. εἰς τὴν Ὀδύσσ. ξ', σελ. 1761) — ΕΔ. 85, πολιτευομένου.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν (ἣν καὶ ὁ πρὸ ἐμοῦ ἀποκαθιστάναι ἐφίετο), ΑΤ, πολιτευσαμένου. — ΕΔ. 88, καὶ καθ'

Digitized by Google

αὐτὸ....ἐπέτρεφε τοὺς πολλοὺς] καὶ μόνον αὐτοῦ τὸ σῶμα ἔτρεφε τὰς ὄψεις τῶν ὁρώντων εἰς ἑαυτόν· τοῦτο γὰρ δύναται τὸ Ἐπέτρεφε (attirer les regards). —— ΕΔ. 90, μύξα] ταὐτὸν εἰπεῖν μυξώδης, ὃν ἀνωτέρω (II, κά, 10) Κορύζης μεστὸν, ἀντιδιεσταλμένως πρὸς τὴν Ὠξύτητα. « Κορυζῶν, μεμωραμένος » φησὶν Ἡσύχιος. —— ΕΔ. 91, πρὸς τὸν εἰπόντα.] Λυσίαν τὸν φαρμακοπώλην (Ἰδ. Διογ. Λαέρτ. VI, 42). —— ΕΔ. 92, Οὐ χρὴ παννύχιον] ἐκ τῆς Ἰλιάδος (δ', 24) τοῦτο καὶ τὸ ἑξῆς ἔπος. —— ΕΔ. 94, παρέχει.] Ἐξ ΕΔ, ΑΤ, παρεῖχε. —— ΕΔ. 95, Ἄγου κ. τ. λ.] Οὕτως ἔγραψα ὡς καὶ πρόσθεν (II, κγ', 42) ΑΤ, Ἀγοῦ. —— ΕΔ. 99, ὁ Τκῦρος εἴ κ. τ. λ.;] Παράθες τοῖσδε τὰ πρόσθεν (I, δ', 30). —— ΕΔ. 104, ἡ ἐπιβολή.] Ἐξ εἰκασίας τοῦ πρὸ ἐμοῦ προσέθηκα τὸν διαζευκτικόν. —— ΕΔ. 105, ῥέγκει.] Ὁ πρὸ ἐμοῦ, ῥέγχει. —— Ἀηστὴς προαιρέσεως οὐ γίνεται.] Ἐχρήσατο τούτῳ ὁ Μάρκος (ΙΑ', λς'). —— ΕΔ. 107, Περὶ τοιούτου πράγματος βουλεύῃ.] Ἐπίλογος ὅδε ὧν εἴρηκεν ἐν ὅλῳ τῷδε τῷ κεφαλαίῳ περὶ τοῦ κυνισμοῦ, ἀποτρέψαι βουλόμενος τῆς αἱρέσεως τὸν ἐρωτήσαντα, ὃν καὶ παρακαλεῖ λέγων, Τοσοῦτόν ἐστι βαρὺ, ὃ βουλεύῃ πρᾶγμα, ὥστε, πρὸς θεοῦ, δέομαί σου ἀναβαλέσθαι, μέχρις ἂν ἀκριβέστερον σκέψῃ, εἰ δύνασαι φέρειν αὐτό. —— Ἰδοῦ σου.] ΗΔ, ΑΤ, Ἰδού σοι. —— ΕΔ. 108, Πόλεμος δ' ἄνδρεσσι.] Ἐκ τοῦ Ποιητοῦ (Ἰλιάδ. ζ', 492).

ΚΕΦΑΛΑΙΟΝ κγ', ΕΔΑΦΙΟΝ 1, γινόμενον.] Ἐξ ΕΔ, ΑΤ, γινόμενα. —— ΕΔ. 2, τοιαύτη τροφὴ... τοιαύτη γυμνασία] συμφέρει. —— ΕΔ 6, Δεῦτε καὶ ἀκούσατέ μου.] Τοῦ παρακμάζοντος ἑλληνισμοῦ ὁ πλεονασμὸς τοῦ συνδέσμου· ὥσπερ καὶ παρὰ τοῖς Εὐαγγελιστῆς (Ἀποκαλύψ. ιθ', 17) « Δεῦτε καὶ συνάγεσθε. » —— ἐφ' ὅ τι ἀναφέρῃς.] Ἐξ ΕΔ ἡ προσθήκη τῆς προθέσεως· ἡμετέρα δὲ ἡ καθ' ὑποτακτικὸν γραφὴ τοῦ ῥήματος (ἀναφέρεις). —— ΕΔ. 7, Ὠφελῆσαι θέλεις; κ. τ. λ.] Οὕτως ἐξηγήσαντο τὸ χωρίον, Ἐάν τις ἐρωτήσῃ τὸν ἐπιδεικνύμενον, πότερον τοῦ ὠφελῆσαι ἢ τοῦ ἐπαινεθῆναι ἕνεκα ἐπιδείκνυται, εὐθὺς ἀκούσεται λέγοντος, Τί μοι μέλει τοῦ παρὰ τῶν πολλῶν ἐπαίνου; —— ΕΔ. 11, τὴν ἐμὴν σοι σωτηρίαν] ὀμνύω σοι τὴν ἐμὴν σωτηρίαν. Ὅρκου εἶδος ταὐτὸ σημαῖνον τῷ ἐν τῇ συνηθείᾳ, Μὰ τὴν ζωήν μου (sur ma vie)! —— ΕΔ. 12, ὅτι ἐν ὀρίξει.] Ἐξ ΕΔ προσέθηκα τὸν σύνδεσμον. —— ΕΔ. 13, τὰ παιδία εἶναι τοιαῦτα;] οἷός ἐστιν ὁ ὑπὸ σοῦ κολακευόμενος συγκλητικός. ——

Digitized by Google

ΕΔ. 15, Οὗτος.... χρείαν ἔχει.] Οὗτος ὁ ἐπαινῶν με ἐπὶ τῇ μεγαλοφυΐᾳ, μηδόλως ὄντα μεγαλοφυῆ, χρείαν τινὰ ἔοικεν ἔχειν ἐμοῦ. —— ΕΔ. 17, Δίωνος,] τοῦ ἐπικληθέντος Χρυσοστόμου, καὶ συνακμάσαντος Ἐπικτήτῳ. —— ΕΔ. 18, Ὅλον ἄλλο ἐστί.] Γαλλιστί τις τῶν κριτικῶν ἡρμήνευσε τοῦτο, C'est tout autre chose, τουτέστιν ἄλλο ἐστὶ τὸ ὡς ῥήτορα, καὶ ἄλλο τὸ ὡς φιλόσοφον ἐπαινεῖν τινα. —— ΕΔ. 19, ΔΟΚΟΥΜΕΝ ὅτι πεντακόσιοι.] Γραπτέον, οἶμαι, ΔΟΚΩ ΜΕΝ, τοῦ ἀνανταποδότου Μὲν ἐνθάδε ἴσον πως δυναμένου τῷ μειωτικῷ Γε· ὥσπερ καὶ ἐν τοῖς τοῦ Ξενοφῶντος (Οἰκονομ. XVI, 6) τοῖσδε, « Ἀλλὰ τοῦτο ΜΕΝ... ἱκανῶς ἤδη μοι ΔΟΚΩ ἀποτεθαρρηκέναι » Μικρὸν δ' ἀνωτέρω παρὰ τῷ αὐτῷ Ξενοφῶντι (Οἰκονομ. XV, 4) ἐγράφετο πάλαι· « Ταῦτά μοι ΔΟΚΩ ΜΕΝ, ἔφην ἐγώ, ἀργότερόν » πως κ. τ. λ. » ὅπερ, μηδὲν δέον, οἶμαι, εἰς τὸ ΔΟΚΟΥΜΕΝ μετήλλαξαν οἱ νεώτεροι ἐκδόται. —— Πόθεν ΑΥΤΩ;] ΗΔ, ἀντὶ τοῦ ΑΥΤΟ· ὑποτοπάσαντος τοῦτο καὶ τοῦ πρὸ ἐμοῦ. Αὐτῷ δὲ, τῷ Δίωνι, τουτέστι, πῶς ἠδύνατο Δίων τοσούτους μαθητὰς ἔχειν, ἤττων ὢν οὗ νῦν ἐπαινῶ; Παρατίθει τὸ ἐν τοῖς ἑξῆς (III, κδ', 70) Πόθεν αὐτοῖς; καὶ τὸ (IV, α', 48) Πόθεν αὐτῷ οὕτω καλῶς; —— ΕΔ. 20, Πολλάκις ἐθαύμασα κ. τ. λ.] Ἔστιν ἡ ἀρχὴ τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων, ὧν, φήσαντα, Τίσι ποτὲ λόγοις, παραβάλλει ὁ Ἐπικτήτῳ προσδιαλεγόμενος τῷ εἰπόντι σοφιστῇ (ὡς ἄμεινον δήθεν φράσαντι) Τίνι ποτε λόγῳ. —— ΕΔ. 21, Ἐμὲ δ' Ἄνυτος κ. τ. λ.] Ἃ Σωκράτης λέγει ἐν τῷ Πλάτωνος Κρίτωνι. Ἴδε καὶ τὸ Ἐγχειρίδιον (LIII). —— Ὡς ἐγὼ ἀεὶ τοιοῦτος κ. τ. λ.] Καὶ ταῦτα Σωκράτους. Ἴδε τὸ Ἐγχειρίδιον (LI, § 3). —— ΕΔ. 22, φιλοσόφοις ὑπ' αὐτοῦ συνταθῆναι.] Ἴδε τὸ Ἐγχειρίδιον (XLVI, § 1). —— ΕΔ. 23, προπέμπων.] Γραπτέον, οἶμαι, Προσπέμπων, τουτέστι πέμπων πρὸς αὐτὸν, μηνύων αὐτῷ διὰ θεράποντος ἢ φίλου τινὸς, καὶ παρακαλῶν, ἵνα ἀκούσῃ κ. τ. λ. —— Κοδράτου.] Τῶν κατ' ἐκεῖνο τοῦ καιροῦ εὐπαρύφων Ῥωμαίων ἔοικέ τις γεγονέναι ὁ Κοδράτος (Quadratus) οὗτος, ὃς ἔχρα τὴν οἰκίαν αὐτοῦ τοῖς σοφισταῖς, ἐπιδεικνύσθαι, κατὰ τὸν παρὰ Θεοφράστῳ (Χαρακτ. V.) ἄρεσκον. —— ΕΔ. 24, Οὐᾶ] Θαυμαστικὸν ὧδε τὸ Οὐᾶ, οὐχ ὡς ἀνωτέρω (III, κϛ', 34). —— εἰ δ' ἔστιν ἔπαινος κ. τ. λ.] εἰ δὲ οὐδέν ἐστιν ἐπαινετὸν πλὴν ὅ,τι λέγουσιν οἱ φιλόσοφοι ἐν τῇ κατηγορίᾳ τοῦ ἀγαθοῦ, τουτέστιν, ὅ,τι κυρίως ὀνομάζουσιν ἀγαθόν. Κατηγόρουν γὰρ οἱ Στωϊκοὶ τοῦ Ἀγαθοῦ καὶ πολλὰ ἕτερα προσ-

Digitized by Google

ρήματα, λέγοντες « Πᾶν ἀγαθὸν αἱρετὸν εἶναι· ἀρεστὸν γὰρ καὶ δο-
» κιμαστὸν καὶ ἐπαινετὸν ὑπάρχειν » (Στοβ. Ἐκλογ. σελ. 126, Heer. Ἴδε καὶ Διογ. Λαέρτ. VII, 98-101). —— ΕΔ. 25, Οὐδὲ γὰρ ἂν πρέ-
ποι κ. τ. λ.] Ἴδε Πλάτωνα (Ἀπολογ. Σωκράτ. σελ. 17). —— ΕΔ. 27, οὕτω δή.] Ἐξ εἰκασίας τοῦ πρὸ ἐμοῦ, ΑΤ, οὕτω δέ. —— καὶ οἱ ἰατροὶ παρακαλοῦσιν ἐν Ῥώμῃ] ὥσπερ καὶ ἐν πάσαις ταῖς τυραννουμέναις πό-
λεσιν (οἷα ἦν τηνικαῦτα ἡ Ῥώμη), ἔνθα, ὥσπερ ἐν ταῖς λοιπαῖς ἐπιστή-
μαις, καὶ ἐν ἰατρικῇ, ἐπιπολάζουσιν οἱ ἀμύητοι καὶ κάπηλοι τῆς τέχνης, οἵπερ ὑπὸ μηδενὸς παρακαλούμενοι, ἐξ ἀνάγκης ἐπὶ τὸ παρακαλεῖν ἀν-
δραποδωδῶς καταφέρονται. Ἐν δὲ ταῖς εὐνομουμέναις πόλεσιν, οἱ χρη-
στοὶ τῶν ἰατρῶν παρακαλοῦσι μὲν αὐτοὶ οὐδένα· παρακαλούμενοι δέ, ἐν παρέργῳ θέμενοι πᾶσαν ἄλλην πρᾶξιν, συντόνως ἐπὶ τὴν τοῦ παρα-
καλοῦντος οἰκίαν παραγίνονται, καλῶς εἰδότες ὅ φησιν ὁ θειότατος ἀρ-
χηγὸς τῆς τέχνης· « Ἢν παρῇ φιλανθρωπίη, πάρεστι καὶ φιλοτεχνίη » (Ἱπποκράτ. Παραγγελ. § 4, σελ. 63). —— ΕΔ. 29, Εἰ εὐσχολεῖτε κ. τ. λ.] Μνημονεύει, ὡς ἐσημειώσαντο οἱ πρὸ ἡμῶν, τῶν τοῦ Μου-
σωνίου Ῥούφου λόγων τούτων καὶ ὁ Γέλλιος (A. Gell. *Noct. Attic.* V, 1). —— ἐγὼ δ' οὐδὲν λέγω.] Ἢ διαγραπτέον τὸν συμπλεκτικὸν, ἢ τρεπτέον εἰς τὸν ΔΗ. Ὁ γὰρ νοῦς, Εἰ ὑμεῖς εὐκαιρεῖτε, ὥστ' ἐπαινεῖν τὰ λεγόμενα ὑπ' ἐμοῦ, καὶ ἐπικροτεῖν αὐτοῖς ὡς ἄριστα πεφρασμέ-
νοις, δῆλον ὅτι ἐγὼ οὐδὲν λέγω, τουτέστι φλυαρῶ. Τοὺς γὰρ τοῦ φιλοσόφου λόγους οὕτω χρὴ καθικνεῖσθαι τῆς ψυχῆς τοῦ ἀκούοντος, ὥστε πολὺ θᾶττον τοῖς ἑαυτοῦ ἁμαρτήμασι προσέχειν, ἢ τὸν λέγοντα θαυμάζειν. —— ΕΔ. 31, ἐπιφωνημάτια] λέξεις ἐπικοσμούσας ὁρίζον-
ται οἱ τεχνικοὶ τὰ ἐπιφωνήματα, καὶ τοῦ ἐν λόγοις πλούτου σημεῖον εἶναί φασι (Δημήτρ. Περὶ ἑρμην. § 106-108). Καὶ ἔστι ῥήτορσι μέν που χρήσιμα· φιλοσόφῳ δὲ φευκτέα, ὡς μαγειρικὰ ῥήματα, κα-
θάπερ αὐτὰ καλεῖ ὁ χαριέστατος κωμικὸς (Ἱππ. 215),

Τὸν δῆμον ἀεὶ προσποιοῦ,
Ὑπογλυκαίνων ῥηματίοις μαγειρικοῖς.

—— ΕΔ. 32, ἀπολίπωσι.] ΗΔ, ΑΤ, ἀπολείπουσι· παραπλήσιον γάρ ἐστι τῷ ἀνωτέρω (III, κα', 8). —— ΕΔ. 33, ὁ προτρεπτικὸς χαρα-
κτὴρ,] ὁ παρ' ἄλλοις Συμβουλευτικὸς καλούμενος. —— ἐλεγκτικὸς] ὁ Δικανικὸς λεγόμενος. — διδασκαλικὸς] ᾧ διδάσκεταί τι ἐπιστήμης ἢ τέχνης ἐχόμενον. —— ΕΔ. 34, μᾶλλον πάντων.] Ἴσ. γρ. μᾶλλον

Digitized by Google

ἄλλων πάντων. —— ΕΔ. 35, τριβωναρίῳ.] Ἐκ ΔΓ (προτεγραμμένης ἐν τῷ ἐμῷ ΤΡ) ΑΤ, τριβωνίῳ· οἰκειότερος γὰρ τῇ Ἐπικτήτου φράσει ὁ ὑποκορισμὸς οὗτος. —— πούλβινον.] καθέδραν ἐστρωμένην πουλβίνῳ (coussin). Ῥωμαίων ἡ λέξις pulvinus, δι' ἧς καὶ ὁ Ἐρωτιανὸς ἡρμήνευσεν ἑτέραν λέξιν ἱπποκράτους, « Σκύτινον ὑποκεφάλαιον, δερμάτινον » προσκεφάλαιον, ὅπερ καὶ Πούλβιον (γρ. Πούλβινον)· » σημαίνει γὰρ καὶ τοῦτο ἡ λέξις. —— ΕΔ. 36, Οὐδὲν ἂν.... χρείαν αὐτῶν ἔχει.] Εἰρωνικῶς· Οὐδὲν ἂν εἴη ἀνυσιμώτερον εἰς τὸ ἐπ' ἀρετὴν προτρέψαι, ἢ ὅταν ὁ λέγων ὄηλος γίνηται τοῖς ἀκροωμένοις, ὅτι χρείαν ἔχει τοῦ ἐπαινεθῆναι ὑπ' αὐτῶν. —— ΕΔ. 38, τὴν ἐπὶ Πύλαις] τὴν ἐν Θερμοπύλαις.

ΚΕΦΑΛΑΙΟΝ κδ', ΕΔΑΦΙΟΝ 1, τὸ ΑΛΛΩ παρὰ φύσιν, σοὶ κακὸν μὴ ΓΙΝΕΣΘΩ.] Τὸ μὲν ἐξ ΕΔ ἀντὶ τοῦ ΑΛΛΟΥ· τὸ δὲ ἐξ ΗΔ, ἀντὶ τοῦ ΓΕΝΕΣΘΩ. —— ΕΔ. 3, ἀφαιρετά.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν καταβιβάσας τὸν τόνον, ΑΤ, ἀφαίρετα. Οὕτω καὶ Προκαιρετὸς καὶ Διαιρετός· σεσημείωται τὸ Ἐξαιρετὸς καὶ Ἐξαίρετος, ἴσως διὰ τὸ διπλοῦν τῆς σημασίας. —— ΕΔ. 5, ἀντὶ τίνος] τίσεις δίκας; —— ἐπὶ τί κλᾷς σεαυτόν.] Ὁ πρὸ ἐμοῦ συγκεκομμένον ἐκ τοῦ Κλαίεις (Ἀττικ. Κλάεις) ὑπέλαβε τὸ Κλᾷς. Ἄμεινον, οἶμαι, οἱ παρὰ τὸ Κλάω ω (τὸ τέμνω ἢ κόπτω) ἐξηγούμενοι· οὐ μόνον γὰρ ἄχρηστος ἡ τοιαύτη συγκοπὴ, ἀλλὰ καὶ τὸ Κλᾷς (κόπτεις) οὐδὲν ἧττον τὸ κλαίεις σημαινεῖ μεταφορικῶς, ὥσπερ καὶ τὸ συνώνυμον μέσον ῥῆμα Κόπτεσθαι, ἐπὶ τοῦ κλαίειν ἢ θρηνεῖν τέτακται· —— κλαίων ἐκάθισας.] Σημειοῦ τὴν οὐδετέραν φράσιν, παραπλησίαν τῇ παρὰ τῷ Ξενοφῶντι (Ἀπομνημ. Β, Ι, § 12, σελ. 259) σημειωθείσῃ ἐνεργητικῇ, Κλαίοντας καθίσαντες. Ὅμοιον δὲ τῷ προκειμένῳ χωρίῳ καὶ τὸ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ, Τί κάθησαι καὶ κλαίεις; ὅταν κλαίοντά τινα παῦσαι βουλώμεθα. —— ΕΔ. 7, πάσχει ΑΥΤΑ.] Τῆς δεικτικῆς ἐνθάδε χρεία, ΤΑΥΤΑ. — ΕΔ. 12, αὐτῆς τῆς θέας.] Ἴσ. γρ. (δίχα τοῦ ἄρθρου) αὐτῆς θέας· ὅπερ ἐστὶ, ψιλῆς καὶ μόνης θέας. ——ΕΔ. 13, Πολλῶν δ' ἀνθρώπων] Ἐκ τοῦ Ποιητοῦ (Ὀδυσσ. α' 3). —— Ἀνθρώπων ὕβριν κ. τ. λ.] Ἐκ τοῦ αὐτοῦ (Ὀδυσσ. ρ', 487). —— ΕΔ. 14, ἀπέλειπεν.] ΗΔ, ΑΤ, ἀπέλιπεν. —— ΕΔ. 15, δικαίως ὁ πατήρ.] Κακῶς ἔοικε πλεονάζειν τὸ ἄρθρον. —— ΕΔ. 16, μέχρι λόγου] ψιλοῦ, καὶ οἷον ἐν παρέργῳ, ἄνευ ἐπιμασίας. Τοῦτο Ἀριστοτέλης (Πολιτικ. Γ', ε', 11, σημ. σελ. 283), Λόγου χάριν

εἴρηκε. Καὶ ἀμφότερα ταῦτα ἡ παρ' ἡμῖν συνήθεια ἑρμηνεύει διὰ τοῦ, Ὅσον νὰ λογάται (par manière d'acquit). Τὸ δὲ Λόγου χάριν παρ' αὐτῇ οὐκέτι τοῦτο σημαίνει, ἀλλὰ ταὐτὸ σχεδὸν τῷ Παραδείγματος χάριν (par exemple). —— ΕΔ. 18, Ὀδυσσεὺς... ἔκλαιεν.] Ἐκ τοῦ Ποιητοῦ (Ὀδυσσ. ε', 408). —— ἐπὶ πέτρας.] Ἐκ ΔΓ ὁ πρὸ ἐμοῦ ΑΤ, ἐπὶ πέτραις. —— ΕΔ. 21, ξένου.... δόγμασι τοῖς ἑαυτοῦ] ὃς γίνεται ξένος τοῦ κόσμου, ἀποσχιζόμενος τῆς κοινωνίας τοῦ σύμπαντος, καὶ, ὃ μόνον ἐστὶν αὐτῷ δυνατὸν, μαχόμενος τῷ Θεῷ, διὰ τῶν ἑαυτοῦ δογμάτων. —— ΕΔ. 24, ἀντιθήσω.] Ἴσ. ἐγέγραπτο, Ἀντιθήσομαι, ἢ Ἀντιστήσομαι. —— ἀντιδιατάξομαι ΑΥΤΩ̄ πρὸς τὰ ὅλα.] Ἴσ. γρ. ΑΥΤΟΣ (ἐγὼ μόνος), ὥσπερ εἶπεν ὁ πρὸ ἐμοῦ. —— παῖδες παίδων.] Ἐκ τοῦ Ποιητοῦ (Ἰλιάδ. δ', 161). —— ΕΔ. 31, παρὰ τοῖς φιλοσόφοις.] ΔΓ (προσγεγραμμένη τῷ ἐμῷ ΤΡ.) παρὰ τῶν φιλοσόφων. —— ΕΔ. 33, ταύτῃ προσλιπάρει.] ΕΞ ΕΔ, ΑΤ, ταύτην προσλιπάρει. —— ΕΔ. 34, στρατεία τίς ἐστιν ὁ βίος ἑκάστου κ. τ. λ.] Προσόμοιον τῷ τοῦ Ἀντωνίνου, « ὁ » δὲ βίος, πόλεμος » (Μάρκ. Ἀντων. Β', ιζ')· καὶ αὐτῷ δὲ τῷ τοῦ Ἰὼβ (ζ', 1) « Πότερον οὐχὶ πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ » τῆς γῆς; καὶ ὥσπερ μισθίου αὐθημερινοῦ ἡ ζωὴ αὐτοῦ; » ἔνθα οἱ Ἑβδομήκοντα, ἀντὶ τοῦ Πειρατήριον (ὅ ἐστι λῃστρικὸν σύστημα ἢ χωρίον), οἰκειότερον ἂν τῇ Ἑβραϊκῇ λέξει צָבָא (Τσαββᾶ) Στρατεία ἡρμήνευσαν. —— Μαντευόμενον.] ΗΔ, ΑΤ, μαντευόμενος. —— ΕΔ. 35, ἐκεῖνος ὁ στρατηγὸς] ὁ ἄνθρωπος καὶ ἀνθρώπων ἡγούμενος στρατηγός. —— καὶ οὗτος] ὁ Θεός. —— ΕΔ. 36, ἐν πολλῇ ἡγεμονίᾳ] ἐν μεγάλῃ τινὶ καὶ εὐρυχώρῳ βασιλείᾳ. —— καὶ οὐκ ἐν ταπεινῇ χώρᾳ] οὐκ ἐν τῇ ταπεινῇ τάξει τῶν ἀλόγων ζώων, ἀλλ' ἐν ὑψηλῇ, τῇ τῶν λογικῶν. —— ἀλλ' ΟΥ̓Κ ΕἸ βουλευτής.] ΗΔ, ἀντὶ τοῦ, ἀλλ' ΑΕἸ βουλευτής. Ὁ νοῦς, Καίπερ ἐν ὑψηλῇ τεταγμένος χώρᾳ, οὐκ εἶ βουλευτὴς τῆς πολλῆς καὶ μεγάλης ἡγεμονίας τοῦ κόσμου· ὁ Θεὸς γάρ ἐστιν ὁ μόνος ὕψιστος αὐτῆς βουλευτής, σὺ δέ, εἷς τῶν πολιτῶν, τοῖς τοῦ βουλευτοῦ ψηφίσμασι πειθαρχεῖν ὀφείλων. —— Οὐκ οἶσθα, ὅτι τὸν τοιοῦτον κ. τ. λ.] ὅτι τὸν μὴ ὄντα βουλευτὴν, ἀλλ' ἕνα τῶν λοιπῶν πολιτῶν, ὀλίγα δεῖ περὶ τῶν ὅλων διοικεῖν, τὰ πολλὰ δὲ, τῶν κατὰ μέρος τὶ πράττειν, ἢ ἀποδημοῦντα, ἢ τινῶν ἄρχοντα, ἢ ὑπό τινων ἀρχόμενον, ἢ στρατηγοῦντα, ἢ στρατηγῷ ὑπακούοντα, ἢ δικάζοντα, ὡς ἂν τῷ βουλευτῇ δόξῃ. —— ΕΔ. 41, οἱ μὲν τῆς Ῥωμαίων

Digitized by Google

πολιτείας καταψευδόμενοι] οἱ ψευδῶς ἑαυτοὺς πολίτας Ῥωμαίων εἶναι ἐπαγγελλόμενοι. —— ΕΔ. 42, ἀλλὰ νόμος.] Ἀποκτέστησα τὴν ἀρχαίαν γραφήν. Ὁ πρὸ ἐμοῦ ἐξ ἀντιγράφων, μετὰ τοῦ ἄρθρου, Ἀλλ' ὁ νόμος.—— ΕΔ. 44, ἐπὶ Θύρας.] Ἐξ ΕΔ, ΑΤ, ἐπὶ Θύραις.—— Θριδάκιον.] Τοῖς ἤδη προστεθημειωμένοις (σελ. 342) προστεθείσθω καὶ τάδε, ὅτι Γαληνὸς (Περὶ συνθ. φαρμ. τῶν κατὰ τόπ., τομ. XII, σελ. 509) διήρηκε τὰ ὀνόματα λέγων, « Θριδακίνης τῆς ἀκηπεύτου τε καὶ ἀγρίας, » ἣν ἰδίως ὀνομάζουσι ΘΡΙΔΑΚΙΝΗΝ· τὴν γὰρ κηπευομένην ὀνομά- » ζουσι ΘΡΙΔΑΚΑ. » Ὁ δὲ Ἀθήναιος (σελ. 68), Θριδακίνην φησὶ καλεῖν τοὺς Ἀττικοὺς τὴν παρὰ τοῖς λοιποῖς Θρίδακα. —— ΕΔ. 45, Μηδὲ τὸν πλούσιον] Θαύμαζε. —— ΕΔ. 49, ἐπὶ Θύρας.] Ἐκ ΔΓ, ΑΤ, ἐπὶ Θύραις. —— ΕΔ. 51, τὸ γράψαι,] ὡς χρὴ γράφειν αὐτό. —— τοῦ καλά.] ἴσ. γρ. (μετὰ διπλοῦ ἄρθρου) τοῦ τὰ καλά.] —— ΕΔ. 53, ἔτι ποθεῖς.] Ἐξ ΕΔ, ΑΤ, ἐπιποθεῖς. —— ΕΔ. 54, ἑώρακας.] ΔΓ, ἑώρας. —— ΕΔ. 57, στένε.] ΔΓ, στέναζε. —— ΕΔ. 61, ὑποτιμώμενος.] « Κελευόμενος ὑποτιμᾶσθαι, οὔτε αὐτὸς ὑπετιμήσατο, οὔτε » τοὺς φίλους εἴασεν, ἀλλὰ καὶ ἔλεγεν, ὅτι τὸ ὑποτιμᾶσθαι ὁμολο- » γοῦντος εἴη ἀδικεῖν. » (Ξενοφ. Ἀπολογ. Σωκράτ. § 23). « Εἰ οὖν » δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου τιμῶμαι, τῆς » ἐν Πρυτανείῳ σιτήσεως » (Πλάτ. Ἀπολογ. Σωκράτ. σελ. 36). —— ΕΔ. 66, πατρὶς ἦν ἐκείνῳ *μόνῳ *.] Εἰκότως πλεονάζειν (μηδὲν δίεν) ἔδοξε καὶ τοῖς πρὸ ἐμοῦ ἡ τελευταία λέξις. —— ΕΔ. 69, ἀνανάγκαστον.] ΔΓ, ἀναπάειζον. —— ΕΔ. 74, Τίς ὢν ἴδῃς.] Σὺ δ', ἐὰν ἴδῃς, τίς ὢν ἴδῃς; καθὰ παρέφρασεν ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 76, ποῖον ΑΥΤΩ̄ καρπιστὴν δίδῳς;] Ἴσ. γρ. ΣΑΥΤΩ̄, ἵν' ᾖ ὁ νοῦς, Ποῖον ὀνομάζεις σεαυτοῦ λυτρωτήν; Τίνα ἐπικαλῇ εἰς τὸ ἐξελίσθαί σε εἰς ἐλευθερίαν; Τούτῳ γὰρ τῷ ὀνόματι, Καρπιστής, ᾧ καὶ ἐν τοῖς ἑξῆς (IV, α', 113 καὶ 146, ζ', 17) Ἐπίκτητος χρήσεται, μεθηρμήνευσαν οἱ μεταγενέστεροι Ἕλληνες τὸ Vindex τῶν Ῥωμαίων, ὡς ἔστι μαθεῖν ἐκ τῶν Γλωσσαρίων « Vindex, ἔκδικος, καρπιστής. » — Vindiciæ, ἐλευθερίας ἐκδικίαι, καρπιστίαι. — Vindi- » cta.... ἐλευθερία ἐπὶ ἄρχοντος δοθεῖσα, ἐκδικία, καρπισμός. » Ἐσήμαινε δὲ καὶ τὸ ῥαβδίον ἡ Vindicta, ᾧ ἐφήπτοντο τῆς κεφαλῆς τοῦ ἐλευθερουμένου δούλου, λέγοντες τοὺς προσημειωθέντας ἀνωτέρω (σελ. 334) λόγους, οὓς ὁ Ἀρριανόπουλος οὕτω μετέφρασε, « Φαμὲν » τὸν παρόντα ἄνθρωπον εἶναι ἐλεύθερον καὶ πολίτην Ῥωμαίων. »

Digitized by Google

Ἀπὸ τοῦ ῥαβδίου δὲ τούτου, ὃ καὶ festuca, ὅ ἐστι Κάρφος, ἐκαλεῖτο, καὶ τὸν Καρπιστὴν παρωνομᾶσθαι, τροπῇ τοῦ φ εἰς τὸ π. « Κάρφος.... κεραία ξύλου λεπτὴ (baguette, houssine) » φησὶν Ἡσύχιος. —— ΕΔ. 81, διαβάλῃς] ΔΓ, διαβάλλῃς. —— ΕΔ. 82, περιβάλλῃ.] ΔΓ, περιβάλῃ. —— ΕΔ. 84, ὡς οὐδενί.... οἷόν ἐστι χύτρα.] Ἄσκει οὕτω προσπάσχειν αὐτῷ, ὡς πράγματι δυνατῷ ἀφαιρεθῆναι, ἢ ἀπολέσθαι. (Ἴδε Ἐγχειρδ. III). —— ΕΔ. 85, ἐπιδῷς] ΔΓ, ἐπίδος. Τὸ δὲ ἐξῆς, τὴν φαντασίαν, κατ' αἰτιατικὴν, οὐκ ὀρθῶς ἔχει. Διὸ γραπτέον, « ἐπιδῷς (ἢ ἐπίδος) σεαυτὸν τῇ φαντασίᾳ » ὡς εἴκαζεν ὁ πρὸ ἐμοῦ· ἢ συντομώτερον, « ἐπιδῷς τῇ φαντασίᾳ » προσυπακουομένης τῆς ἀντωνυμίας, κατὰ τὸ (Εὐριπιδ. Φοινισσ. 21),

Ὁ δ' ἡδονῇ δοὺς ἕς τε βακχεῖον πεσών.

—— ΕΔ. 86, σῦκον... ἂν δὲ χειμῶνος ἐπιποθῇς.] Ἴδε Μάρκ. Ἀντων. ΙΑ, λγ'. —— ΕΔ. 88, ἐν αὐτοῖς οἷς χαίρεις τινὶ] ἐν αὐτῇ τῇ χαρᾷ ἢ χαίρεις διά τι εὐτύχημα. —— μεταξὺ καταφιλοῦντα κ. τ. λ.] Ἐχρήσατο τούτῳ τε καὶ τοῖς ἑξῆς ὁ Μάρκος (ια', λδ'). Ἴδε καὶ τὸ Ἐγχειρίδιον (III). —— παιδίον.] ΔΓ, παιδάριον. —— ΕΔ. 91-92, ἀσταφίδας ἐκ τῆς σταφυλῆς.... εἰς ἕτερα μεταβολαί.] Ἐχρήσατο καὶ τούτῳ ὁ Μάρκος (ΙΑ', λε'). —— ΕΔ. 93, Τοῦτ' ἔστιν ἀποδημία, καὶ μεταβολὴ μικρά.] Διάγραφε τὸν συμπλεκτικὸν, παραινεσάντων τοῦτο καὶ ἑτέρων. —— ΕΔ. 94, Οὐκ ἔσῃ· ἀλλ' ἄλλο τι, οὗ νῦν ὁ κόσμος χρείαν ἔχει.] Οὐκ ἔσῃ, ὃ νῦν εἶ, ἀλλ' εἰς ἄλλο τι μεταβληθήσῃ, οὗ νῦν ὁ κόσμος δεῖται. —— ΕΔ. 95, ἐκπληρώσῃ.] ΔΓ, ἐκπληρώσει. —— ΕΔ. 96, Ὡς ἐλεύθερος κ. τ. λ.] Ἢ προσυπακουσέον, ἢ καὶ προσθετέον τὸν μέλλοντα ὑπαρκτικοῦ ῥήματος· « Ἔσομαι ὡς ἐλεύθερος. » —— ΕΔ. 97, Καλῶς σοι γένοιτο.] Ἴσον ἐνθάδε (φησὶν ὁ πρὸ ἐμοῦ) τῷ Οἰδά σοι χάριν. —— ΕΔ. 102, οὐ ζητήσω ἄλλον] τόπον. —— ΕΔ. 103, καὶ πάλιν ἄλλῳ ΕΛΘΕΙΝ καὶ ἄλλῳ.] Ὁ μὲν νοῦς πρόδηλος, Καὶ πάλιν πρὸς ἄλλον τοὺς περὶ τούτων λόγους ποιεῖσθαι, καὶ ἐκ τρίτου πρὸς ἄλλον· ἡ δὲ λέξις ἐσκότισται. Ἴσως γραπτέον ΠΡΟΣΕΛΘΕΙΝ, ἢ ΣΥΝΕΛΘΕΙΝ, ὥσπερ εἶπασαν οἱ πρὸ ἡμῶν. —— ΕΔ. 105, Ἤδειν θνητὸν γεγεννηκώς.] Ξενοφῶν ἐστιν ὁ εἰρηκὼς τοῦτο, ἀπαγγελθέντος αὐτῷ τοῦ θανάτου τοῦ υἱοῦ Γρύλλου (Διογ. Λαερτ. II, 55). —— ἀπακτός.] Ἐκ διορθώσεως τοῦ πρὸ ἐμοῦ, ΑΤ, ἀπότακτος. —— ΕΔ. 110, παρακολουθεῖν] νοεῖν, συνιέναι, καθὰ καὶ παρὰ τοῖς Γάλλοις ἔστ' ὅτε τὸ suivre. ——

Digitized by Google

ΕΔ. 113, εἰς Γύαρα πέμπει.] ΔΓ (προσγεγραμμένη κἀν τῷ ἐμῷ ΤΡ), ἀποστέλλει. —— ΕΔ. 116, φαγεῖν.] ΔΓ, φυγεῖν· οὐ συνεώρακα, τίνι νῷ, πλὴν εἰ μὴ ἐγέγραπτο Ἀποφυγεῖν, τουτέστι, τὰ μικρὸν ἀνωτέρω κατειλεγμένα, τὴν πενίαν, τὸ δεσμωτήριον, τὰ Γύαρα. —— πρὸς ἀφοβίαν, πρὸς ἀλυπίαν.] Ἐν τῷ ἐμῷ ΤΡ, ἐν μὲν τῷ κειμένῳ μόνον τὸ πρῶτον, Πρὸς ἀφοβίαν· τὸ δὲ Πρὸς ἀλυπίαν ἔξωθεν προσγέγραπται ὡς ΔΓ. —— ΕΔ. 117, Καισαριανοί.] Ἴδε τὰ σημειωθέντα ἐν τοῖς πρόσθεν (σελ. 318) —— ὀρδινατίων δήξεταί σε.] Δίκη τις, ἀγωγὴ εἰς δικαστήριον ἐνοχλήσει σοι. Ῥωμαίων ἡ λέξις Ὀρδινατίων (ordinatio), ἥτις κυρίως ἐλέγετο ἐπὶ τῆς προπαρασκευῆς τῆς δίκης (instruction d'un procès), κατὰ τοὺς ἐξηγητὰς τῶν γλωσσῶν· « Ὁρδινάρε λίτεμ, προκατάρξαι δίκην. Ὁρδινάτιο, προκατάρξις » Λέγει δέ που (*Epistol.* CIX) καὶ ὁ Σενέκας, advocato et litis ordinatore. Καὶ ἴσως κἀν τῷ προκειμένῳ χωρίῳ ἀντὶ τοῦ Ὀρδινατίων, ἐγέγραπτο Ὀρδινάτωρ. —— οἱ ἐπιθύοντες.... ἐπὶ τοῖς ὀπτικίοις.] Τὴν ἡμαρτημένην ταύτην λέξιν, ὀπτικίοις σημαίνειν ἐνόμισαν οἱ πρὸ ἐμοῦ τὰ καλούμενα τοῖς Ῥωμαίοις officia (λειτουργίας, ἀξιώματα) ἃ καὶ Ὀφφίκια ἔλεγον καὶ ἔγραφον οἱ μεταγενέστεροι Ἕλληνες. Ἴσως ἐγέγραπτο ὀπφικίοις, τοῦ ἑλληνισμοῦ δηλονότι ἕνεκα, ἀγνοοῦντος τὸν τοῦ φ διπλασιασμόν. Ὁ νοῦς, Οἱ θύοντες, ἐπὶ τῷ τυχεῖν ἀρχῆς τινὸς ἢ ἀξιώματος· ᾧ παρέβαλεν ὁ πρὸ ἐμοῦ τὸ ἐν τοῖς ἑξῆς (IV, δ', 47), « Πόσῳ μείζων αἰτία θυσίας, ἢ ὑπατεία, ἢ ἐπαρχία; »

ΚΕΦΑΛΑΙΟΝ κε, ΕΔΑΦΙΟΝ 4, ἀπαυδήσωμεν.] Τὸ Ἀπαυδᾶν ἡ παρ' ἡμῖν συνήθεια διὰ τοῦ Ἀποκάμνω καὶ διὰ τοῦ Ἀποστέκομαι, δυσὶ ῥήμασιν ἐπίσης ἑλληνικοῖς ἑρμηνεύει. Παράδειγμα τοῦ πρώτου ἐκ τοῦ Πλάτωνος (Μέν. σελ. 81) « Ἐάν τις ἀνδρεῖος ἢ καὶ μὴ » ἀποκάμῃ ζητῶν· » τοῦ δευτέρου, ἐκ τοῦ αὐτοῦ (Ἐπιστολ. η') « Πείθοντες.... μαλακῶς τε καὶ πάντως (γρ. πράως) μὴ ἀποστῆτε, » πρὶν ἂν κ. τ. λ. » —— ΕΔ. 5, νικώμενος τὴν περίοδον.] Ἔπιθι τὰ σημειωθέντα εἰς τὰ Πολιτικὰ τοῦ Πλουτάρχου (σελ. 119). —— τοῖς ἀποφυγοῦσιν ὄρτυξιν.] Ἐξηγήσατο τοῦτο ὁ πρὸ ἐμοῦ ἐκ τοῦ Πολυδεύκους· « Ὄρτυγα ἐνιστάντες τῷ περιγραπτῷ κύκλῳ, ὁ μὲν » ἔκοπτε τὸν ὄρτυγα τῷ δακτύλῳ· ὁ δὲ πρὸς τὴν πληγὴν ἐνδοὺς, ἀνε» χαίτιζεν ἔξω τοῦ κύκλου, καὶ ἡττᾶτο ὁ τοῦ ὄρτυγος δεσπότης. » —— ΕΔ. 6, παιδισκαρίου] Θεραπαίνης. —— ΕΔ. 9, τὰ πρώην λέγεις.] Ἰσ. γρ. τὸ Πρώην λέγεις. Τί τὸ ῥῆμα τοῦτο, Πρώην, συνεχῶς ἐπι-

Digitized by Google

φωνεῖς;—— ΕΔ. 11, Οἱ πόνοι ἆρα οἱ τῶν πειρατηρίων κ. τ. λ.] Ἀσαφὲς ἔδοξε τοῖς κριτικοῖς τὸ χωρίον, καὶ οἱ συνδοκεῖ. Ἴσως τοιοῦτόν τι βούλεται λέγειν Ἐπίκτητος· Πειρᾶσθαι χρὴ ἀδιαλείπτως ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίω μεταβαίνειν, μηδὲ πρόφασιν ποιεῖσθαι τοῦ τοῖς κακοῖς ἐμμένειν τὸ μακρὸν ἔθος καὶ τὸ ἀπὸ τοῦ ἔθους ἀζήμιον, λέγοντα· Πρώην ἔπραξα τὸ εἰθισμένον ὁτιδήποτε τοῦτο, καὶ οὐδέν μοι κακὸν ἀπὸ τῆς πράξεως προσεγένετο· διά τί μὴ καὶ νῦν πράξω. Ἴσως δὲ καὶ μάτην ἔσομαι πεπολεμηκὼς ἀμάχῳ ἔθει. Ἐγὼ δέ σοι λέγω, Μὴ ἀποκάμῃς πειρώμενος τοῦ τοιούτου πολέμου· νικήσεις γάρ ποτε. Κἂν ἅπαξ νικήσῃς, ὅμοιος ἔσῃ τῷ μηδέποτε ἡττηθέντι. Οἱ πόνοι ἆρα τοῦ μὴ παύεσθαι πειρώμενον ὠφέλιμοί εἰσι, κἄν τε ἑκόντες (τουτέστιν ἐκ παρασκευῆς καὶ τοῦ βελτίους γενέσθαι ἕνεκα), κἄν τε ἄκοντες (τουτέστιν ἀφοσιώσεως χάριν) αὐτοὺς ὑπομένωμεν.

ΚΕΦΑΛΑΙΟΝ κς΄, ΕΔΑΦΙΟΝ 1, φιλοτεχνοῦντες.] Τὸ φιλοτεχνεῖν ἐνθάδε, δύναται τὸ τῶν Γάλλων s'ingénier. —— ΕΔ. 5, οὐχὶ καὶ ἡ αὐτή.] Κακῶς πλεονάσαι ἔοικεν ὁ σύνδεσμος. —— καὶ ΤΟΥΣ ἀρχὰς τὰς μεγίστας ἄρξαντας.] ΗΔ, ἀντὶ τοῦ ΤΑΣ. ——ΕΔ. 7, οὐ γράφειν;] Προσθετέον τὸ, Δύνασαι, ὥσπερ εἴκασαν οἱ πρὸ ἐμοῦ, ἢ γοῦν προσυπακουστέον.——ΕΔ. 8, Εἴ σου οἱ γονεῖς πέντητες ΗΣΑΝ, Η ΑΛΛΟΥΣ ΓΕ κληρονόμους ἀπέλιπον, Η ΚΑΙ ζῶντες κ. τ. λ.] ΗΔ ΑΤ.... ΗΣΑΝ, ΑΛΛΟΥΣ ΔΕ κληρονόμους, ΚΑΙ ζῶντες. —— ΕΔ. 9, τὸ αἰσχρὸν ψεκτόν.] ΔΓ (προσγεγραμμένη ἐν τῷ ἐμῷ ΤΡ), Τὸ αἰσχρὸν ψεκτόν ἐστι. —— ΕΔ. 10, δίδοται.... δεδομένα.] ΗΔ τὸ Δέδοται, ἐκ δὲ ΔΓ τὸ Δεδομένα, ΑΤ, δίδοται.... διδόμενα. —— ΕΔ. 12, μὴ κλέψῃ] ΔΓ προσγεγραμμένη ἐν τῳ ἐμῷ ΤΡ), μὴ κλέψῃ τί. —— ΕΔ. 13, ἢ οὐ δύναμαι φέρειν.] Ἐν τῷ ἐμῷ ΤΡ. διαγέγραπται τὸ εἰς μηδὲν χρήσιμον ἀπαρέμφατον τοῦτο.—— ΕΔ. 14, περὶ τὸν τελευταῖον.... τόπον] ἕνα τῶν τριῶν, ὧν ἐν τοῖς πρόσθεν (III, β΄, 1-2) ἐμνημόνευσε.—— ΕΔ. 15, Οὐκ ἔδει τι προσκτήσασθαι.] Ἐξ ΕΔ προσέθηκα τὴν ἀντωνυμίαν. —— τίνα πώποτ' εἶδες.] ΔΓ, τίνα ποτ' εἶδες. —— Θριγκὸν... μηδενὶ τειχίῳ κ. τ. λ.] « Θριγκὸς (καθ' Ἡσύχιον), ἡ στεφάνη τοῦ τείχους, » περίφραγμα ὡς περίβολος· ἤγουν τὸ ἀνώτατον τοῦ τείχους κ. τ. λ.» —— ΕΔ. 18, προσθέσθαι τῇ διοικήσει] ἀκολουθῆσαι, πεισθῆναι τῷ διοικοῦντι τὸν κόσμον θεῷ. —— ΕΔ. 22, κεφαλὴν αὐτοῦ ΛΑΒΕ.] Γραπτέον, οἶμαι, ΒΑΛΕ, καὶ τὸ Αὐτοῦ οὐκ ἀντωνυμίαν, ἀλλ' ἐπίρρημα ἐκδεκτέον, συνώνυμον τοῦ Ἐνταῦθα. Εἰσὶ γὰρ ῥήματα τοῦ

Digitized by Google

τρίδοντος πρὸς τὸν τριδόμενον, ὥσπερ καὶ τὰ προηγούμενα καὶ τὰ ἑπόμενα. —— ΕΔ. 26, κυνὸς... οὐδ' ἀλεκτρυόνος] τοῦ μὲν διὰ τὸ φυλακτικὸν, τοῦ δὲ διὰ τὸ ἀγγελτικὸν τῆς ἡμέρας. —— ΕΔ. 27, λίπωσιν.] ΔΓ, λείπωσιν. —— ΕΔ. 31, ἐπετάσσετο] προσετάσσετο ὑπὸ τοῦ Εὐρυσθέως. —— ΕΔ. 33, ναυαγός.] Αἱ ἐκδόσεις καὶ τὰ ἀντίγραφα προπαροξυτόνως, Ναύαγος, ὁ κατὰ χώραν εἴασεν ὁ πρὸ ἐμοῦ. Ὧξυνα Ἀρκαδίῳ (σελ. 90) πεισθεὶς· « Ὅσα ἔχει κατ' ἀρχὴν τὸ ναῦ, προπα- » ροξύνεται, Ναύαρχος, Ναύκληρος, Ναύλοχος. Τὸ δὲ Ναυπηγὸς, Ναυηγὸς, ὀξύνεται. » —— Ὥστε λέων.] Ἐκ τοῦ Ποιητοῦ (Ὀδυσσ. ζ', 130) —— ΕΔ. 37, Ὡς Μάνης.] Δούλων ὄνομα ὁ Μάνης, ἀπὸ τῆς χώρας (Ἰδ. Στράβων. σελ. 304) —— ΕΔ. 39, ἀκούσματα.] Ἐξ ΕΔ, ΑΤ, ἀσκήματα.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ά, ΕΔΑΦΙΟΝ 2, προπίπτων.] Ἴσον τῷ Προπετὴς, ὥσπερ ἐξηγήσαντο οἱ πρὸ ἐμοῦ, παραθέντες καὶ τὸ ἐν τοῖς πρόσθεν (II, ά, 10), ἔνθα τὸ Ἐξαπατηθῆναι συνῆψε τῷ Προπεσεῖν, ὥσπερ ἐνθάδε τὸν Ἐξαπατώμενον τῷ Προπίπτοντι. —— ΕΔ. 7, Τῶν τρὶς πεπραμένων] τῶν πολλάκις πωληθέντων, τῶν πολλοὺς σχόντων δεσπότας· ἑτέρους τῶν λεγομένων Τριδούλων, τουτέστι τῶν ἀπὸ προγόνων δούλων, οὓς κακῶς εἰς τῶν σχολιασάντων τὰ τοῦ Σοφοκλέους ἔπη (Οἰδ. Τυρ. 1062),

> Θάρσει. Σὺ μὲν γάρ, οὐδ' ἂν ἐκ τρίτης ἐγὼ
> Μητρὸς φανῶ τρίδουλος, ἐκφανεῖ κακὴ,

συνέχει τοῖς τριπράτοις. —— ΕΔ. 14, Νὴ τὴν Καίσαρος Τύχην, ἐλεύθεροι ἐσμέν.] Ἀστεῖως λέλεκται, οἷον ὀξύμωρον, Δουλελεύθεροι· Εἰς τοσοῦτον γὰρ χαμερπίας ἐληλάκεσαν οἱ τότε Ῥωμαῖοι καὶ οἱ ὑπὸ Ῥωμαίοις τελοῦντες, ὥστε ὀμνύναι τοὺς ἑαυτῶν Καίσαρας, ἀπ' αὐτοῦ ἀρξαμένους τοῦ Ἰουλίου, μετὰ πλείονος θεραπείας ἢ τοὺς θεούς. Πρώτῳ γὰρ τῷ Ἰουλίῳ Καίσαρι ἐψηφίσατο σὺν πολλοῖς ἄλλοις ἡ Σύγκλητος καὶ τὸ ὀμνύναι « Τήν τε ὑγείαν καὶ τὴν τύχην αὐτοῦ. » Ὁ δὲ Καλιγόλας καὶ πολλοὺς τῶν ἐπισήμων ἀνεῖλεν, οὐδὲν ἔχων αἰτιάσασθαι

Digitized by Google

ἕτερον, ὡς φησιν ὁ Σουετώνιος, ἢ ὅτι οὐδέποτε ὠμομέκεσαν τὴν αὐτοῦ Τύχην, quod nunquam per Genium suum dejerassent (Suetон. *Caligul.* 27) —— Ἐᾶ. 17, τοῦ Καίσαρος ἄν σέ τις κ. τ. λ.] ἐάν σέ τις ἀναγκάσῃ καταφιλῆσαι τοὺς πόδας τοῦ Καίσαρος, ὑβρίζεσθαι νομίζεις καὶ δεινῶς τυραννεῖσθαι. Καὶ ταῦτα μὲν ἐλέγετο καὶ ἐνομίζετο παρὰ τῶν τότε Ῥωμαίων. Νῦν δὲ οἱ καταφιλοῦντες τοὺς πόδας τοῦ ἐν τῇ ὑπὸ Καισάρων βασιλευομένῃ τὸ πάλαι πόλει βασιλεύοντος Πάπα, οὐ νομίζουσιν ὑβρίζεσθαι, ἐπειδὴ ἑκούσιοι τοῦτο ποιοῦσι. —— Ἐᾶ. 19, ὁ Θρασωνίδης.] Ἐσημειώσαντο οἱ πρὸ ἐμοῦ, ὅτι τὸν Μισούμενον (δρᾶμα οὕτω καλούμενον) αἰνίττεται τοῦ Μενάνδρου, ἐν ᾧ Θρασωνίδης τις παράγεται στρατιώτης, ἀλαζονευόμενος ἐπὶ ταῖς στρατείαις αὐτοῦ. —— Γέτας] ὁ τοῦ Θρασωνίδου δοῦλος οὕτως ἐκαλεῖτο, ἢ δῆλον ἐξ αὐτοῦ τοῦ Μενανδρείου δράματος, ἔνθα ὁ Θρασωνίδης, τοὺς θεοὺς μεμφόμενος (διὰ τὸ μισεῖσθαι δηλονότι ὑπὸ τῆς ἐρωμένης), καὶ ταῦτα λέγει πρὸς τὸν οἰκεῖον δοῦλον·

——————Ἀλλὰ ποῦ θεοὺς
Οὕτως δικαίους ἐστὶν εὑρεῖν ὦ Γέτα;

(Ἴδε Μενανδρ. Λειψ. ἐκ τοῦ Μισουμ. σελ. 126). —— Ἐᾶ. 20, Παιδισκάριον.] Ἐκ τοῦ Μενάνδρου καὶ ταῦτα· ἅπερ οὕτως ᾠήθην δεῖν ἀποκαταστῆσαι, ἐντείνας εἰς ἰαμβεῖα καὶ διορθώσας, διὰ τὸ μέτρον, Καταδεδούλωκ' εὐτελές, ΑΤ, Καταδεδούλωκεν εὐτελές, καὶ Οὐδὲ εἷς γε τῶν, ΑΤ, Οὐδεὶς τῶν.

Παιδισκάριόν με καταδεδούλωκ' εὐτελές,
Ὃν οὐδὲ εἷς γε τῶν πολεμίων πώποτε.

—— Ἐᾶ. 23, πλὴν καὶ τότε πῶς; [ὡς] μηδ' ἐπιθυμεῖν ἢ φοβεῖσθαι; [Οὐχ] οὕτως ἐλευθερίας εἶχε.] ΗΔ, ΑΤ, « πλὴν καὶ τότε πῶς; μηδ' » ἐπιθυμεῖν, ἢ φοβεῖσθαι; οὕτως ἐλευθερίας εἶχε. » Ὁ νοῦς, Πλὴν καὶ τότε πῶς ἐπαίρεται ὁ Θρασωνίδης; μῶν ὡς παύσασθαι ἐπιθυμῶν ἢ φοβούμενος; οὐκ ἐπὶ τοσοῦτον ἦν ἐλεύθερος. —— Ἐᾶ. 25, τίς δ' ἂν] τῶν λεόντων. —— Ἐᾶ. 31, Τί σοι ἐςί.] Γραπτέον, οἶμαι, Τί σοι ἔτι, ἢ Τί σοι ἔςαι. Τὸ δὲ περὶ τῆς Διογένους ἐπιςολῆς πρὸς τὸν Περσῶν βασιλέα, ἐξ ἱστορίας ἔοικεν εἰληφέναι Ἐπίκτητος, πλὴν εἰ μὴ τὰ λελεγμένα τῷ Διογένει, ἐν ταῖς ὁμιλίαις εἰς ἐπιστολὴν μετέπλασεν.

Digitized by Google

—— ΕΔ. 33, τοῖς εἰκοσῴναις.] Τοῖς τὴν εἰκοστὴν ὠνουμένοις τελώναις· κατὰ τοὺς ἀλλαχοῦ (Λυκούργ. Κατὰ Λεωκρ. σημ. σελ. 49) μνημονευθέντας Πεντηκοστολόγους. —— ΕΔ. 35, ποῖ φάγῃ.] ΔΓ, πῇ φάγῃ. Ἴσως δ' οὐδέτερον ὀρθὸν, ἀλλὰ χρὴ γράφειν, Τί φάγῃ. —— φάτνην.] τράπεζαν, ὥδε, κατὰ παιδιὰν δηλονότι· οἱ γὰρ ἐκ τῶν ἀλλοτρίων τρεφόμενοι, οὐδὲν διαφέρουσι τῶν ἐν φάτνῃ τρεφομένων κτηνῶν. —— ΕΔ. 38, ἐὰν δακτυλίους κ. τ. λ.] Οὐκ ἐφεῖτο δακτυλιοφορεῖν πλὴν τοῖς ἱππεῦσι, εἶτα δὲ καὶ τοῖς ἀπελευθέροις συνεχωρήθησαν οἱ δακτύλιοι. —— ΕΔ. 39, δευτέραν αἰτεῖ στρατείαν κ. τ. λ.] Παρατίθει τούτοις τὰ ἐν τοῖς πρόσθεν (σελ. 346) σημειωθέντα. —— ΕΔ. 41, ἵνα μὴ μωρὸς ᾖ.] Πρὸ τῶν ῥημάτων τούτων ἕτερά τινα ἐξερρύηκέναι τοῦ χωρίου ὑπετόπασαν οἱ πρὸ ἡμῶν. Οὐδὲν, οἶμαι, ἐξερρύη· ἀλλὰ συναπτέον ταῦτα τοῖς προηγουμένοις οὕτως· « Τότε τὴν καλλίω » καὶ λιπαρωτάτην δουλείαν δουλεύσει· ἵνα μὴ μωρὸς κ. τ. λ. » τουτέστι, Τότε δοῦλος γενήσεται καὶ δοῦλος λιπαρὸς καὶ λαμπρός· ἵνα παύσεται μωραίνων, εἰ οἷόν τε, καὶ μάθῃ τὰ εἰρημένα ὑπὸ Σωκράτους. —— ΕΔ. 43, τῷ δ' ὅτι ὁ Καίσαρ κ. τ. λ.] Ἐσημειώθη τὸ ἀνακόλουθον ὑπὸ τοῦ πρὸ ἐμοῦ· ὤφειλε γὰρ εἶναι, Ὁ δ', ὅτι ὁ Καίσαρ οὐχ ἵλεως αὐτῷ ἐστι. —— ΕΔ. 44, ἀποικονόμητον.] Ἀπωστὸν (propulsandum) ὥσπερ ἡρμήνευσεν ὁ πρὸ ἐμοῦ. Ἡ μεταφορὰ ἀπὸ τῆς κατ' οἶκον ἀγωγῆς· ἐπεὶ γὰρ οἰκονομεῖν ἐστι, τὸ τὰ χρήσιμα τῇ οἰκίᾳ ποριζεσθαι καὶ φυλάσσειν, εἰκότως ἀποικονομεῖν λέγοιτ' ἂν ὁ τὰ ἄχρηστα μηδὲ τὴν ἀρχὴν εἰσέρχεσθαι ἐφιείς. —— ΕΔ. 47, ἀλλ' ἄλλος... Ἤδη ἐγρηγορεῖ κ. τ. λ.] Ἄλλος μὲν ἔρχεταί μοι ἀπαγγέλλων, ὅτι ὁ Καῖσαρ ἤδη ἐγρηγορεῖ· ἄλλος δὲ, ὅτι ἤδη ἐξέρχεται τῆς οἰκίας. —— ΕΔ. 48, ἂν μὲν μὴ κληθῇ] εἰς δεῖπνον ὑπὸ τοῦ Καίσαρος. —— ΕΔ. 50, ἀναλήθης.] Παρώξυνα τὴν λέξιν (ΔΤ, ἀναληθὴς), οὐδὲ τοῦ πρὸ ἐμοῦ τοῦτο ἀποδοκιμάζοντος· οὐδέν γε μὴν ἧττον ἡμαρτημένην κρίνω, καὶ τρεπτέον οἶμαι εἰς τὸ Ἀνάλγητος, ὡς ἔδοξέ τισι τῶν κριτικῶν, ἢ εἰς τὸ μακρῷ πιθανώτεραν, Ἀναλγής. —— ΕΔ. 53, κατατάξεως.] ΔΓ (ἴσως ἀμείνων), καταστάσεως. —— Οὐκ ἂν εἴη ἐλεύθερος.] Ἐξ ΕΔ προσέθηκα τὸ ῥῆμα. —— ΕΔ. 57, μή μοι πάππους κ. τ. λ.] μὴ ἐξέταζε, εἰ οἱ πάπποι ἢ πρόπαπποι αὐτοῦ ἦσαν ἐλεύθεροι, μηδὲ ζήτει, τίς αὐτὸν ἐώνηται ἢ πέπρακε. —— ΕΔ. 58, Ἂν οὖν μηδὲν τούτων μὴ ποιῇ.] Περιττὴ ἡ δευτέρα ἀπαγόρευσις, πλὴν εἰ μήτις εἰς τὸν συμπλεκτικὸν, Μὲν, τρέπειν βούλοιτο, ὥσπερ εἴκαζεν ὁ πρὸ ἐμοῦ. ——

Digitized by Google

ἀναγκαςά.] Τύπῳ παθητικῷ (ἀναγκαζόμενα), ἀντὶ τοῦ ἐνεργητικοῦ, ἀναγκαςικὰ (ἀναγκάζοντα) κατὰ τὰ ἐν ἄλλοις (Ἰσοκρατ. Μέρ. Β', σελ. 473) διὰ μακρῶν σημειωθέντα. —— ἀνοχὰς ἔχοντα ἐν Σατορναλίοις], δοῦλον ἐξουσίαν λαβόντα παρὰ τοῦ δεσπότου τρυφᾶν ἐν τῇ ἑορτῇ τῶν Κρονίων, ἐν ᾗ, ὡς ὁ Λουκιανὸς (Τὰ πρὸς Κρόν. § 7) φησι, « Κρότος καὶ ᾠδὴ καὶ παιδιὰ, καὶ ἰσοτιμία πᾶσι, καὶ δούλοις καὶ » ἐλευθέροις. » —— Ἐᾶ. 59, Πᾶς ὃς ἂν ΕΞΟΥΣΙΑΝ ἔχῃ.] Ὁ πρὸ ἐμοῦ, ΑΥΤΕΞΟΥΣΙΑΝ, ὅπερ εἰκὸς τυπογραφικῶς ἡμαρτῆσθαι, ἐπεὶ ἐν ταῖς σημειώσεσι, γράφει, ὥσπερ ἡμεῖς, ἐξουσίαν. Ὃ δὲ λέγει, ὅτι ἔλειπεν ὁ συνητικὸς ἐν ἁπάσαις ταῖς ἐκδόσεσι τοιοῦτόν ἐςι· οὐμενοῦν ἔλειπεν, ἀλλὰ κακῶς προσεκεκόλλητο τῷ ἑξῆς ὀνόματι, ὥσπερ ἐστὶν ἰδεῖν ἐν τῷ ἐμῷ ἀντιτύπῳ ΤΡ, γεγραμμένον, « Πᾶς ὃς Ἀνεξουσίαν » ἔχῃ· » ὅθεν εἰκὸς γεννηθῆναι τὸ Αὐτεξουσίαν. —— Ἐᾶ. 60, ἀλλὰ θάνατον.] Ἐκ ΔΓ (ἣν ἐπήνεσε καὶ ὁ πρὸ ἐμοῦ) ΑΤ, ἀλλὰ τὸν θάνατον. —— Ἐᾶ. 61, ΘΕΪΟΝ ἄρα ἐστίν.] ΘΕΪΟΣ ὤφειλε μᾶλλον γεγράφθαι. —— Γενόμενον.] Γραπτέον, οἶμαι, γινόμενον, τουτέςι τὸ συμπερασινόμενον ἐκ τῶν δύο προτάσεων, τῆς τε, Τὸ ἔχον ἐξουσίαν κ. τ. λ. καὶ τῆς, Οὗτος δ' ἔχει κ. τ. λ. —— Ἐᾶ. 64, ἡ ἐπιστήμη τοῦ βιοῦν.] Ἦν ὁ Μάρκος (Ζ', ξά) ἑνὶ ὀνόματι, Βιωτικὴν, ἐκάλεσε. —— Ἐᾶ. 66, ἢ ἀποθανεῖν.] Οὐκ ἀλόγως ἠπόρησεν ὁ πρὸ ἐμοῦ περὶ τούτου, ὑποπτεύσας μή ποτε ἐγέγραπτο, Καὶ μὴ ἀποθανεῖν. Τὸ γὰρ ἀποθανεῖν ἐν τοῖς Ἐφ' ἡμῖν ἔδει τετάχθαι, ὥδε, διά γε τὴν συγχωρουμένην τοῖς Στωϊκοῖς εὔλογον τοῦ βίου ἐξαγωγήν. Ἀλλ' ἔστιν εἰπεῖν, ὅτι καὶ τῶν Οὐκ ἐφ' ἡμῖν λέγοιτ' ἄν, κατὰ τὴν κοινὴν δόξαν, εἴ γέ τις ὀρέγοιτο μὲν τοῦ θανάτου, οὐ κρίνοι δὲ (ὥσπερ οὐδὲ κρίνουσιν οἱ πολλοὶ) προσήκειν αὐτῷ ἀποκαρτερῆσαι. —— Ἐᾶ. 67, Τοὺς δ' Ἵππους; Τούτων μὲν οὐδέν.] Γράφε, « Τοὺς δ' ἵππους; » Οὔ. Τούτων μὲν οὐδέν. » ἐπαναλαμβάνων τὴν ἄρνησιν, ὡφ καὶ ἐπὶ τῶν πρότερον. Τὸ γὰρ Οὐδὲν, ἀνακεφαλαίωσίς ἐςι πασῶν τῶν προηγησαμένων ἀρνήσεων. —— Ἐᾶ. 73, καὶ ἀκώλυτον.] Ἐξ Ἐᾶ προσίθηκα τὸν σύνδεσμον. Οὕτως ὑποβὰς (§ 75) ἐρεῖ, « Τῶν σῶν.... καὶ τῶν » ἀκωλύτων. » —— Ἐᾶ. 74, ἢ ἁπλῶς χρῆσθαι ταῖς προσπιπτούσαις φαντασίαις.] Ἁπλῶς, ἄνευ προθέσεως ἢ ἐπιβολῆς. —— Ἐᾶ. 79, οὕτως ἔχειν σε δεῖ.] ΔΓ, « οὕτως ἔχειν σοῦ δοκεῖ· » καλὴ, ἴσως δὲ καὶ γνησία, ἐὰν ἐπιδιορθώσῃς, γράφων κατὰ προστακτικὴν ἔγκλισιν, Οὕτως ἔχειν σε δόκει, ἢ, ὥσπερ ἤρεσκε τῷ πρὸ ἐμοῦ, Οὕτως

Digitized by Google

ἔχειν σου (ἢ σοι) δόκει. —— στρατιώτης ἐπιλάβηται.] Οἷα φιλεῖ γίνεσθαι ἐν καιρῷ πολέμου· τότε γὰρ οἱ στρατευόμενοι, οὐ μόνον ὀναρίων, ἵππων, καὶ ἄλλων κτηνῶν, φορτηγῶν ἢ εἰς τροφὴν χρησίμων, ἀλλὰ καὶ τοῦ ἀργυρίου, καὶ αὐτῶν τῶν ἀγόντων ἀδεῶς ἐπιλαμβάνονται, ἵνα κατορθώσωσι τὸν πόλεμον τῷ στρατολογήσαντι αὐτοὺς δεσπότῃ. —— ΕΔ. 80, Σαγμάτια.] Οὐχ ἕτερα τῶν ἐν τῇ συνηθείᾳ Σαγματαρίων· ὑποκορισικὸν γὰρ ἐστιν ἑκάτερον τοῦ Σάγμα, ἰδίως λεγομένου ἐπὶ τοῦ ἐπισρώματος τοῦ ὄνου, ὥσπερ τὸ Ἐφίππειον, ἐπὶ τοῦ Ἵππου. —— Ὑποδημάτια.] Ταῦτα δὲ πάντως ἕτερα ὧν νῦν χρώμεθα ἡμικυκλίων σιδηρῶν ἐλασμάτων, ὥσπερ καὶ τοὔνομα (Ὑποδημάτια) δηλοῖ. Οὕπω γάρ, κατ' Ἐπίκτητον, ἦσαν ἐν χρήσει τὰ προσηλούμενα ταῖς ὁπλαῖς τῶν ὑποζυγίων σιδηρᾶ ἐλάσματα· ἃ ἡ παρ' ἡμῖν συνήθεια ἰδίως Πέταλα ὀνομάζει, τῶν πρὸ ἡμῶν Γραικορωμαίων Σεληναῖα καλεσάντων αὐτά, ἀπὸ τοῦ σχήματος. Ὑπέδουν γὰρ οἱ ἀρχαῖοι τοὺς πόδας τῶν ὑποζυγίων, ἕνεκα τοῦ μὴ τρίβεσθαι, δέρμασιν, ἃ καὶ Καρβατίνας ἐκάλουν, ἢ πεπλεγμένοις ἐκ σπάρτου ἢ τινος ἑτέρας ὕλης λυγώδους ὑποδήμασιν· ὥς που καὶ Γαληνὸς λέγει· « Σπάρτος, » ἐξ οὗ πλέκουσιν ὑποδήματα τοῖς ὑποζυγίοις » (Schneider Λεξικ. λέξ. Σπάρτον)· μαρτυρεῖ δὲ καὶ ἡ παρὰ πολλοῖς τῶν ἐθνῶν ἔτι καὶ νῦν σωζομένη τῆς τοιαύτης ὑποδέσεως τῶν ὑποζυγίων χρῆσις. (Ἴδε τὸν Beckmann, *Beytr. zur Gesch. der Erfind.* B. III, 5. 122-154.) —— ΕΔ. 81, ταῦτα πρὸς ἑαυτὸν] τὰ ἀκώλυτα. —— ἐκεῖνα] τὰ κωλυτά. —— ἐνταῦθα ἐπιστρόφως] ἐπὶ τὰ ἀκώλυτα φροντίζειν τῆς ὀρίξεως. —— ἐνταῦθα κατὰ τὴν ἔκκλισιν] ἐπὶ τὰ κωλυτὰ φροντίζειν τῆς ἐκκλίσεως. —— ΕΔ. 82, οὐ μᾶλλον ἢ τὸν θεὸν] οὐ μᾶλλόν σε ἢ αὐτὸν τὸν θεὸν δύναται ἐμποδίσαι. —— ΕΔ. 83, ὑπὲρ τῶν οὐδέν.] ΔΓ, ὑπὲρ τῶν μηδέν. —— ἐμελέτας.] Προειλόμην τὴν τινων ἐκδόσεων γραφὴν, ἀντὶ τοῦ ἐμελέτησας. —— ΕΔ. 84, καὶ λύπη παρόντων.] Προσυπακουστέον τὴν δεικτικὴν ἀντωνυμίαν, Τούτων καὶ λύπη παρόντων. —— καθεστεμένην] εὐσταθῆ, ἀμετεώριστον. ΗΔ, ΑΤ, καθεσταμένην —— καὶ ὠστικόν.] Ἴδε τὸν Μάρκον (Θ', γ'). —— ΕΔ. 86, Πῶς οὖν ἀκρόπολις κ. τ. λ.] Ἐξερρύη τι ἴσως τοῦ χωρίου· οὐ γὰρ ἀληθὲς ὃ λέγει, ὅτι ἀκρόπολις (κυριολεκτικῶς λεγομένη ὥσπερ ἐνταῦθα) οὐ καταλύεται σιδήρῳ οὐδὲ πυρί. Ἐσημειώσαντο οἱ πρὸ ἐμοῦ ἔν τινι τῶν ἀντιγράφων προσγεγράφθαι σχόλιον ἢ ἐξήγησιν τήνδε· « Ἀκρό- » πολις τῶν πραγμάτων δηλονότι. » Ἴσως ἀναπληροῦν ἐστι τὸ

κείμενον μικρᾷ τινι προσθήκῃ, « Πῶς οὖν ἡ ἐν ἡμῖν ἀκρόπολις » καταλύεται; » κατὰ τὸ ἑξῆς εἰρημένον. Παράβαλε ταῦτα τοῖς ἑξῆς (IV, ε, 25-26) ῥηθησομένοις —— τὴν ἐν ἡμῖν ἀκρόπολιν] τὸ Ἡγεμονικόν. —— ἀποβεβλήκαμεν] καταβεβλήκαμεν, δεῖν γράφειν ᾤετο ὁ πρὸ ἐμοῦ. —— ΕΔ. 87, ἐκβαλεῖν.] ΗΔ, ΑΤ, ἐκβάλλειν. —— ΕΔ. 88, τί ἔτι ἀποτειχίζω τὴν ἀκρόπολιν.] Ἐπὶ τοῦ καθαιρῶ ὧδε τὸ Ἀποτειχίζω, ὥσπερ καὶ παρὰ τῷ (οὐ πολὺ νεωτέρῳ Ἐπικτήτου) Πολυαίνῳ (Στρατηγημ. Α', γ', 5). —— ΕΔ 89, ἐγὼ δ' ΟΥ̓ ΠΏΠΟΤΕ θέλων ἐκωλύθην, ΟΥ̓Τ' ἠναγκάσθην.] Ἐξ ἀντιγράφων ὁ πρὸ ἐμοῦ, ΑΤ, « ἐγὼ δὲ πώποτ' οὐ θέλων ἐκωλύθην, οὔτ' ἠναγκάσθην. » Ἴσ. ἐγέγρ. « ἐγὼ δ' ΟΥ̓ΤΕ ΠΟΤῈ θέλων ἐκωλύθην, οὔτ' ἠναγκάσθην. » —— κἀγὼ θέλω.] Τῇ λέξει μόνῃ διενήνοχε τοῦ ἐν τῇ κυριακῇ προσευχῇ, « Γενηθήτω τὸ θέλημά σου. » —— ΕΔ. 90, Ἀποθανεῖν με θέλει; ςρεβλωθῆναί με θέλει;] Τὰς ἐξ ταύτας λέξεις προσέθηκεν ὁ πρὸ ἐμοῦ, τοῦ συναρτῆσαι χάριν τοῖς ἐχομένοις. —— Στρεβλωθῆναι οὖν θέλω.] Τὰς δὲ τρεῖς ταύτας εἴληφεν ἐξ ἀντιγράφου, προσγεγραμμένας καὶ ἐν τῷ ἐμῷ ΤΡ. —— ΕΔ 94, τῷ πλουσίῳ.] Ἐκ ΔΓ εἰκὸς προσειληφέναι τοὺς πρὸ ἐμοῦ τὸ ἄρθρον, ὃ προσγέγραπται καὶ ἐν τῷ ἐμῷ ΤΡ. —— ΕΔ. 95, καὶ οὗτος θνητός ἐςιν.] ΔΓ (προσγεγραμμένη ἐν τῷ ἐμῷ ΤΡ.) δίχα τοῦ ῥήματος, Καὶ οὗτος θνητός. —— ΕΔ. 96, Ἂν δ' αὐτὸς] ὁ Καίσαρ. —— ΕΔ. 97, σύνοδον] συνοδοιπόρον. —— ΕΔ. 99, προσκατατάξαι.] Ἴσως ἐξερρύη τὸ ἄρθρον (τὸ προσκατατάξαι). —— ΕΔ. 100, τὰς ΟΡΜΑΣ τοῦ θεοῦ.] Ἄπορον εἰκότως ἔδοξε τῷ πρὸ ἐμοῦ τὸ Ὁρμάς, ἐπὶ θεοῦ λεγόμενον. Ἴσως ἦν ΑΡΧΑΣ· ἢ οὐδὲ τοῦτο, ἀλλ' ἐκδεκτέον τὸ Ὁρμὰς ἐπὶ τοῦ Ἀφορμάς, τουτέστι τὰς πρώτας κινήσεις ἐπὶ τὴν δημιουργίαν, τὸ δόγμα τοῦ δημιουργῆσαι. —— ΕΔ. 101, ὅτι ἠλίθιος ἔσομαι] ἐὰν ἀντιτείνω. —— ἔτι πρότερον] πολὺ μᾶλλον. —— ΕΔ. 104, συμπομπεύσοντα.] Οὐ δηλοῦσιν αἱ τοῦ πρὸ ἐμοῦ σημειώσεις τὴν προτέραν γραφὴν, συμπολιτεύσοντα, οὐδ' ὅθεν εἴληφε τὴν παραῦσαν, συμπομπεύσοντα, ἥτις προσγέγραπται ἐν τῷ ἐμῷ ΤΡ. —— ΕΔ. 106, τί ὑπολείπεται;] Ἐὰν οἱ πρῶτοι γεννηθέντες μὴ ἀποθνήσκωσιν, οὐδὲν ὑπολείπεται τοῖς ἐπιγεννωμένοις, οὔτε χώρα, οὔτε οἴκησις, οὔτε τὰ ἐπιτήδεια. —— ἀνίκανος] ᾧ οὐδέν ἐστιν ἱκανὸν, ὁ μηδέποτε λέγων, Ἅλις. —— ΕΔ. 107, τεκνία.] ΔΓ, τεκνίδια. —— οὐχὶ καὶ τοῦ σέ.] Ὤφειλεν εἶναι, Οὐχὶ τοῦ καὶ σέ, σημειωσαμένων καὶ τῶν πρὸ ἐμοῦ. —— ΕΔ. 108, Καὶ εἰ μὴ ποιεῖ σοι]

Digitized by Google

εἰ μή σοι συμφέρει. Μηδὲν δέον πλεονάσαι ἔοικεν ὁ πρῶτος σύνδεσμος. —— ὑμνῶσί τε.] Ἐκ διορθώσεως τοῦ πρὸ ἐμοῦ, ΑΤ, ὑμνῶσι δέ. —— ΕΔ. 109, ἀπολελειμμένους τῆς πανηγύρεως] τοὺς μὴ παραγινομένους εἰς τὴν πανήγυριν. Τὸ δὲ Ἀπολελειμμένους ἐκ ΔΓ εἴληφεν ὁ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἀπολελυμένους. Τοῦ ἐμοῦ ΤΡ. τὸ κείμενον διὰ τοῦ η̄, Ἀπολελημμένους· ἴσως οὐ κακῶς. Ἀπολελημμένοι γὰρ (παρὰ τὸ Ἀπολαμβάνω) λέγοιντ' ἂν οἱ ἀπειργμένοι, οἱ ἀποκεκλεισμένοι. —— ΕΔ. 110, Μὴ πρόσπασχε αὐτοῖς] μὴ πρόσκεισο αὐτοῖς, μὴ ὑπεραγάπα αὐτά. Τὸ Προσπάσχειν ἑρμηνεύσκις ἂν ἀκριβῶς εἰς τὴν Γάλλων φωνὴν, s'affectionner à. Ἔστι δ' οὗ καὶ διὰ τοῦ s'intéresser à, ἢ pour, ἑρμηνεύειν καλῶς ἔχει. Ἐντεῦθεν ἡ παρ' ἡμῖν συνήθεια τὸ παρὰ τοῖς Γάλλοις tâcher διὰ τοῦ Προσπαθῶ (συνωνύμου τῷ Προσπάσχω (Ἰδ. ἀνωτ. III, κδ΄, 82), καὶ τοῦ Πασχίζω, ἑρμηνεύει· οἷς γὰρ προσπάσχομεν, ταῦτα καὶ σπουδάζομεν ἐκτελέσαι, ἢ ἑαυτοῖς περιποιήσασθαι. —— ἀναγκαῖα, καὶ οὐκ ἔστι.] Ἐκ ΔΓ, ΑΤ, ἔστι. —— ΕΔ. 111, ἀπὸ τῶν μικροτάτων.... ἀρξάμενος.] Ἴδε τὸ Ἐγχειρίδιον (XII, § 2). —— εὐεπηρεαστοτάτων.] ΔΓ (οὐ χείρων), εὐεπηρεάστων. —— πρόελθε.] Ἐξ ΕΔ, ΑΤ πρόσελθε. —— ΕΔ. 113, ὡς ἐκεῖ] ἐν τῇ σχολῇ. —— ἔστω φορτικὸν τὸ ὄνομα] λελεγίσθω, εἰ βούλει, ἀλαζονικὸν τὸ ὄνομα, Φιλόσοφος. —— ὅτι καρπιεῖν δίδως] ὅτι σπουδάζεις λυτρωτήν τινα εὑρεῖν ἐξελούμενόν σε τῆς δουλείας. Ἴδε τὰ ἀνωτέρω (σελ. 399) σημειωθέντα. —— ΕΔ. 115, ὅτε ἑάλω.] Ἴδε Διογ. Λαέρτ. VI, 74. —— ΕΔ. 116, πρὸς τὸν δεσπότην.] Ξενιάδην, τὸν Κορίνθιον. —— ΕΔ. 117, εἰ δ' ἀρχιτέκτονα.] Ἐπαναληπτέον (ἐξερρύηκὸς ἴσως), ἢ γοῦν προσυπακουστέον τὸ Ὡσάυτως. —— ΕΔ. 119, Ἀλλὰ δῆραι ἢ δῆσαί με δύναται.] Ἐξ εἰκασίας τοῦ πρὸ ἐμοῦ προσέθηκα τὸ δεύτερον ἀπαρέμφατον μετὰ τοῦ διαζευκτικοῦ. —— ΕΔ. 120, Ἣν δοκεῖς;] Ὁποίαν τινὰ δοκεῖς; ἀντερωτηματικῶς. Οὕτως ἐχρήσατο καὶ ἀνωτέρω (III, κς΄, 32) τῇ ἀντωνυμίᾳ· Καὶ ἦν α Εὐρυσθεὺς » μὲν, ὃς ἦν, οὔτε Ἄργους κ.τ.λ. » Ὁ νοῦς, Ἐρωτᾷς, ἤντινα ζημίαν; Αὐτὸ τοῦτο τὸ δῆσαι αὐτὸν ζημία σοι ἔσται, ἐπειδὴ παύῃ τοῦ ἄνθρωπος εἶναι, ἐνεργῶν ὡς θηρίον. —— ΕΔ. 121, πότε ἄμπελος κ.τ.λ;] Ἐπιθι τὸν Μάρκον (Η΄, ιθ΄ καὶ μς΄). —— ΕΔ. 123, Ἑλουίδιος] οὗ καὶ ἐν τοῖς πρόσθεν (I, β΄, 19,) ἐμνημόνευσεν. —— ΕΔ. 131, Ἄγου δέ μ' ὦ Ζεῦ κ.τ.λ.] Παρώξυνα τὸ προστακτικὸν (Ἄγου), καθὰ καὶ ἀνωτέρω (II, κγ΄, 42).

Digitized by Google

— ΕΔ. 134, Τί οὖν, οὐχὶ σκέπτῃ, οὐδ' ἔσκεψαι κ. τ. λ.] ΔΓ, « Τί οὖν οὐχὶ δ' ἔσκεψαι » παραλελειμμένου τοῦ πρώτου ῥήματος. Ἀσαφὲς τὸ χωρίον. Ἴσ. γρ. (ὡς ἐδοξέ τισι τῶν κριτικῶν), « Τί οὖν » ἔτι σκέπτῃ; οὐχὶ δ' ἔσκεψαι καὶ βεβούλευσαι; » — ΕΔ. 137, ταῦτα οὐδέτερα] τὸ ἀποθανεῖν, ἡ φυλακὴ κ. τ. λ. — οὔτ' ἐκεῖνα] ἡ ἀπιστία, ἡ προδοσία, ἡ κολακεία καὶ τὰ τοιαῦτα. — ΕΔ. 139, Οὕτως καταμαρτυρεῖται ΦΙΛΟΣ ὑπὸ φιλοσόφου.] Διάφ. γραφ. ΦΙΛΟΣΟΦΟΣ. Αἰνίττεται (ὡς ἐσημειώσαντο οἱ πρὸ ἐμοῦ) Σορανον Βαρέαν, Στωϊκὸν φιλόσοφον, τὸν ἀναιρεθέντα ἐκ διαβολῆς φίλου καὶ διδασκάλου, τοῦ Στωϊκοῦ Ἐγνατίου Κέληρος. Ἡ ἱστορία παρὰ Ταχίτῳ (Tacit. *Histor.* IV, 10). Τὸν ψευδοστωϊκὸν τοῦτον καὶ διάβολον Κέληρα μαστίζει καὶ ὁ σατυρικὸς Ἰουβενάλιος (*Satyr.* III, 116), λέγων,

> Stoïcus occidit Baream, delator amicum,
> Discipulumque senex.

— ΕΔ. 140, Σὺ ψυχρὸν καὶ ΤΑΛΑΙΠΩΡΟΝ ὑποληψείδιον, ἐκ λόγων κ. τ. λ.] Ὑπενόει ὁ πρὸ ἐμοῦ, μήποτε γραπτέον ἐστὶν, Οὐ, καὶ ΑΤΑΛΑΙΠΩΡΟΝ, διστάζων ὅμως. Οὐδὲν δ' οὖν ἧττον ἀσαφὲς τὸ χωρίον, ἡμαρτημένης ἴσως τῆς γραφῆς, ἴσως δὲ καὶ τῆς στίξεως. Καὶ ἡ μὲν πρὸ τῆς ἀντωνυμίας (Σὺ) τελεία στιγμὴ εἰς μέσην μεταποιητέα εἶναι ἔοικεν, ἵνα συνάπτηται τὰ ἐνθάδε κείμενα τοῖς προκειμένοις, οὕτως, « Τὰ φανέμενα· ἔνδοξεν τὰ δόγματα αὐτοῦ βοᾷ, Οὐ ψυχρὸν καὶ » ΑΤΑΛΑΙΠΩΡΟΝ [εἶ], ἐκ λόγων κ. τ. λ. » — ΕΔ. 141, μεμυημένον. Παραφύλαξον σαυτὸν, πῶς ἀκούεις κ. τ. λ.] Ὅπως ποτ' ἂν ἔχῃ τὰ προδιῳκημένα, ἐνθάδε γοῦν οὐκ ὤκνησα, μεταποιήσας τὴν στίξιν τοῦ τέως οὕτως ἑστιγμένου, « μεμυημένον, παραφύλαξον σαυ» τόν. Πῶς ἀκούεις κ. τ. λ. » τὸ προστακτικὸν (παραφύλαξον), τοῖς ἑπομένοις συνάψαι (ὅπερ ἤρεσκε καὶ τῷ πρὸ ἐμοῦ). Ὁ νοῦς, Παρατήρησον σεαυτὸν, πῶς διατίθεσαι, ὅταν ἀκούῃς τι τῶν ἀβουλήτων· καὶ οὐ λέγω περὶ μεγάλων ἀτυχημάτων, οἷον ἀποβολῆς παιδίου καὶ τῶν τοιούτων, ἀλλὰ καὶ περὶ εὐτελῶν, οἷον, πῶς διατίθεσαι ἀκούσας, ὅτι ἐξεχύθη σου τὸ ἔλαιον κ. τ. λ. Τοῦτο γὰρ σημαίνει τὸ Παραφυλάττειν (observer) ἐνθάδε· ἐπὶ δὲ τῆς προτέρας στίξεως ἐξ ἀνάγκης ἰσοδύναμον αὐτὸ ἐχρὴν ἐκλαβεῖν τῷ Φυλάττειν (conserver) ὅπερ καταχρηστικὸν ἦν καὶ ἀσύνηθες τῷ Ἐπικτήτῳ, ὁμολογήσαντος καὶ τοῦ πρὸ ἐμοῦ.

Digitized by Google

—— ΕΔ. 142, Ἵνα τις ἐπιστὰς κ. τ. λ.] Κατ' ἰδιαιτέραν χρῆσιν ἐλλειπτικὸν ἐκδεκτέον τὸ Ἵνα, ἀντὶ τοῦ πληρεστέρου, « Ἐβουλόμην ἵνα » ἐπιστάς σοί τις εἴπῃ· » καθάπερ καὶ ἡ παρ' ἡμῖν συνήθεια χρῆται πολλάκις τῷ ἠκρωτηριασμένῳ μορίῳ Νά· οἷον, Νὰ ἤρχετο κανεὶς νὰ σ' ἔλεγε, κατ' ἔλλειψιν τοῦ Ἤθελα· καὶ ἐπὶ προστάγματος, Νὰ ὑπάγῃς αὔριον εἰς τοῦ δεῖνος, ἐλλειπτικῶς τοῦ Θέλω. —— διατεινομένῳ] φιλονεικοῦντι. —— ΕΔ. 143, τοῦ ὀνόματος αὐτοῦ] τοῦ Φιλόσοφος. —— ΕΔ. 145, τὸν κύριον τὸν μέγαν] τὸν Καίσαρα. —— συνεστραμμένῳ βλέμματι.] Παραπλήσιον τῷ ἐν τῇ συνηθείᾳ ἐφ' ὁμοίας ἐννοίας· « Μὲ στραβὸν βλέμμα » —— οἱ τὰς γραίας θεραπεύοντες καὶ τοὺς γέροντας] τοὺς μηδὲν προσήκοντας, ἕνεκα τοῦ κλήρου. —— ΕΔ. 146, Ἁπρυλλα.] Τῶν ἐπισήμων τινὰ πλουσίων γραιῶν εἰκὸς γεγονέναι τὴν Ἁπρυλλαν· —— ΕΔ. 147, ἐξευτονοῦντα.] ΔΓ, εὐτονοῦντα· —— ΕΔ. 148, ἀπομύσσοντος,] ΔΓ (οὐ χείρων) ἀπομάσσοντος. —— διακρίνοντος.] Χρηστότερον τὸ Ἀνακρίνοντος ἐπὶ τοῦ ἐρωτᾶν, ὡς ἔδοξε καί τινι τῶν πρὸ ἐμοῦ. —— τῶν ἀλλοτρίων δούλων] τῶν τοῦ Καίσαρος, ἢ ἄλλου τινὸς τῶν μέγα δυναμένων —— ΕΔ. 150, διὰ Φηλικίωνα] οὗ καὶ ἐν τοῖς πρόσθεν (I, ιθ', 17) ἐμνημόνευσεν. —— ΕΔ. 151, Σὺ οὖν] ὦ Ἐπίκτητε. —— μηδ' ὁλόκληρον ἔχων] χωλὸς γὰρ ἦν ὁ Ἐπίκτητος. —— ΕΔ. 152, οὐ γὰρ ἦν] ἐξ ἐλευθέρων. Ἀλλὰ τοῦτο οὐ συνᾴδει τῇ ἱστορίᾳ· ἐλευθέρου γὰρ πατρὸς ἦν ὁ Διογένης, Ἰκεσίου, τραπεζίτου ἐν Σινώπῃ (Ἰδ. Διογ. Λαερτ. VI, 20). Διὸ καὶ ὁ πρὸ ἐμοῦ ὑπετόπασεν εὐλόγως ὑπό τινος γραμματικοῦ προσκολληθῆναι τὰς τρεῖς ταύτας λέξεις. —— ΕΔ. 153, καὶ ἐπὶ ΤΙΣΙ λαβών.] ΔΓ (προσγεγραμμένη τῷ ἐμῷ ΤΡ.) ΤΙΝΙ. —— ΕΔ. 155, οὐ γὰρ ἐζήτει ποτὲ δόξαι τι ποιεῖν ὑπὲρ τῶν ΑΛΛΩΝ] τὸ μὲν τελευταῖον ἐκ ΔΓ, ἀντὶ τοῦ ΟΛΩΝ· τὰ λοιπὰ δὲ, ποτὲ δόξαι, ἐξ ΕΔ, ΑΤ, ποτὲ δόξει. —— πᾶν τὸ ΓΙΝΟΜΕΝΟΝ ἐκεῖθέν ἐστι] ἐκ τῆς τῳόντι πατρίδος ἐξήρτηται. ΗΔ, ἀντὶ τοῦ ΓΕΝΟΜΕΝΟΝ. —— παρεγγυᾶται] παραγγέλλεται, ὡς ἐγγύη παρατίθεται καὶ ἀπαιτεῖται. —— ΕΔ. 157, Πάντες γὰρ.... οὐκ ἠδύναντο αὐτοῖς κ. τ. λ.] Πάντες γὰρ Ἀθηναῖοι καὶ Λακεδαιμονίων οἱ ἰδιῶται, διὰ τὸ δοῦλοι εἶναι, οὐκ ἠδύναντο διαλέγεσθαι τῷ βασιλεῖ τῶν Περσῶν καὶ τῷ βασιλεῖ τῶν Λακεδαιμονίων; Εἰρωνικῶς ταῦτα. —— ΕΔ. 160, στρατεύεσθαι.] Τρὶς ἐστρατεύσατο Σωκράτης. —— Λέοντα] τὸν Σαλαμίνιον. Μνημονεύει τούτου καὶ ὁ Μάρκος (Ζ', ξς') —— οὐδ' ἐπεβουλεύσατο] οὐδ' ἐβουλεύσατο ἐπὶ τῷ πράγματι, εἰ πειστέον

δηλονότι, ἢ μὴ, τοῖς τυράννοις. —— ΕΔ. 164, ὁ μὴ ἐπιψηφίσας.] Ἔπιθι τὸν Ξενοφῶντα (Ἀπομνημ. Α, Ι, § 18). —— ΕΔ. 166, ἐπεμελήθητε ἂν αὐτῶν.] ΗΔ ἡ προσθήκη τοῦ συνητικοῦ. Περὶ δὲ τοῦ πράγματος, ἔπιθι τὸν Πλάτωνα (Κρίτ. σελ. 45 καὶ 54). —— ΕΔ. 167, πολλοῖς.] ΔΓ, πᾶσιν. —— ΕΔ. 168, ποῦ.... ἐκεῖνοι] οἱ πολλοὶ ἄνθρωποι, οἷς ἔλεγον ὄφελος ἔσεσθαι. —— ΕΔ. 170, Ταῦτα μελέτα, ταῦτα κ. τ. λ.] Διαγραπτέον ἴσως τὴν δευτέραν ἀντωνυμίαν. —— ΕΔ. 171, ἔστι δ' ὅτε καὶ πόλεις,] οἷον οἱ Ξάνθιοι, οἱ σὺν γυναιξὶ καὶ τέκνοις αὐτοὶ ὑφ' ἑαυτῶν ἐμπρησθέντες, ἵν' ἀποφύγοιεν τὴν δουλείαν (Πλουτάρχ. Βρουτ. § 31). —— ΕΔ. 172, οὐκ ἀποδώσεις;] ΔΓ, οὐκ αἰσθήσῃ. Ἐκ τῶν δύο τούτων γραφῶν, ἴσως τρίτην ἐστὶ θρασασθαι (φησὶν ὁ πρὸ ἐμοῦ) ταύτην, « Οὐχ ἡσθεὶς ἀποδώσεις; » —— ὡς Πλάτων λέγει] ἐν τῷ Φαίδωνι (σελ. 64 καὶ 67). —— ΕΔ. 173, ὁ Κλεάνθης] ὁ τοῦ Ζήνωνος μαθητὴς, ἐπισημότατος τῶν Στωϊκῶν. —— ΕΔ. 174, τὸ καῦμα... ἡ ἄση.... ὁ ριπτασμός.] Μετενήνεκται τὰ ὀνόματα ἀπὸ τῆς ἰατρικῆς. Καὶ τὸ μὲν Καῦμα, τὸ ἐν τῇ συνηθείᾳ Καῦσος (ardeur), ἴσον δύναται τῷ πυρετῷ ἢ τῇ θέρμῃ ἐπὶ τοῦ σώματος· ἐνθάδε δὲ, τῆς ψυχῆς τὴν διακαῆ τῶν οὐ παρόντων ὄρεξιν δηλοῖ. Ὁ δὲ ριπτασμὸς, ὧδε κἀκεῖσε ῥίψις οὖσα τοῦ πυρέσσοντος, τὴν ἐπὶ τὰ καὶ ἐπὶ τὰ μεταβολὴν τῆς διανοίας καὶ μεταβούλευσιν, τοῦ τυχεῖν ἕνεκα τῶν ὀρεκτῶν, ὧδε σημαίνει. Τὴν δ' Ἄσην (dégoût), ἀποστροφὴν οὖσαν μετὰ ναυτίας διά κόρον ἢ ἄλλως, τῶν προσφερομένων (ἣν Ἀνορεξίαν καλεῖ ἡ συνήθεια), οἰκείως ἂν μετενέγκαις ἐπὶ τοὺς δι' ἀμετρίαν ἡδονῶν οὐδενὶ ἄντας οἷους τ' ἔτι ἥδεσθαι, οὓς ἐκάλουν Ἀσώδεις (blasés). —— ΕΔ. 177, εἰ δὲ μὴ, κ. τ. λ.] εἰ δὲ μὴ πιστεύεις ἀληθῆ εἶναι ἅ σοι λέγω, πειράθητι κἂν ἅπαξ αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ β', Περὶ συμπεριφορᾶς.] Γενικώτερον ἐνθάδε ἐκληπτέον εἰκότως ὑπεῖληφεν εἶναι ὁ πρὸ ἐμοῦ τὴν Συμπεριφοράν, ἐπὶ τῆς μετ' ἄλλων ὁμιλίας, ἀναστροφῆς, ἢ, ὥσπερ ἡ παρ' ἡμῖν συνήθεια λέγει, συναναστροφῆς (commerce, conversation)· καὶ οὐκ ἐν εἴδει, ἐπὶ τῆς ἡδείας καὶ εὐαρέστου ἀναστροφῆς (complaisance), ὥσπερ ἐν τοῖς πρόσθεν (III, ιδ', 7). — ΕΔΑΦΙΟΝ 1, τῶν ΠΡΟΤΕΡΩΝ συνήθων ἢ φίλων.] Μεταμέλει μοι, μὴ τρέψαντι εἰς ἐπίρρημα, ΠΡΟΤΕΡΟΝ, τὸ παρ' ἅπασιν ὀνοματικῶς γεγραμμένον. —— ΕΔ. 2, Ἂν δέ σ' ὑποτρέχῃ] ἐὰν δέ σου εἰς νοῦν ἔλθῃ. Τὸ Ὑποτρέχειν, κατὰ ῥητὸν ἑρμηνεύει τὸ τῶν Ἰταλῶν Soccorrere. —— ἀδέξιος] ἀνεπιτή-

Digitized by Google

δειος εἰς ἀναστροφήν. Ἡ δὲ παρ' ἡμῖν συνήθεια Ἀδέξιον λέγει τὸν τοῖς ἀρχαίοις καλούμενον Ἐπαρίστερον (gauche ἢ maladroit).— τὸν αὐτὸν εἶναι τῷ ποτέ] ὄντι. —— ΕΔ. 4, οὐδεὶς γὰρ ἐπαμφοτερίζων.] Τοῦθ' ὃ ἔλεγεν ἀλλαχοῦ (Ἐγχ. XXIX, § 7), « Ἕνα σε δεῖ » ἄνθρωπον εἶναι. » —— ΕΔ. 8, μηδέν σοι καὶ αὐτοῖς] ἔστω κοινόν. —— ΕΔ. 9, Εἰ δὲ μὴ ἀρέσει.] Γραπτέον, οἶμαι, Εἰ δὲ μὴ σ' ἀρέσκει —— ἐπικραύγαζε] ἐπικρότει, ἐπιβόα, ὅτι καλῶς ὠρχήσατο. —— ΕΔ. 10, κυρτὸν καὶ φαλακρὸν] οἷος ἦν ὁ ὑπὸ τοῦ Ποιητοῦ χαρακτηριζόμενος Θερσίτης (Ἰλιάδ. β', 216). —— μέγαν καὶ καλὸν] (Ἰδ. Ἰλιάδ. γ', 167).

ΚΕΦΑΛΑΙΟΝ γ', ΕΔΑΦΙΟΝ 2, οὐδ' ἂν ἀντὶ ὄνου.... αἰδῶ.] Ἐξερρύηκέναι τινὰ τοῦ χωρίου ὑπετόπασάν τινες· οὐδὲν ἴσως ἐξερρύη πλὴν τοῦ συνδέσμου, ὃν ἐξ εἰκασίας τοῦ πρὸ ἐμοῦ προσέθηκα. Ὁ νοῦς· Ὥσπερ οὐκ ἐζημίωσαι ἀντικαταλλαξάμενος ὄνου ἵππον, ἢ προβάτου βοῦν, οὕτως οὐ ζημιοῖ προαιρούμενος κέρματος πρᾶξιν καλὴν, ψυχρολογίας ἡσυχίαν, καὶ αἰσχρολογίας αἰδῶ. —— οἵαν δεῖ.] Διαγραπτέον ἴσως τὰς δύο ταύτας λέξεις. —— ΕΔ. 5, ὑποπαρενθυμηθῇ] μικρὸν παρατραπῇ τοῦ λογισμοῦ, μικρὸν ῥεμβασθῇ.—— ΕΔ. 8, ΑΛΛ' ΟΥ̓ τεύξομαι τοιούτου τινὸς ἀντ' αὐτοῦ.] Ἀσαφὲς τὸ λεγόμενον ὡμολόγηκεν ὁ πρὸ ἐμοῦ. Οὐ γὰρ δῆλον, εἰ κατ' ἐρώτησίν ἐστιν, ἢ ἀποφαντικῶς αὐτὸ προενεκτέον, καὶ εἰ γραπτέον, ὡς φέρεται, ἀρνητικῶς, Ἀλλ' οὐ, ἢ τοῦτο τρεπτέον εἰς τὸ Ἄλλου· καὶ εἰ Ἐπίκτητος ὑποτίθεται ταῦτα φάσκων ἑπόμενα τοῖς προειρημένοις, ἢ ὁ προσδιαλεγόμενος Ἐπικτήτῳ. Ἴσως γραπτέον, ΑΛΛ' ΟΥ̓Ν, καὶ οὕτω πως ἑρμηνευτέον· Ἀλλ' οὖν (λέγει τις πρὸς Ἐπίκτητον, φήσαντα, Βλέπε πόσου ἀξίων μέλλεις πωλεῖν τὴν αἰδῶ, τὴν πίστιν κ. τ. λ.) ἀπολαύσω, ἀντὶ τῆς αἰδοῦς, τῆς πίστεως, τοιούτου τινὸς, τουτέστιν ἀνταξίου τινὸς αὐτῶν πράγματος, καὶ οὐχ οὗ σὺ φοβῇ. Πρὸς ὃν αὖθις ὁ Ἐπίκτητος· Βλέπε καὶ ἀπολαύων πάλιν ἐκείνου, τί λαμβάνεις, ἀνθ' ὧν ἔδωκας, τῆς αἰδοῦς δηλαδὴ, τῆς πίστεως κ. τ. λ. —— ΕΔ. 9, οὐ κραυγάζω] ἐν τοῖς θεάτροις δηλονότι, ἔνθα πολλάκις μετὰ πολλῆς ἀκοσμίας διεφιλονείκουν εἰς φατρίας κατειλεγμένοι οἱ θεώμενοι, οἱ μὲν τούτοις, οἱ δ' ἐκείνοις τῶν ἀγωνιζομένων σπουδάζοντες. —— ΕΔ. 11, τῶν δ' ἄλλων κ. τ. λ.] τῶν κατὰ τοὺς Στωϊκοὺς ἀδιαφόρων καλουμένων, ὡς ἕκαστον ἡμῖν δίδοται, ἕνεκα τοῦ μηδ' ἐν αὐτοῖς ἀλόγως φέρεσθαι. Τοῦτο γὰρ σημαίνει τὸ Εὐλογιστεῖν καὶ ἡ Εὐλο-

Digitized by Google

γιστία, λέξεις καὶ αὗται ὑπὸ τῶν Στωϊκῶν πεπλασμέναι. Διὸ καὶ τέλος ἔλεγε τοῦτο ὁ Στωϊκὸς Διογένης καὶ ὡρίζετο, « Εὐλογιστίαν ἐν » τῇ τῶν κατὰ φύσιν ἐκλογῇ καὶ ἀπεκλογῇ » (Στοβ. Ἐκλ. Ἠθ. σελ. 134, Heeren). Ἕτεροι δὲ, ἀσαφέστερον, « Εὐλογιστίαν, ἐπιςήμην » ΑΝΤΑΝΑΙΡΕΤΙΚΗΝ ΚΑΙ ΜΗ ΚΕΦΑΛΑΙΩΤΙΚΗΝ τῶν γεγονομέ- » νων καὶ ἀποτελουμένων » (Αὐτ. σελ. 106.) ὡρίσαντο· ἔνθα γραπτέον ἴσως, ὥσπερ τις τῶν κριτικῶν (Wyttenb. *in Plutarch. moral. animadvers.* tom. I, pag. 706.) διορθωτέον εἶναι ἰσχυρίσατο, ΑΜΑ ΔΙΑΙΡΕΤΙΚΗΝ ΚΑΙ ΑΝΑΚΕΦΑΛΑΙΩΤΙΚΗΝ. Ἔπειθι καὶ τὸν Σύστημα τῆς Στωϊκῆς αἱρέσεως πραγματευσάμενον (Tiedem. *System. der Stoisch. Philosoph.* III, pag. 133), ὃς μόνον τὸ πρῶτον ἐπίθετον, ἀνταναιρετικὴν, τρεπτέον εἶναι ὑπενόει εἰς τὸ ἀντιδιαιρετικήν. —— ΕΔ. 12, τοῖς Μασουρίου καὶ Κασσίου.] Ἔνδοξοι νόμων ἐξηγηταὶ παρὰ τοῖς Ῥωμαίοις, ὁ Μασούριος (Masurius Sabinus) καὶ ὁ Κάσσιος (C. Cassius Longinus), ὁ μὲν ἐπὶ Αὐγούστου καὶ Τιβερίου, ὁ Κάσσιος, ὁ δὲ ἐπὶ Τιβερίου γεγονὼς, καὶ μέχρις Οὐεσπασιανοῦ παρατείνας. (Ἰδ. τὸν Ἀθήν. σελ. 1, καὶ Tacit. *Annal.* XII, 12).

ΚΕΦΑΛΑΙΟΝ ὅ, ΕΔΑΦΙΟΝ 2, ἡ ἀναρχίας] ἢ τοῦ μὴ χειροτονηθῆναί σε ἄρχοντα. —— ΕΔ. 4, ἐπ' αὐτὸ καταςρίφεις κ. τ. λ.] εἰ μὲν ἐπ' αὐτὸ καταλήγεις καὶ τελευτᾷς τὸ μαθεῖν τι ἢ ἡδέως σχεῖν τῇ ψυχῇ, καὶ εἰς οὐδὲν ἄλλο περαιτέρω ἀφορᾷς, μάταιος καὶ ῥάθυμος εἶ. —— ΕΔ. 6, τοῖς μέτροις] τοῖς τοῦ καθήκοντος ἀριθμοῖς, ὡς φησιν ὁ Μάρκος (Γ, α'). —— ΕΔ. 7, ἀλλ' ἐπ' ἐμαυτὸν ΕΠΙΣΤΡΕ- ΦΩΝ, εἰ ταὐτὰ κἀγὼ ἁμαρτάνω, ΟΠΩΣΟΥΝ ΠΑΥΣΟΜΑΙ.] Ταῦθ' οὕτως ἐγέγραπτο καὶ ἔστικτο: « ἀλλ' ἐπ' ἐμαυτὸν ΕΠΙΣΤΡΕΦΩ, εἰ » ταὐτὰ κἀγὼ ἁμαρτάνω. ΠΩΣ ΟΥΝ ΠΑΥΣΟΜΑΙ; » Τὴν μετοχὴν (ἐπιστρέφων) προηρεῖτο καὶ ὁ πρὸ ἐμοῦ· τὸ Πῶς οὖν ἔτρεψα εἰς τὸ Ὁπωσοῦν, καὶ τὸ ῥῆμα (παύσομαι) εἰς τὴν ὑποτακτικὴν ἔγκλισιν, μεταβαλὼν καὶ τὴν ἐρωματικὴν στίξιν. Ἡ συνάρτησις, Οὐδ' ἵνα ἔχω ψέγειν ἢ καταγελᾶν, ἀλλ' ἵνα ἐπ' ἐμαυτὸν ἐπιςρέφων, εἰ ταὐτὰ κἀγὼ ἁμαρτάνω, ὁποίῳ δή τινι τρόπῳ παύσωμαι. —— ΕΔ. 9, οὐχ ὁμαλίζει;] σεαυτὸν, οὐκ ἴσως καὶ ὁμαλῶς πράσσεις· ἡ μεταφορὰ ἀπὸ τῶν τραχεῖαν ἐχόντων τὴν ἐπιφάνειαν, ἣν ὁ λειῶν ὁμαλίζειν (applanir) λέγεται. —— ΕΔ. 11, οἷον ἂν εἰ.... κλαίῃ.] Διαγραπτέον, οἶμαι, τὸν συναπτικὸν, ἢ γραπτέον ὁριστικῶς, κλαίει. —— ΕΔ. 12,

Digitized by Google

Τούτου... οἱ νεανίσκοι.] Ἴσως ἐρωτιματιστέον τὴν περίοδον. Νεανίσκους δὲ, τοὺς λοιποὺς ἀγωνιστάς. —— ΕΔ. 13, ἐπὶ τοῦ συγκαταθετικοῦ τόπου] ὃς ἦν ὁ τρίτος ὧν ἐν τοῖς πρόσθεν (II, ιζ', 15) ἔλεγε. —— Θέλοιμεν.] Ταύτην ἀντιγράφοις πεισθεὶς, προεῖλετο ὁ πρὸ ἐμοῦ τὴν γραφὴν τοῦ ἐν ἄλλοις, Ἔχοιμεν. —— ΕΔ. 16, μή ποτ' ὀρεγόμενοι... μητ' ἐκκλίνοντες.] Γραπτέον, « Μήτ' ὀρεγόμενοι.... » μήτ' ἐκκλίνοντες » ἢ « Μήποτ' ὀρεγόμενοι.... μηδ' ἐκκλίνοντες. » —— παρ' αὐτά] παρὰ τὰ καθήκοντα. —— ΕΔ. 20, ὡς καταγελᾷς τοῦ φοβουμένου μὴ ἄρξαι.] Ἀποκατέστησα τὴν ἐν ταῖς προτέραις ἐκδόσεσι καὶ τοῖς ἀντιγράφοις ἀρχαίαν γραφὴν, ἀνθ' ἧς ὁ πρὸ ἐμοῦ, προσθεὶς τῇ ἀπαγορεύσει τὴν ἄρνησιν, ἔγραψεν « Ὡς καταγελᾷς τοῦ » φοβουμένου μὴ οὐκ ΑΡΞΑΙ, » οὐ κακῶς μὲν τῷ νῷ (quemadmodum derides metuentem ne magistratu careat, ὥσπερ ἡρμήνευσε), ἐλλιπῶς δ' ἴσως τῇ διορθώσει. Ὤφειλε γὰρ εἶναι, ΑΡΞΗ, διὰ τὴν ἄρνησιν. Ἔχει δ' οὐδὲ χρείαν ὅλως διορθώσεως τὸ χωρίον· τὸ γὰρ Φοβουμένου μὴ οὐκ ἄρξῃ (ἢ ἄρξαι) τὸν αὐτὸν νοῦν ἔχει τῷ μετ' ἀπαρεμφάτου, καὶ δίχα τῆς ἀρνήσεως, Φοβουμένου μὴ ἄρξαι, καίπερ οὔσης μακρῷ σπανιωτέρας τῆς μετὰ ψιλοῦ ἀπαρεμφάτου συντάξεως τοῦ Φοβοῦμαι ῥήματος, Χορηγεῖ δ' οὖν αὐτῆς παράδειγμα ὁ Πλούταρχος (Σολ. § 30, σελ. 173). « Τῶν συνιέντων » μὲν, ἐναντιοῦσθαι δὲ τῇ τυραννίδι φοβουμένων » τουτέστι, φοβουμένων τὸ ἐναντιοῦσθαι, ὥσπερ καὶ ἐν τῷ προκειμένῳ χωρίῳ, τοῦ ὀρεγομένου καὶ ἐλπίζοντος ἄρξαι, φοβουμένου δὲ τὸ μὴ ἄρξαι, τουτέστι τὸ ἀποτυχεῖν ἀρχῆς. —— ΕΔ. 22, παιᾶνας ἔγραφε.] Τὸν εἰς Ἀπόλλωνα παιᾶνα λέγει, οὗ μνημονεύει Διογένης ὁ Λαέρτιος (II, 42)· « Ἀλλὰ καὶ παιᾶνα, κατά τινας, ἐποίησεν, οὗ ἡ ἀρχὴ Δήλι' Ἄπολ- » λον χαῖρε, καὶ Ἄρτεμι, παῖδε κλεεινώ. » —— ΕΔ. 23, ΠΑΝ Ὃ ΕΞΩ ΤΗΣ προαιρέσεως τῆς σαυτοῦ ΤΙΜΗΣΕΙΣ, ἀπώλεσας τὴν προαίρεσιν.] Διώρθου τις τῶν κριτικῶν τὸ μὴ ὀρθῶς ἔχον τουτὶ χωρίον, « Εἰ πᾶν ὁτιοῦν ἔξω τῆς κ. τ. λ. » Πιθανωτέρως ἄν τις οἶμαι διορθοῖτο γράφων, « ΑΝ ΕΞΩ ΤΙ ΤΗΣ προαιρέσεως τῆς σαυτοῦ ΤΙΜΗ- » ΣΗΣ, ἀπώλεσας τὴν προαίρεσιν, » παραπλησίως οἷς ὑποκαταβὰς (IV, δ', 35) ἐρεῖ, « Ἂν ἅπαξ εἴπῃς.... ἀπώλου. » —— ἀλλὰ καὶ ἀναρχία] ἀλλὰ καὶ τὸ ἀρχῆς μὴ τυχεῖν. —— ΕΔ. 24, Νῦν οὖν ἐμὲ κ. τ. λ.] Προσυπακουστέον τὸ, Οὐ δεινὸν ἤ τι ἕτερον παραπλήσιον· Οὐκ ἀτυχές ἐστι νῦν ἐμὲ βιοῦν ἐν τῷ θορύβῳ καὶ ἕνα

Digitized by Google

τῶν πολλῶν, καὶ μὴ τῶν ἀρχόντων εἶναι; —— αὐτὸν ἤγησαι] τὸν Θόρυβον, τὸν ὄχλον. —— κἀκεῖ] ἐν τῇ Ὀλυμπιάσι πανηγύρει. —— ἄλλος ἄλλο τι ΠΡΑΣΣΕΙ.] Μῶν ἦν, ΠΙΠΡΑΣΚΕΙ; Παρατίθει τούτοις τὰ ἀνωτέρω (II, ιδ', 23) « Ὡς ἐν πανηγύρει. Τὰ μὲν κτήνη πραθησόμενα κ. τ. λ. » —— ἄλλος τῷ ἄλλῳ.] Ἴσ. ἐγέγραπτο ἐγκλιτικῶς Ἄλλος τῳ ἄλλω ἢ Ἄλλος ἄλλῳ τω. —— ἐν τοῖς βκλανείοις.] Ἴδε τὸ Ἐγχειρίδιον (IV). —— ΕΔ. 25, Τὸ ὄξος σαπρὸν] λέγουσιν οἱ δυσάρεστοι καὶ κακοζόμαχοι. « Σαπρὸν, παλαιὸν, αἰσχρὸν, ἀκάθαρτον » Ἡσύχ. —— ἕξιν] ὄρεξιν, ὑπετόπασέ τις τῶν κριτικῶν γραπτέον εἶναι, ἴσως οὐκ ἀτόπως. —— ΕΔ. 26, διεξαγαγεῖν.] Γραπτέον, οἶμαι, κατ' ἐνεστῶτα, διεξάγειν, καθὰ φέρεται καὶ ἐν τοῖς ἑξῆς (IV, ς', 11). —— ΕΔ. 28, καὶ δύναμις ἡ.] Ἴσ. ἄμεινον διπλῷ ἄρθρῳ, Καὶ ἡ δύναμις ἡ. —— ΕΔ. 31, πολλοὺς τοὺς ἐπικραυγάζοντας.] Παραλέλειπται ἡ πρώτη λέξις (πολλοὺς), ὑπὸ τοῦ πρὸ ἐμοῦ, διὰ τυπογράφων πλημμέλειαν. Τὸ δὲ ἄρθρον (τοὺς) ἴσως διαγραπτέον. —— ΕΔ. 34, Ἄγου.] Καὶ πάλιν ἀνεβίβασκ τὸν τόνον. —— ΕΔ. 35, πότε τις εἰς Ἀθήνας ἀπέλθῃ.] Ἴσον τῷ Πότε εἰς Ἀθήνας ἀπέλθω; τῆς ἀορίστου ἀντωνυμίας (τὶς) ἀντὶ τῆς προσωπικῆς (ἐγὼ) παραληφθείσης, ὡς ἐσημειώσατο ὁ πρὸ ἐμοῦ. Καὶ τέτριπται ἡ τοιαύτη χρῆσις ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ. Οὕτως ἐφιέμενός τις τῆς ἐν ἀγροῖς διατριβῆς, φήσειεν ἄν, περὶ ἑαυτοῦ λέγων, Πότε νὰ ὑπάγῃ τις (ἢ κἀνεῖς) εἰς τὴν ἐξοχήν; ἀντὶ τοῦ, Πότε νὰ ὑπάγω εἰς τὴν ἐξοχήν; —— ἀτελῆ μὲν μένουσαν.] Οὕτως ἔγραψα ἐξ εἰκασίας τῶν πρὸ ἐμοῦ, ΑΤ, ἀτελῆ μὲν οὖσαν. —— ΕΔ. 37, ξυλοκοπούμενον.] Οὐχ ἑτέρως ἡ συνήθεια. —— ΕΔ. 38, τῷ παρεμποδίσαι.] ΗΔ, ΑΤ, τῷ πᾶν ἐμποδίσαι· ὧν τὴν μέσην λέξιν (πᾶν), ὡς νόθον καὶ οἱ πρὸ ἡμῶν κατέκριναν. —— ὡς Κακοδαίμονα], ὡς κακὸν θεὸν ἢ δαίμονα (mauvais génie). —— ΕΔ. 42, φιλόλογον.] Εἰκὸς διὰ τυπογράφων πλημμέλειαν προπαροξυτόνως ἐνθάδε ἐκδοῦναι τὴν λέξιν τὸν πρὸ ἐμοῦ· καὶ γὰρ ἔν τε τοῖς πρόσθεν (II, δ', 11 καὶ III, β', 13) παροξυτόνως ἔγραψε, καὶ ἐνθάδε σημειούμενος, διαῤῥήδην τὴν παροξύτονον (φιλόλογον) ἐγκρίνει γραφὴν, καθαπτόμενος ἅμα καὶ τῶν πρὸ αὐτοῦ προπαροξυτόνως (φιλόλογον) ἐκθόντων. Τὴν προπαροξύτονον ὅμως προειλόμην κἀγὼ γραφὴν, οὐ μόνον διὰ τὸν κανόνα (Ἴδ. Ἀρκάδ. Περὶ τόν. σελ. 89), ἀλλὰ καὶ διὰ τὴν ἀναλογίαν· φιλολόγος γάρ, παροξυτόνως, εἴη ἄν ὁ περὶ φίλων λέγων, ὥσπερ φυσιο-

Digitized by Google

λόγος, ὁ περὶ φύσεως, καὶ ἀστρολόγος, ὁ περὶ ἄστρων τοὺς λόγους ποιούμενος, καὶ ὁ παρὰ τῷ Ἀριστοτέλει (Η Ϟ'. Νικομ. Δ', γ', 99, σελ. 72) ἀνθρωπολόγος, ὁ περὶ ἀνθρώπων· φιλόλογος δὲ, προπαροξυτόνως, ὁ φιλῶν τοὺς λόγους, ὥσπερ φιλόσοφος, ὁ φιλῶν τὴν σοφίαν, καὶ φιλόπονος, ὁ φιλῶν τοὺς πόνους. Τούτοις προστίθει, ὅτι καὶ παρὰ τῷ Στοβαίῳ (Ἐκλογ. ἠθικ. II, σελ. 180) προπαρωξυτόνηται τοὔνομα, ἔνθα φησὶ τοὺς Στωϊκοὺς δογματίζειν, « Μόνον προτε-» τράφθαι τὸν σοφὸν, καὶ μόνον προτρέπειν δύνασθαι, τῶν δ' ἀφρό-» νων μηδένα· κατὰ γὰρ (γρ. κατὰ γὰρ τὰ) παραγγέλματα βιοῦν » μηδένα τῶν ἀφρόνων. Μηδ' εἶναι φιλόλογον, λογόφιλον δὲ μᾶλλον, » μέχρι λαλιᾶς ἐπιπολαίου προβαίνοντα κ. τ. λ. » Καὶ σημειοῦ τὸ περὶ τὰς λέξεις περίεργον τῶν Στωϊκῶν· ἀναγραμματίσαντες γὰρ τὸν φιλόλογον ἔπλασαν τὸν Λογόφιλον, οὐκέτι τὸν τοὺς λόγους φιλοῦντα σημαίνειν βουλόμενοι, ἀλλὰ τὸν τῷ λέγειν χαίροντα, τουτέστι τὸν ἀδολέσχην καὶ φλύαρον, οὗπερ, ὡς ἔλεγέ τις παρὰ τῷ αὐτῷ Στοβαίῳ (σελ. 217) περὶ τῶν τοιούτων, ἀπορρέει, « Λέξεων » μὲν ποταμὸς, νοῦ δὲ σταλαγμός. —— ΕΔ. 43, τότε λέγω μόνον φιλόπονον.] Ἔλεγον γὰρ οἱ Στωϊκοὶ (Στοβ. Ἐκλογ. ἠθικ. II, 7, σελ. 214 Heeren), « Μήτε φιλόπονόν τινα τῶν φαύλων εἶναι· τὴν γὰρ » φιλοπονίαν διάθεσιν ἐξεργαστικὴν εἶναι τῶν ἐπιβαλλόντων ἀνυπό-» πτως διὰ πόνου· οὐδένα δὲ τῶν φαύλων ἀνυπόπτως ἔχειν πρὸς τὸν » πόνον. —— ΕΔ. 46, εἴ τινα.... ἀπαντῶντά σοι εἰς τὰ ἔργα] εἴ τινα, ὧν ἐθεώρησας δογμάτων, βλέπεις συνεργοῦντά σοι ἐν τῇ πράξει. —— τὸ ἐπισεσυρμένον.] Ἴδε τὰ εἰς τὸ Ἐγχειρίδιον (σελ. 132) σημειωθέντα. —— εἰ οὐ κινῇ ἐφ' οἷς πρότερον, ἢ οὐχ ὁμοίως γ' ὡς πρότερον.] ΗΔ, ἀντὶ τοῦ Εἰ. —— ΕΔ. 48, ἔτι διαφέρῃ κ. τ. λ.] ἔτι νομίζεις διαφέρειν τι ποῦ κατοικῶν ἢ διατρίβων εὐδαιμονήσεις, ὡς ἡρμήνευσαν οἱ πρὸ ἐμοῦ.

ΚΕΦΑΛΑΙΟΝ ε', ΕΔΑΦΙΟΝ 3, πῶς.... Θρασυμάχου] παρὰ τῷ Πλάτωνι (Πολιτ. α', σελ. 336-350). —— πῶς Πώλου, πῶς Καλλικλέους.] Παρὰ τῷ αὐτῷ (Γοργ. § 37). —— πῶς τοῦ υἱοῦ.] Παρὰ Ξενοφῶντι (Ἀπομνημ. Β', II). —— ΕΔ. 5, Οὐχ ἵνα κινῇ τούτους κατὰ φύσιν.] Οὐχ ἵνα κινῇ εἰς τὸ κατὰ φύσιν, τουτέστι τὴν ἀρετήν· τούτους, τὸν Θρασύμαχον δηλονότι, τὸν Πῶλον, τὸν Καλλικλέα, τὴν γυναῖκα, τὸν υἱόν. Ἐξ ΕΔ, ΑΤ, Οὐχ ἵνα κινῇ οὗτός τι κατὰ φύσιν. ΔΓ, Οὐχ ἵνα κινῇ οὗτος τοὺς κατὰ φύσιν. —— τὰ

Digitized by Google

ἴδια ποιούντων] τὰ μὴ κατὰ φύσιν. —— μόνον τὰ αὐτοῦ ποιῶν, πρὸς τὸ κἀκείνους ἔχειν κατὰ φύσιν] τοιοῦτον διάγων βίον ὥστε κἀκείνοις ἀφορμὰς διδόναι τοῦ κατὰ φύσιν ἔχειν, εἰ δύναιντο. —— ΕΔ. 7, τὸ παιδεύεσθαι..... καὶ τὰ ἀλλότρια.] Ἀποφθεγματικὸν καὶ ὡραῖον· Τοῦτο χρὴ παιδείαν ἡγεῖσθαι, τὸ μανθάνειν τὰ ἴδια καὶ τὰ ἀλλότρια· καὶ τοῦτον ὄντως πεπαιδευμένον λέγειν, τὸν εἰδότα διακρίνειν τὰ ἴδια ἀπὸ τῶν ἀλλοτρίων. —— ΕΔ. 12, ἀνθρώπῳ.] Ἢ προσυπακουστέον, ἢ προσθετέον τὸ ἐπίρρημα (ὡς ἀνθρώπῳ). —— ΕΔ. 13, τῶν φυσικῶν δυνάμεων] τῆς οἰκείας τῷ ἵππῳ ἀρετῆς. Ἴδε τὰ εἰς τὸ Ἐγχειρίδιον Προλεγόμενα (σελ. ιέ, σημ. 1, καὶ σελ. ιζ, σημ. 2). —— κοκκύζειν] ὡς ὁ ἀλέκτωρ. —— ΕΔ. 14, λέοντας πνίγειν] ὡς ὁ Ἡρακλῆς. —— ἀνδριάντας περιλαμβάνειν,] ὡς ὁ Διογένης. —— ΕΔ. 15, Τοῦτον.... οὐχί, μὰ Δία, τὸν φύντα.] Αἰνίττεται τὸ ἐκ τοῦ Κρεσφόντου Εὐριπίδου, ὡς ἐσημειώσαντο οἱ πρὸ ἐμοῦ,

Ἔδει γὰρ ἡμᾶς, σύλλογον ποιουμένους,
Τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά·
Τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον
Χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων·

—— ΕΔ. 17, τετράσσαρον.] Τετρασσάριον, πεντασυλλάβως γραπτέον εἶναι ὑπέλαβον τινές. Λέγει δὲ τὸ τέσσαρα Ἀσσάρια δυνάμενον νόμισμα· τὸ δ' Ἀσσάριον νόμισμα ἦν οὕτω καλούμενον (παρὰ τὸ Ῥωμαϊκὸν As καὶ Assarius). Ἐχρήσατο τῇ λέξει καὶ ὁ Εὐαγγελιστὴς (Ματθ. ι', 29). —— Νέρωνος....ἀδόκιμόν ἐστι.] Οὐχ ὅτι κίβδηλον ἢ παρακεχαραγμένον, ἀδόκιμον καλεῖ τὸ Νέρωνος νόμισμα, ἀλλὰ διότι βουλῇ τῆς Συγκλήτου ἄχρηστον ἐκηρύχθη, καὶ τὴν μνήμην ὅλως τοῦ ἀλιτηρίου τυράννου, εἰ οἷόν τε ἦν, ἀφανίσαι σπευδούσης. Ἐπιθι τὴν περὶ τούτου μακρὰν σημείωσιν τῶν πρὸ ἐμοῦ. —— ΕΔ. 18, Νερωνιανόν.] ΔΓ, Νερωνικόν. —— μηνιτὴς] μνησίκακος. Κατεβίβασα τὸν τόνον (ἐγράφετο γὰρ Μηνίτης)· παρὰ γὰρ τὸ Μηνίω, ὥσπερ παρὰ τὸ Κωλύω ὁ Κωλυτὴς, καὶ παρὰ τὸ Μηνύω ὁ Μηνυτής.——μή τι, ἂν αὐτῷ φανῇ, πατάσσει.] Προσέθηκα τὰ δύο πρῶτα μόρια (μή τι) ἀπαιτούσης αὐτὰ τῆς συναρτήσεως. —— ΕΔ. 19, τὸ κήρινον, μῆλον ΕΙΝΑΙ· ὀδμὴν ἔχειν αὐτὸ ΔΕΙ ΚΑΙ γεῦσιν· οὐκ

Digitized by Google

ἀρκεῖ Ἡ ἐκτὸς περιγραφή.] ΗΔ ἀντὶ τοῦ γεγραμμένου καὶ ἐστιγμένου, « Τὸ κήρινον, μῆλον ΕΙΝΑΙ, ΚΑΙ ὀδμὴν ἔχειν αὐτὸ, ΚΑΙ γεῦσιν. » Οὐκ ἀρκεῖ ΔΕ Ἡ ἐκτὸς περιγραφή. » ΔΓ, « Τὸ κήρινον, μῆλον » ΕΙΝΑΙ. ΚΑΙ ὀδμὴν ἔχειν αὐτὸ ΔΕ ΚΑΙ γεῦσιν. Οὐκ ἀρκεῖ » Ἡ ἐκτὸς περιγραφή. » Ἴσως δὲ καὶ τὴν τρίτην λέξιν διπλασιαςέον (τὸ κήρινον μῆλον, μῆλον εἶναι). —— ΕΔ. 21, ΠΑΝΤΑ μᾶλλον ἢ ἄνθρωπος.] Οὐκ ἀπιθάνως ΠΡΟΒΑΤΟΝ γράφειν τις παρήνει. —— ἀλλὰ τί ποτε ἄγριον θηρίον.] Σημειοῦ τὸ, τὸ Τί ποτε, ἀντὶ τοῦ ἁπλοῦ, Τι (quelque), ἀπαραλλάκτως ὥσπερ ἐν τῇ καθ' ἡμᾶς συνηθείᾳ. —— ΕΔ. 23, ἐπιφυήσονται.] Μοναδικὸς ἔοικεν εἶναι ὁ τύπος. Ἴσως ἐγέγραπτο, ἐπιφύσονται. —— ΕΔ. 24, ἀνδράποδα ταῦτα οὐκ οἶδεν, ΟΥΔΕ τίς εἰμι, ΟΥΔΕ κ. τ. λ.] τὴν δεικτικὴν ἀντωνυμίαν πρὸς τὸ ῥῆμα μεταβατικῶς (οὐκ οἶδε ταῦτα) ἡρμήνευσαν οἱ πρὸ ἐμοῦ. Μήποτε ἀλλακτέον τὴν στίξιν· « Ἀνδράποδα ταῦτα· οὐκ οἶδεν, ΟΥΤΕ » τίς εἰμι, ΟΥΤΕ κ. τ. λ. » ἵν' ᾖ ὁ νοῦς, Ἀνδράποδα ταῦτά ἐστι, καὶ ἀγνοοῦσι τίς εἰμι, καὶ ποῦ μου τὸ ἀγαθὸν κ. τ. λ. —— ΕΔ. 25, Νῦν δ' οὗτοι κ. τ. λ.] οἱ πολιορκοῦντες, τί μάτην κοπιῶστε; Παράβαλε ταῦτα τοῖς ἀνωτέρω (IV, α', 86) εἰρημένοις. —— ΕΔ. 26, ποία κτῆσις.] Προσθετέον, ἡ προσυπακουστέον τὸ Οὕτως. —— ΕΔ. 27, ΤΑΥΤΑ πανταχοῦ θνητά, εὐάλωτα] τὸ τεῖχος, τὸ σῶμα, ἡ κτῆσις, τὸ ἀξίωμα. ΗΔ, Ἀντὶ τοῦ, ΠΑΝΤΑ. —— ΕΔ. 29, Πολεμίους Ἐτεοκλέα καὶ Πολυνείκην τὸ πεποιηκὸς κ. τ. λ.] Ἐκ τῆς τῶν πρὸ ἐμοῦ εἰκασίας προσέθηκα τὴν πρώτην λέξιν, ἵνα συνάδοι τοῖς ἄλλοθι (Ἐγχειριδ. XXXI, § 4) λελεγμένοις. —— ΕΔ. 32, εἰ δ' οἷα δεῖ κ. τ. λ.] εἰ δὲ ἡ προαίρεσίς ἐστιν, ὁποίαν εἶναι δεῖ. —— ΕΔ. 33, Ἵν' ὕδωρ καταχέῃ κ. τ. λ.] Ἱστόρηκε τοῦτο Διογένης ὁ Λαέρτιος (II, 36) τῆς χαλεπῆς Ξανθίππης τὸ χαλεπὸν ἔργον, καὶ τὴν μετ' ἀστειότητος ἀνοχὴν τοῦ Σωκράτους· « Πρὸς Ξανθίππην, πρότερον μὲν λοιδοροῦ» σαν, ὕστερον δὲ καὶ περιχέασαν αὐτῷ, Οὐκ ἔλεγον, εἶπεν, ὅτι Ξανθίππη βροντῶσα καὶ ὕδωρ ποιήσει; —— καταπατήσῃ τὸν πλακοῦντα] τὸν ὑπὸ Ἀλκιβιάδου πεμφθέντα, ὥσπερ ἱστόρηκεν Αἰλιανὸς (ΙΑ', ιϐ', Ποικ. ἱστορ.), ὃν « Ἡ Ξανθίππη ῥίψασα ἐκ τοῦ κα » νοῦ κατεπάτησε. Γελάσας δὲ ὁ Σωκράτης, Οὐκοῦν, ἔφη, οὐδὲ » σὺ μεθέξεις αὐτοῦ. » Λέγει δὲ καὶ ὁ Ἀθήναιος (XIV, σελ. 644) περὶ τοῦ πλακοῦντος τούτου, « Ὃν Ξανθίππης ΚΑΤΑΓΕΛΑ» ΣΑΣΗΣ, γελάσας ὁ Σωκράτης κ. τ. λ. » Ἔνθα ὁ σοφὸς ἐκδότης

Digitized by Google

(οὐχ ἕτερος ὢν τοῦ καὶ τὰς προκειμένας Ἐπικτήτου Διατριβὰς πρὸ ἐμοῦ ἐκδεδωκότος) ἔτρεψεν, ἑτέρων διορθώσει πεισθείς, τὴν θηλυκὴν μετοχὴν εἰς τὸ Καταπατησάσης, πιθανῶς μέν, οὐκ ἀληθῶς δέ· γραπτέον γάρ, οἶμαι, ΚΑΤΑΚΛΑΣΑΣΗΣ, ὅ ἐστι καταθρυψάσης διὰ τῆς πατήσεως οὕτως, ὥστ' ἄβρωτον ποιῆσαι. —— ΕΔ. 36, οὐδ' ἐγγὺς] πολλοῦ γε καὶ δεῖ. —— ΕΔ. 37, Οἶκοι λέοντες κ. τ. λ.] Ὁ τὸν Ἀριστοφάνην σχολιάσας, τόδε τοῦ κωμικοῦ τὸ χωρίον (Εἰρ. 1188),

Πολλὰ μὲν δή μ' ἠδίκησαν,
Ὄντες οἶκοι μὲν λέοντες,
Ἐν μάχῃ δ' ἀλώπεκες,

οὕτως ἐξηγεῖται· « Παροιμία παρὰ τοὺς ἐν Ἀσίᾳ Λάκωνας, Οἶκοι » λέοντες, ἐν Ἐφέσῳ Δ' ΑΛΩΠΕΚΕΣ. » Ὅτι γὰρ οὕτως ἐστὶ γραπτέον, ὡς διωρθώκασιν ἕτεροι, καὶ οὐ, ΔΕ ΛΑΚΩΝΕΣ, δηλοῖ τὰ ὑπὸ τῶν πρὸ ἐμοῦ παρατεθέντα ἀλλαχόθεν μαρτύρια.

ΚΕΦΑΛΑΙΟΝ ς', ΕΔΑΦΙΟΝ 2, ἀναρχίᾳ] ἰδιώτου τάξει ἀρχῆς στερουμένου. —— ΕΔ. 3, ἀνάρχῳ ὄντι.] Ἐξ εἰκασίας τοῦ πρὸ ἐμοῦ, ΑΤ, Ἀνάρχοντι. —— ΕΔ. 4, κτήσασθαι.] Τὴν ἐπιγεγραμμένην ἐν τῷ ἐμῷ ΤΡ. κακὴν ΔΓ, κτήσασθαι, οὐκ οἶδα τί παθὼν, ἀνθυπέβαλον τῇ γνησίᾳ Χρήσασθαι. Γράφε τοίνυν, ὡς ἐγράφετο πάλαι, χρήσασθαι (ὅ ἐστι δανείσασθαι), κατατάττων ἐν τοῖς τυπογραφικοῖς ἁμαρτήμασι τὸ κτήσασθαι. —— τὸν τιμώμενον ἐπιφαίνειν] δῆλον ποιεῖν, ὅτι τιμᾷ καὶ θαυμάζῃ ὑπὸ τῶν ἐπιφανῶν. —— ΕΔ. 8, ΠΩΣ οὖν οὕπω πέπεικας σαυτὸν μαθεῖν; νῦν οὐχὶ ἄνω κάτω;... καὶ μανθάνειν κ. τ. λ.] Οὐκ ἔρρωται τὸ χωρίον· διὸ καὶ ἀσερίσκον ἐπέγραψεν ὁ πρὸ ἐμοῦ ταῖς τελευταίαις δυὸ λέξεσι (καὶ μανθάνειν). Ἐν τῷ ἐμῷ ΤΡ. προσέγραπται διάφορος γραφὴ, ΟΣ, τῇ πρώτῃ λέξει (πῶς)· ἐξ ἧς ὑπονοεῖν ἐστι μάλα πιθανῶς, μήποτ' ἐξερρύη τι τοῦ χωρίου, οὕτω πως πάλαι γεγραμμένου· « Ὃς οὖν οὕπω πέπεικας σαυτὸν μαθεῖν, » ἄλλους ἐπιχειρεῖς πείθειν; » Τὰ δὲ ἐχόμενα (διαγράφων τὸ χρονικὸν ἐπίρρημα (νῦν), καὶ τὸν ἑξῆς συμπλεκτικὸν (καὶ), ὃν καὶ ὁ πρὸ ἐμοῦ διαγραπτέον εἶναι ἔγνω, οὕτως ἂν στίξαιμι, « Οὐχὶ ἄνω κάτω » τοῦτ' ἔστι περὶ ὃ ἐσπούδακας μανθάνειν, ὥστε ἄλυπος.... καὶ » ἐλεύθερος; » —— ΕΔ. 14, ἀπαντᾷν ἐπὶ τὰ ἔργα] ἥκειν εἰς ἐπικουρίαν τῶν ἔργων. —— ΕΔ. 15, τινὸς προτεινομένους.] Ἢ προσθετέον,

Digitized by Google

ἡ προσυπακουςέον τὸ Συλλογισμούς. —— ΕΔ. 18, ἐν ἱρᾷ, παρασκευῇ, ἐπιδολῇ.] Ἴδε τὰ πρόσθεν (σελ. 304) σημειωθέντα. —— ΕΔ. 19, ἐλεεινός ἐστε;] Ἴσως ἐξερρύη ἡ ἄρνησις· Οὐκ ἐλεεινός ἐστε; —— ΕΔ. 20, Τί οὖν λέγει Ἀντισθένης;] ὁ κατάρξας τῆς κυνικῆς αἱρέσεως. Εἰκὸς δὲ ὅπερ Ἐπίκτητος παρατίθεται μαρτύριον ἐξ αὐτοῦ, ἐν θατέρῳ τῶν δύο διαλόγων Ἀντισθένους γεγράφθαι· ὧν ὁ μὲν ἐπεγράφετο Κῦρος, ἄτερος δὲ, Κῦρος ἢ περὶ βασιλείας (Δίογ. Λαερτ. II, 16). Ταὐτὸ δὲ τοῦτο εἰρήκει Ἀντισθένης καὶ περὶ ἑαυτοῦ, ἀκούσας ὅτι Πλάτων αὐτὸν κακῶς ἔλεγε. Μνημονεύει τοῦ Ἀντισθενικοῦ ῥησιδίου καὶ ὁ Μάρκος (Ζ', λς'). —— ΕΔ. 22, ὑποκαταγελῶ.] ΔΓ, καταγελῶ. Ἐκ τούτου μόνου τοῦ χωρίου κατεχωρίσθη εἰς τὸν ἔναγχος ἐκδοθέντα Στεφάνου Θησαυρὸν, τὸ Ὑποκαταγελῶ, ὅπερ ἂν εἴη, λελη θότως καταγελῶ. Οἶμαι μέντοι μᾶλλον ἡμαρτῆσθαι τὴν γραφὴν ἀντὶ τοῦ Ἐπικαταγελῶ.——ΕΔ. 25, Ἀλλ' ἄλλοι μου.] Ὁ πρὸ ἐμοῦ ἐκ ΔΓ (προσεγγραμμένης κἀν τῷ ἐμῷ ΤΡ.), Ἀλλ' ἄλλοι, ΑΤ, Ἀλλά μοι. Δεῖν ἔγνων καὶ τὴν ἀντωνυμίαν τηρῆσαι, κατὰ γενικὴν ὅμως πτῶσιν, ὅπερ ὑπενόησε καὶ ὁ πρὸ ἐμοῦ.——ΚΑΙ περὶ πλοῦτον κ. τ. λ.] Ἴσως ἐγέγραπτο, ΕΚΕΙΝΟΙ. —— ΕΔ. 26, εἰ συγκατατίθενται μᾶλλον ΠΕΡΙ τὰ φυσικὰ μέτρα.] Τὴν ΚΑΤΑ πρόθεσιν ἁρμόζειν μᾶλλον ὧδε ὑπενόει ὁ πρὸ ἐμοῦ, ἵν εἴη ὁ νοῦς, Εἰ μᾶλλον τῶν ἄλλων συγκατατίθενται, καθ' ἃ ἡ φύσις ὑπαγορεύει μέτρα. Ἔστι μέντοι καὶ τὴν Περὶ πρόθεσιν τηροῦντας, οὕτως ἐξηγεῖσθαι τὸ χωρίον· Εἰ περὶ τὰς φυσικὰς σχέσεις μᾶλλον τῶν ἄλλων συγκατατίθενται, παραμετροῦντες αὐταῖς τὰ καθήκοντα (Ἴδε τὴν ἐξῆς σημ.) —— κατὰ τὰ ἄλλα τῶν σχίσεων ὀνόματα], οἷον, ὡς ἀδελφὸς, ὡς γείτων, ὡς πολίτης, ὡς στρατηγὸς, καθάπερ ἀλλαχοῦ (Ἐγχειριδ. XXX) ἔλεγε. —— ΕΔ. 27, ἐκεῖνοι δὲ πάντα;] Ἠρωτημάτισα τὴν γραφήν. —— ΕΔ. 28, εὐλογώτερόν με ἐστὶν ἄρχειν.] Γραπτέον, Εὐλογώτερον ἐμέ ἐστιν ἄρχειν. —— ἐν ᾧ φροντίζεις] ἄρχε. —— ΕΔ. 30, πρὸς ἄλλοις γίνεσθαι ΘΕΛΕΙΣ.] Οὐχ ἑκόντος μου εἰσερρύη ἡ κακὴ γραφὴ (Θέλεις). Γράφε τοίνυν ΛΕΓΕΙΣ. —— ἔργον ἔργῳ οὐ κοινωνεῖ.] Παροιμιώδες τὸ λεγόμενον ὧδέ τε καὶ ἐν τοῖς ἑξῆς (IV, ι', 24). Ὁ δὲ νοῦς ὅσπερ καὶ τοῦ ῥηθέντος (Ἐγχειριδ. XXIX, § 7) « Ταῦτα οὐ συμφωνεῖ. Ἕνα » σε δεῖ ἄνθρωπον.... ἢ φιλοσόφου τάξιν ἐπέχειν ἢ ἰδιώτου. » Τῷ γὰρ ἔργον πεποιημένῳ τὸ φιλοσοφεῖν, τουτέστι τὸ ἴδιαν ἡγεμονικὸν ἐξεργάζεσθαι, ἔξεστι μὲν καὶ περὶ τὰ ἐκτὸς καταγίνεσθαι, ἀλλ' ὡς

Digitized by Google

πάρεργα, κατὰ τὸν ἐν πλῷ τὸ κοχλίδιον καὶ τὸ βολβάριον ἀναλεγόμενον (Ἐγχειρίδ. VII), καὶ οὐχ ὡς ἔργων φροντίζοντα· τὸν γὰρ τοῦ ἑτέρου ἐπιμελούμενον, τοῦ ἑτέρου ἀμελῆσαι πᾶσα ἀνάγκη (Ἐγχειριδ. XIII). — Ἐᾶ. 31, Ὁ μὲν ἐξ ὄρθρου ἀναςὰς, ζητεῖ τίν' ἂν ἐξ οἴκου ἀσπάσηται.] Δεδιπλασιασμένον ἐφέρετο ἔν τε ταῖς ἐκδόσεσι καὶ τοῖς ἀντιγράφοις τὸ Ἐξ οἴκου· καὶ τὸ μὲν πρῶτον ὁ πρὸ ἐμοῦ μετεποίησεν εἰς τὸ Ἐξ ὄρθρου, ὅπερ ἀπεδεξάμην καὶ αὐτὸς οὐκ ἔχων ὅ,τι προβάλω πιθανώτερον· τὸ δεύτερον δ' ἐξηγεῖται, συνυπακούων τὴν μετοχὴν Προελθόντα, ἵν' ᾖ ὁ νοῦς, Ἕωθεν ἀναστὰς ζητεῖ τίν' ἂν προϊόντα τοῦ οἴκου τοῦ Καίσαρος (τίνα τῶν Καισαριανῶν δούλων) ἀσπάσηται. Τὴν αὐτὴν μετοχὴν συνυπακουστέον κἀμοὶ δοκεῖ· οὐ μέντοι κατ' αἰτιατικὴν, ἀλλ' ὀνομαστικῶς, κατὰ τόνδε τὸν νοῦν, Ζητεῖ τίν' ἂν πρῶτον ἀσπάσηται προελθὼν τοῦ ἑαυτοῦ οἴκου, τίνα ἂν τῶν ἔξω τοῦ οἴκου πρῶτον προσαγορεύσῃ, οὐ τῶν ἐκ τῆς οἰκίας τοῦ Καίσαρος, ἀλλ' ὁποιονδήποτε τῶν ἐν ὑπεροχῇ, ἢ καὶ ἁπλῶς τῶν δυναμένων τι αὐτῷ διαπράξασθαι. — πῶς τῷ ὀρχηστῇ κ. τ. λ.] ὀρχηστῇ τινὶ τῶν σπουδαζομένων τῷ Καίσαρι, ἤ τινι τῶν μέγα δυναμένων, ὡς ὑπενόησε καὶ ὁ πρὸ ἐμοῦ. ——— πῶς κακοηθισάμενος κ. τ. λ.] Ἀνωτέρω μὲν (III, ις', 4) ἀμεταβάτως (κακοηθείᾳ χρῆσθαι) ἡρμήνευσεν ὁ μεταφραστὴς τὸ Κακοηθίζεσθαι, ἐνταῦθα δὲ, μεταβατικῶς, συνάψας τῷ Ἄλλον (ἄλλον κακοηθισάμενος, ἄλλῳ χαρίσηται). Ἀλλ' ἔστιν, οἶμαι, καὶ ἐπ' ἐκείνου τοῦ χωρίου, « Ἂν σκώπτῃ, ἂν γελοιάζῃ, ἂν κακοηθίζηται » τὴν μετάβασιν τηρῆσαι, ἑρμηνεύοντα, Ἂν κακηγορῇ τινὰ μετὰ κακοηθείας· εἴ γε, κατὰ τὸν Ἀριστοτέλην (Ῥητορικ. II, 13, § 3) ὁρίζεται ἡ « Κακοήθεια, τὸ ἐπὶ τὸ χεῖρον ὑπολαμβάνειν ἅπαντα. » Ἔστιν οὖν τὸ Κακοηθίζεσθαι τινὰ, ἐν γένει, Κακοήθως τινὶ συμπεριφέρεσθαι, ἐν εἴδει δὲ, κρίνειν τὰς πράξεις, ἢ τοὺς λόγους αὐτοῦ, ἐξηγούμενον ἐπὶ τὸ χεῖρον (censurer ἢ critiquer malignement), ἢ καὶ σκώπτειν αὐτὸν μετὰ ἀστεϊσμοῦ κακοήθους (pincer). Εἰκὸς ἀρέσαι τὴν λέξιν τοῖς Στωϊκοῖς οὐ τῶν Στωϊκῶν οὖσαν· Φίλωνα γὰρ τὸν ἐκ τῆς Ἀκαδημίας οἶμαι πρῶτον χρήσασθαι τῷ ῥήματι, ἐν οἷς φησὶν (παρὰ τῷ Στοβ. Ἐκλογ. Ἠθ. σελ. 40, Heeren), ὅτι τοῦ Προτρεπτικοῦ λόγου, « Ὁ μὲν ἐνδείκνυται τὸ μεγαλωφελὲς αὐτῆς [τῆς φιλοσοφίας], ὁ δὲ » τοὺς ἀνασκευάζοντας, ἢ κατηγοροῦντας, ἢ ἄλλως κακοηθιζομένους » τὴν φιλοσοφίαν ἀπελέγχει » Τοῦθ' ἕτερος συντονωτέρᾳ μεταφορᾷ

Digitized by Google

χρησάμενος, Καθιππάζεσθαι φιλοσοφίας (Διογ. Λαέρτ. IV, 47), οἱονεὶ ἵππῳ ἐποχούμενον καταπατεῖν ὑβριστικῶς τὴν φιλοσοφίαν, εἴρηκε. —— ΕΔ. 32, Μὴ δ' ὕπνον κ. τ. λ.] Ἐκ τῶν Πυθαγόρου Χρυσῶν ἐπῶν ὁ στίχος, ὃν καὶ ἀνωτέρω (III, ί, 2-3) παρατέθειται μετὰ τεσσάρων ἑτέρων τῶν ἐχομένων. —— ΕΔ. 33, ἐπιτιμᾷ ἑαυτῷ] ὡς παραβεβηκότι τοὺς κολακικοὺς τῶν ἀνδραπόδων νόμους. Ἀστείως πάνυ ὁ Ἐπίκτητος παρῳδοῦντα τὰ Πυθαγόρου παραγγέλματα τὸν κόλακα πλάττει. —— Τί γάρ σοι καὶ τοῦτο εἰπεῖν.] Ἢ διαγραπτέον τὸν συμπλεκτικὸν, ἵν' ᾖ ὁ νοῦς, Τί σοι ἐπῆλθεν εἰπεῖν τοῦτο τὸ ῥῆμα· ἢ προσθετέον ἑτέραν ἀρθρικὴν δοτικὴν, « Τί γάρ σοι καὶ τῷ » τοῦτο εἰπεῖν; » τουτέστι, Τί κοινὸν σοὶ καὶ τῷ εἰπεῖν, τί κοινὸν σοὶ καὶ τοῖς τοιούτοις λόγοις· ἀλλότριοι γάρ σου οἱ τοιοῦτοι λόγοι ὀφείλουσιν εἶναι. —— ψεύσασθαι.] Ἀποκατέςησα τὴν ἀρχαίαν γραφὴν (φερομένην κἀν τῷ κειμένῳ τοῦ ΓΡ.), ἀνθ' ἧς ὁ πρὸ ἐμοῦ ἔγραψε ψεύδεσθαι, οὐκ οἶδ' ὅθεν εἰληφώς· σιγᾷ γὰρ ἐν ταῖς σημειώσεσι περὶ τῆς μεταβολῆς ταύτης. —— Λέγουσι καὶ οἱ φιλόσοφοι.... εἰπεῖν.] Τοὺς Πλατωνικοὺς αἰνίττεται, ἢ μᾶλλον τοὺς Πυθαγορείους, οἷς ἑπόμενοι Πλάτων τε καὶ οἱ ἀπ' αὐτοῦ, ἐφεῖσθαι τὸ ψεύδεσθαι ἡγήσαντο, οὐχ ἁπλῶς μέντοι, ἀλλ' ἐπ' ἀγαθῷ τῶν ἀπατωμένων, κατὰ τοὺς ἰατροὺς, οἷς πολλάκις οὐκ ἔστιν ἄλλως ἀπαλλάξαι τῆς νόσου τὸν κακῶς ἔχοντα, ἢ διὰ νοσηποιῶν φαρμάκων, ὡς φησι Τίμαιος ὁ Λοκρὸς (παρὰ Πλάτων. τόμ. X, σελ. 29), « Ὡς γὰρ τὰ σώματα νοσώδεσί ποκα ὑγιάζομες, » εἶκα μὴ εἶκῃ τοῖς ὑγιεινοτάτοις, οὕτω τὰς ψυχὰς ἀπείργομες ψευ» δέσι λόγοις, εἶκα μὴ ἄγηται [τοῖς] ἀλαθέσι· » ὅθεν καὶ τὸ τοῦ Αἰσχύλου (παρὰ τῷ σχολ. Ὁμήρ. Ἰλιάδ. β', 114),

Ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός.

Ὀλισθηρὸν τὸ παράγγελμα· τούτῳ γὰρ ἐχρήσαντο πολλάκις οἱ γόητες, λόγῳ μὲν τῆς τῶν ἀπατωμένων σωτηρίας ἕνεκα, τὸ δὲ ἀληθὲς, τῆς ἑαυτῶν ὠφελείας φροντίζοντες. Μακρῷ τοίνυν ἀσφαλέστερον ἔοικε τὸ καθάπαξ εὐλαβεῖσθαι τὸ ψεῦδος, καὶ φυλάττεσθαι τοὺς χρωμένους αὐτῷ, μεμνημένους τοῦ Ποιητοῦ (Ἰλιάδ. ί, 312),

Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
Ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ.

Digitized by Google

—— ΕΔ. 38, τῶν ἐκείνων,] τῶν ἐκείνοις ὑπαρχόντων, ἃ ἐκεῖνοι κέκτηνται.

